


AL DVS


D. GREGORII NAZANZ. ORATIONES
D. GREGORII NYSSENI DE HOMINE
ALDVS
BIBLIOTECA NAZIONALE CENTRALE - FIRENZE
RACCOLTA NENCINI
ALDINI
I
3
52


AL. DVS












Ex Libris Joannis Nencini
1874





GREGORII NAZANZENI THEOLOGI ORATIONES NOVEM ELEGANTISSIMAE.

GREGORII NYSSENI liber de homine, Quæ omnia nunc primum, emendatissima, in lucem prodeunt.



Ex Bibl. Allatij

M. D. XXXVI.



Ἐν ταύτῃ τῇ βίβλῳ περιέχονται ἐννέα λόγοι τοῦ μακαρίου Γρηγορίου Ναζιανζηνοῦ τοῦ θεολόγου, τοιαύτας ἔχοντες ἐπιγραφάς.

Ἀπολογητικὸς τῆς εἰς τὸν πόντον φυγῆς ἕνεκεν, καὶ αὖθις ἐπανόδου ἐκεῖθεν, μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν ᾧ τί τὸ τῆς ἱερωσύνης ἐπάγγελμα, καὶ ὁποῖον εἶναι δεῖ τὸν ἐπίσκοπον.
Περὶ θεολογίας λόγος πρῶτος.
Περὶ φιλοπτωχίας.
Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν.
Εἰς τοὺς Μακκαβαίους.
Εἰς τὸν ἑαυτοῦ ἀδελφὸν ἐπιτάφιος.
Εἰς τὴν ἑαυτοῦ ἀδελφὴν ἐπιτάφιος.
Εἰς τὸν ἑαυτοῦ πατέρα ἐπιτάφιος.
Εἰς Γρηγόριον ἐπίσκοπον Νύσσης.

Beati Gregorii Nazanzeni Theologi orationes nouem, quæ ſic inſcribuntur.

Apologeticus ob eius fugam in pontum, & inde reditum, poſtquàm electus fuerat ſacerdos, in quo diſſeritur quæ ſit profeſſio ſacerdotis, & qualem deceat eſſe epiſcopum.
De Theologia oratio prima.
De amandis pauperibus.
In laudem ſacroſancti martyris Cypriani.
In laudem Maccabæorum.
Funebris in fratrem.
Funebris in ſororem.
Funebris in patrem.
In laudem Gregorii epiſcopi Nyſſæni.

Ἐκ τῆς βίβλου τοῦ ἁγίου Ἱερωνύμου πρεσβυτέρου περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων.

Γρηγόριος, Σασίμων πρότερον, εἶτα Ναζιανζοῦ ἐπίσκοπος, ἀνὴρ ἐλλογιμώτατος, ὁ ἐμὸς διδάσκαλος, οὗ ἐξηγουμένου, τὰς θείας ἔγνων γραφὰς, ὃς τρεῖς μυριάδας στίχων πάντα τὰ συντάγματα αὐτοῦ συνέθηκεν, ἀφ' ὧν ἐστι τάδε. περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου, περὶ φιλοπτωχίας, ἐπαίνους τῶν Μακκαβαίων, ἔπαινος Κυπριανοῦ, ἔπαινος Ἀθανασίου, ἔπαινος Μαξίμου φιλοσόφου, μετὰ τὴν ἐξορίαν ἀναζεύξαντος, ὅν τινα ψευδῶς τινες Ἥρωνος ἐπέγραψαν, ἔστι γὰρ καὶ ἄλλη βίβλος, κατάγνωσιν τοῦ αὐτοῦ Μαξίμου περιέχουσα, ὡς μὴ ἐξὸν εἶναι, τὸν αὐτὸν καὶ ἐπαινέσαι καὶ ψέξαι ἐν καιρῷ. καὶ βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου, καθ' ἑαυτῶν διαλεγομένων. κατὰ Εὐνομίου λόγος εἷς, περὶ πνεύματος ἁγίου λόγος εἷς, κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγος εἷς. Ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι. καὶ περιὼν, ὃς τὸν οἰκεῖον τόπον ἐπίσκοπον καταστήσας, ἐν ἀγρῷ βίον μοναδικὸν ἀπηνέγκατο, καὶ ἐτελεύτησε πρὸ τριετοῦς χρόνου, βασιλεύοντος Θεοδοσίου.

Ex libro beati Hieronymi presbyteri de ecclesiasticis scriptoribus.

GRegorius, primum Sasimorum, deinde Nazianzenus episcopus, uir eloquentissimus, præceptor meus, à quo scripturas explanante didici, ad triginta milia uersuum omnia opera sua composuit, e qui bus illa sunt, De morte fratris Cæsarii, περὶ φιλοπτωχίας, laudes Maccabæorum, laudes Cypriani, laudes Athanasii, laudes Maximi philosophi, post exilium reuersi, quem falso nomine quidam Heronis superscripserunt, quia est & alius liber, uituperationem eiusdem Maximi continens, quasi nõ licuerit eundem & laudare & uituperare pro tempore. Et liber hexametro uersu, uirginitatis & nuptiarũ contra se differentium. Aduersum Eunomium liber unus. de Spiritu sancto liber unus. Contra Iulianum imperatorem liber unus. Sequutus est autem Polemonem dicendi charactere, uiuoq; se, episcopum in loco suo ordinans, ruri uitam monachi exercuit, decessitq; ante hoc ferme triẽnium sub Theodosio principe.

Ἐκ τῆς βίβλου τοῦ ἁγίου Ἱερωνύμου πρεσβυτέρου περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων.

Γρηγόριος Νύσσης ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, πρὸ ὀλίγων ἐνιαυτῶν ἐμοὶ καὶ Γρηγορίῳ Ναζιανζηνῷ κατὰ Εὐνομίου ἀνέγνω λόγους, ὅστις καὶ ἄλλα πολλὰ γεγραφέναι καὶ γράφειν λέγεται.

Ex libro beati Hieronymi preſbyteri de eccleſiaſticis ſcriptoribus.

GRegorius Nyſſenus epiſcopus, frater Baſilii Cæſarienſis, ante paucos annos mihi & Gregorio Nazianzeno contra Eunomiũ legit libros, qui & multa alia ſcripſiſſe & ſcribere dicitur.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ τοῦ θεολόγου ἀπολογητικὸς, τῆς εἰς τὸν πόντον φυγῆς ἕνεκεν, καὶ αὖθις ἐπανόδου ἐκεῖθεν μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν, ᾧ τί τὸ τῆς ἱερωσύνης ἐπάγγελμα, καὶ ὁποῖον εἶναι δεῖ τὸν ἐπίσκοπον.

ἡ

Ἥττημαι, καὶ τὴν ἧτταν ὁμολογῶ. ὑπετάγην τῷ κυρίῳ καὶ ἱκέτευσα αὐτόν. ὁ γάρ μοι μακαριώτατος δαβὶδ ἀρχέτω τοῦ λόγου, μᾶλλον δὲ, ὁ ἐν τῷ δαβὶδ φθεγξάμενος, καὶ εἰς ἔτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος. ἐπειδὴ καὶ τάξις ἀρίστη, παντὸς ἀρχομένῳ καὶ λόγου καὶ πράγματος, ἐκ θεοῦ τε ἄρχεσθαι, καὶ εἰς θεὸν ἀναπαύεσθαι. τὸ δὲ αἴτιον, ἢ τῆς πρὸ τοῦ, στάσεως καὶ ὀλιγοψυχίας, δι' ἣν ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἀφ' ὑμῶν χρόνον οὐ μικρὸν ἴσως τοῖς γε ποθοῦσιν, ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις ἐμαυτὸν ἔδωκα φέρων ὑμῖν, ἄλλος μὲν ἄλλο τι οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων ἡμᾶς, ὁ μὲν οὐκ ἀφελεῖς αἰτίας, ὁ δὲ καὶ προσέτι παραδεχόμενος. οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια, καὶ μάλιστα ἐὰν τύχωσιν ὑπ' εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια. ἐγὼ δὲ τὸ ἀληθὲς εἰς μέσον θήσω, μη-

psal. 36.

δὲν αἰσχυνθεὶς, καὶ διαιτήσω δικαίως ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι τε κατηγοροῦσιν ἡμῶν, καὶ ὅσοι ὑπεραπολογοῦνται προθύμως, τὸ μέν τι κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπεραπολογησάμενος.

Καὶ ἵνα γε καθ' ὁδὸν ὁ λόγος ἡμῖν προΐῃ, περὶ τῆς δειλίας προτέρας οὔσης, καὶ διαλέξομαι. οὐδὲ γὰρ ἀνέχομαι παραλείπεσθαί τινας ἐν ἐμοὶ τῶν πάντα τηρούντων ἐπιμελῶς τὰ ἡμέτερα, εἴτε καὶ ὡς ἑτέρως ἔχοντα, ἐπειδή τι τὸ καθ' ἡμᾶς εἶναι χριστιανοῖς εὐδόκησεν ὁ θεὸς, καὶ τοὺς ἤδη πεπληγότας, εἴπερ τινές εἰσι, διὰ τῆς ἀπολογίας ἰάσομαι. καλὸν γὰρ μήτε ἁμαρτάνοντα, μήτε ὑπονοούμενον, ἕως ἂν οἷόν τε ᾖ καὶ ὁ λόγος αἱρῇ, τιθέναι πρόσκομμα τοῖς ἄλλοις εἰς σκάνδαλον. εἴπερ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν, ἴσμεν ὅπως ἀπαραίτητος καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς ἡ τιμωρία.

Ἐγὼ γοῦν ἔπαθον τοῦτο ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος, ἀλλὰ μᾶλλον, ἵνα καὶ μικρόν τι καυχήσωμαι, οὔτε ὡς ὑπερόπτης τῶν θείων νόμων καὶ διατάξεων. ὅτι καθάπερ ἐν σώματι, τὸ μέν τι ἄρχον ἐστὶ καὶ οἷον προκαθεζόμενον, τὸ δὲ ἀρχόμενον καὶ ἀγόμενον, οὕτω κἂν ταῖς ἐκκλησίαις διέταξεν ὁ θεὸς ἰσότητος νόμῳ τῆς ἐχούσης τὸ κατ' ἀξίαν, ἢ καὶ προνοίας, ἣ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ ἄρχε-

θαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυνομένοις, τοὺς δὲ εἶναι ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῆς ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσὶν ἀνωτέρω κατ' ἀρετὴν, καὶ τὴν πρὸς τὸν θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα, ἢ νοῦ πρὸς ψυχὴν ἐπέχοντας. ἵν' ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό, τε ὑστεροῦν καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ πνεύματος συμβιβασθέντα καὶ συνδεθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ χριστοῦ τῆς κεφαλῆς ἡμῶν ὄντως ἄξιον. οὔτε οὖν τοῖς ἄλλοις ἀναρχίαν καὶ ἀταξίαν λυσιτελεστέραν οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις, ἀλλὰ τούτοις καὶ πάντων οὐχ ἥκιστα, ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ κίνδυνος. οἷς μέγα, κἂν εἰ τὸ πρῶτον τοῦ λόγου μὴ σώζοιεν, τὸ μηδὲν ἁμαρτάνειν, ἀλλὰ τόγε δεύτερον ἐκείνου, τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι. ἐπειδὴ τοῦτο καλὸν ἐφάνη καὶ δίκαιον, ἴσον ἐμοὶ κακὸν καὶ ὁμοίως ἄτακτον, πάντας τε ἄρχειν ἐθέλειν, καὶ μηδένα ἄρχεσθαι. ὡς εἴγε πάντες φεύγοιεν ταύτην, τὴν εἴτε λειτουργίαν χρὴ λέγειν, εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μεγίστῳ μέρει, καὶ οὐδ' ἂν καλὸν ἔτι μένοι τὸ καλὸν τῆς ἐκκλησίας πλήρωμα. ποῦ δ' ἂν ἔτι καὶ παρὰ τίνων θρησκεύοιτο ἡμῖν ὁ θεὸς τὰ μυστικὰ καὶ ἄνω φέροντα, ὃ δὴ

μέγιστον ἐστὶ τῶν ἡμετέρων καὶ τιμιώτατον, οὐκ
ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ ἱερα
τείας, οὐδὲ θυσίας, οὐδ᾽ ὅσα ὡς μέγιστα ἐπὶ
μεγάλοις τοῖς πταίσμασιν, οἱ πάλαι ἀπειθεῖς κα
τεκρίθησαν; ἀλλ᾽ οὐδὲ ξένον τι καὶ ἀπὸ τρόπου τοῖς
πολλοῖς τὰ θεῖα φιλοσοφοῦσιν, ἐπεὶ τὸ ἄρχειν
ἀναβαίνειν ἀπὸ τοῦ ἄρχεσθαι, οὐδὲ ἔξω τῶν νε-
νομισμένων τῆς φιλοσοφίας ὅρων, καὶ φορτίον
εἰς ὄνειδος. ὥσπερ οὐδὲ ναύτῃ τῶν εὐδοκίμων,
τὸ πρωρατεῦσαι, καὶ πρωρεῖ καλῶς τοὺς ἀνέμους
τηρήσαντι, τὸ πιστευθῆναι τοὺς οἴακας. ἢ δὲ βού-
λει, στρατιώτῃ γενναίῳ, τὸ ταξιαρχῆσαι, καὶ
ταξιάρχῃ καλῷ, τὸ στρατηγῆσαί τε καὶ πολέ-
μου παντὸς ἡγεμονίαν ἐγχειρισθῆναι. οὐ μὴν
οὐδ᾽ ὅπερ ἂν ὑπολάβοι τις ἴσως τῶν πάντα
ἀτόπων καὶ μοχθηρῶν, οἳ κρίνουσι τὰ τῶν ἄλ-
λων τοῖς οἰκείοις πάθεσιν, ᾐσχύνθην τὸν βαθμὸν τὴν
τάξιν ἐπιθυμίᾳ τῆς μείζονος. οὐχ οὕτως ἐγώ,
ἢ τοῦ θείου μεγέθους, ἢ τῆς ἀνθρωπίνης ταπεινώ
σεως ἄπειρος, ὡς μὴ μέγα νομίζειν πάσῃ γεννητῇ
φύσει καὶ ὁπωσοῦν πλησιάζειν θεῷ, τῷ μόνῳ
φανοτάτῳ καὶ λαμπροτάτῳ καὶ ὑπερέχοντι
πάσης ὑλικῆς καὶ ἀΰλου φύσεως καθαρότητι.

Τί οὖν ἐστιν ὃ πέπονθα; καὶ τίς ὁ λόγος τῆς ἐ-
μῆς ἀπειθείας; οὐδὲ γὰρ ἔδοξα τοῖς πολλοῖς ἐν ἐ-
μαυτῷ τότε μένειν, οὐδ᾽ εἶναι ὅσπερ ἐγινωσκό-
μην, ἀλλ᾽ ἕτερος ἐξ ἑτέρου τις γεγενῆσθαι, καὶ

πλέον, ἢ καλῶς εἶχεν, ἀντιτείνειν καὶ αὐθαδίζεσθαι. τούτου δὴ τὰς αἰτίας ἀκούοιτε ἂν ἤδη πάλαι ποθοῦντες. μάλιστα μὲν τῷ ἀδοκήτῳ πληγεὶς, ὥσπερ οἱ τοῖς αἰφνιδίοις τῶν ψόφων καταπλαγέντες, οὐ κατέσχον τοὺς λογισμοὺς, καὶ διὰ τοῦτο ἔλυσα τὴν αἰδῶ, πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος. ἔπειτά με τις ὑπεισῄει ἔρως τοῦ καλοῦ, τῆς ἡσυχίας, καὶ τῆς ἀναχωρήσεως, ἧς ἐραστὴς γενόμενος ἐξ ἀρχῆς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν περὶ λόγους ἐσπουδακότων, καὶ ἣν ἐν τοῖς μεγίστοις καὶ χαλεπωτάτοις κινδύνοις καθυποσχόμενος τῷ θεῷ, καίτοι καὶ προσαψάμενος ταύτης, ὅσον ἐν προθύροις γενέσθαι, καὶ πλείονά μοι τὸν πόθον ἐξαφθῆναι διὰ τῆς πείρας, οὐκ ἤνεγκα τυραννούμενος, καὶ εἰς μέσους τοὺς θορύβους ὠθούμενος, καὶ οἷον ἀφ' ἱεροῦ τινος ἀσύλου τοῦ βίου τούτου πρὸς βίαν ἀποσπώμενος. οὐδὲν γάρ ἐδόκει μοι τοιοῦτον, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, καὶ εἰς ἑαυτὸν συστραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων καὶ ὂν, καὶ ἀεὶ γινόμενον. φωτὶ προσλαμβάνοντα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον.

ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος ἀγαθὸν ταῖς ἐλπίσι καρπούμενον, καὶ συμπεριπολεῖν ἀγγέλοις, ἔτι ὑπὲρ γῆς ὄντα, καταλείποντα τὴν γῆν, καὶ ὑπὸ τοῦ πνεύματος ἄνω τιθέμενον.

εἴ τις ὑμῶν τούτῳ τῷ ἔρωτι κάτοχος, οἶδεν ὃ λέγω, καὶ τῷ τότε πάθει συγγνώσεται. τοὺς γὰρ πολλοὺς οὐδ᾽ ἂν πείσαιμι λέγων ἴσως, ὅσοις καὶ ἐν γέλωτι τὸ πρᾶγμα εἶναι δοκεῖ, καὶ κακῶς διατιθεῖσιν εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας, εἴτε ὑπὸ τῶν ἀναξίων τοῦ ἐπαγγέλματος, οἳ πράγματι καλῷ κακὸν περιτεθείκασιν ὄνομα τῇ φιλοσοφίᾳ, τὴν κενοδοξίαν. συνεργὸν λαβόντες τὸν φθόνον καὶ τὴν τῶν πολλῶν κακίαν, πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν. ἵν᾽ ἕν γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐνεργούμενον, ἢ τὸ καλὸν ἀπιστούμενον.

πρὸς δὲ τούτοις, πρᾶγμα ἔπαθον, ἐκλαλήσω γὰρ πρὸς ὑμᾶς πᾶν τὸ ἀπόῤῥητον, οὐκ οἶδα, εἴτε ἄγροικον, εἴτε ἐλεύθερον, ἔπαθον δ᾽ οὖν. ᾐσχύνθην ὑπὲρ τῶν ἄλλων, ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους, μέγα μὲν οὖν εἰ καὶ μὴ πολλῷ χείρους, ἀνίπτοις χερσὶν, ὃ δὴ λέγεται, καὶ ἀμυήτοις ψυχαῖς, τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι, καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τε καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ οὐκ ἀρετῆς τύπον, ἀλλ᾽ ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ λειτουργίαν ὑπεύθυνον, ἀλλ᾽ ἀρχὴν ἀνεξέταστον.

καὶ εἰσὶ σχεδὸν τῷ πλείους κατ' ἀριθμὸν, ἢ ὁπόσων ἄρχουσι. δείλαιοι τῆς δυσσεβείας, καὶ ἄθλιοι τῆς λαμπρότητος. ὥστε ἔμοιγε δοκοῦσι προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν ὧν ἄρξουσι πάντων διδασκόντων, ἀντὶ τοῦ διδακτοὺς εἶναι θεοῦ ὥς φησιν ἡ ἐπαγγελία, καὶ πάντων προφητευόντων. ὥστε εἶναι καὶ Σαοὺλ ἐν προφήταις, κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ παροιμίαν. οὐδὲν γὰρ οὕτω πολὺ κατ' οὐδένα καιρὸν οὔτ' ἔστιν οὔτ' ἐγένετο, ἄλλοτε ἄλλων ἀκμασάντων τε καὶ ληξάντων, ὡς νῦν χριστιανοῖς τὰ τοιαῦτα καὶ ὀνείδη καὶ ἁμαρτήματα. ὧν εἰ καὶ στῆσαι τὴν φορὰν κρεῖσσον ἢ καθ' ἡμᾶς, ἀλλὰ τό γε μισεῖν καὶ αἰσχύνεσθαι, μέρος εὐσεβείας οὐ τὸ σμικρότατον.

Τὸ δὲ τελευταῖον καὶ μέγιστον τῶν εἰρημένων, εἰ με γὰρ ἐᾷ αὐτὸ ἤδη τὸν κολοφῶνα τοῦ λόγου καὶ οὐ ψεύσομαι, οὐδὲ γὰρ θέμις, τοῖς περὶ τηλικούτων ποιουμένοις τὸν λόγον οὐ κώμην ἴσον εἶναι, οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν ἢ βουκολίου, καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς. ἐκεῖ μὲν γὰρ ἐξαρκεῖν, ὅτι παχύτατον καὶ πιότατον ἀποδεῖξαι τὸ βουκόλιον ἢ τὸ ποίμνιον. καὶ πρὸς τοῦτο ὁρῶν, ὅ, τε βουκόλος καὶ ὁ ποιμὴν, τῶν τε χωρίων ἐπισκέψεται τὰ εὔυδρα καὶ ἐπίνομα, διελάσει τε καὶ ἐξελάσει ἀπό τε νομῶν καὶ εἰς νομὰς, ἀναπαύσει τε καὶ ἀποκινήσει καὶ ἀνακαλέσει, ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ δὲ τῇ σύριγγι.

γι. ἄλλο δὲ οὐδὲν ἔργον εἶναι τῷ ποιμένι ἢ τῷ βουκόλῳ, πλὴν ὅσον βραχέα προσπολεμῆσαι τοῖς λύκοις, καί που τι καὶ ἀῤῥωστοῦν ἐπισκέψασθαι. τὰ πολλὰ δὲ αὐτῷ μελήσει δρῦς, καὶ σκιὰ, καὶ δόνακες, καὶ ἐν καλῷ τῆς πόας κατακλιθῆναι, καὶ παρὰ ψυχρὸν ὕδωρ, καὶ ὑπὸ ταῖς αὔραις σχεδιάσαι στιβάδα, καί που τι καὶ ἐρωτικὸν ᾆσαι μετὰ τοῦ κισυβίου, καὶ προσλαλῆσαι ταῖς βουσὶν ἢ τῇ ποίμνῃ, καὶ τούτων αὐτὴν θοινήσασθαι, ἢ ἀποδόσθαι τὸ πιότατον. ἀρετῆς δὲ, οὐδείς πω ποιμνίων ἢ βουκολίων ἐφρόντισεν. τίς γὰρ καὶ ἀρετὴ τούτων; ἢ τίς τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο; ἀνθρώπῳ δὲ, χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι, τὸ εἰδέναι ἄρχειν ἀνθρώπων. καὶ μάλιστα δὴ ἀρχὴν ταύτην τὴν ἡμετέραν, τὴν ἐν νόμῳ θείῳ καὶ πρὸς θεὸν ἄγουσαν, ἧς ὅσον τὸ ὕψος καὶ τὸ ἀξίωμα, τοσοῦτος καὶ ὁ κίνδυνος τῷ γε νοῦν ἔχοντι. ὅν γε πρῶτον μὲν δεήσει καθάπερ ἄργυρον ἢ χρυσὸν πανταχόθεν στρεφόμενον, καὶ ἐν παντοίοις καιροῖς καὶ πράγμασι, μηδαμοῦ κίβδηλον ἠχεῖν ἢ ὑπόχαλκον, μηδέ τι φέρειν ἐν ἑαυτῷ ὕλης τῆς χείρονος, καὶ θερμοτέρου πυρὸς ἀξίας. ἢ τοσούτῳ μεῖζον ἔσται κακὸν, ὅσῳ περ ἂν ἀρχῇ πλειόνων. εἴπερ καὶ μείζων τῆς περὶ ἕνα ἱσταμένης πονηρίας, ἡ εἰς πολλοὺς ὁδεύουσα.

Οὐ γὰρ

οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλαμβάνει ῥᾳδίως ὕφασμα, οὔτε δυσωδίας ἢ τοῦ ἐναντίου τὸ πλησιάζον, οὔτε νοσερά τις οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα, καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζώοις ἀτμὶς, ὃ δὴ λοιμὸς ἐστί τε καὶ ὀνομάζεται, ὡς φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον. καὶ πολλῷ γε ῥᾷον, ἢ τοῦ ἐναντίου, τῆς ἀρετῆς. τοῦτο γάρ ἐστιν ᾧ μάλιστα πλεονεκτεῖ τὴν καλοκαγαθίαν ἡ πονηρία, καὶ ὃ μάλιστα ἐγὼ δυσχεραίνω κατανοῶν. ὅτι εὐζήλωτον μέν τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία. καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακὸν, καὶ εἰ μὴ τύχοι πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς. σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον. καὶ τοῦτ' ἔστιν, ὅ μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας, ὠδὶ τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν καὶ ἀλη-
» θεστάτην εἰκόνα. ἐρωτήσατε ἱερεῖς νόμον λέ- Aggæ. 2
» γων, εἰ κρέας ἅγιον ἐν ἱματίῳ βρωτοῦ τινος ἢ πο-
» τοῦ, ἢ σκεύους ἁψάμενον, εὐθὺς ἁγιάσει τὸ πλη-
» σιάσαν. τῶν δὲ ἀποφησάντων, ἐρωτήσατε πά-
» λιν, εἰ καὶ ἀκαθαρσία τούτων τι προσομιλή-
» σαν, μὴ παραχρῆμα μετέλαβε τοῦ μιάσμα-
» τος. ὡς ἐρούντων γε μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ. τί τοῦτο λέγων;

ὅπερ ὁ ἐμὸς λόγος, ὅτι δύσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ. ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι. καλάμη ὡς πρὸς σπινθῆρα, οἶμαι, καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη καὶ δαπανωμένη διὰ ξηρότητα. θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. ἐπεὶ καὶ μέλιτι μὲν, μικρὸν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ, μέλι δὲ, οὐδὲ τὸ διπλάσιον, ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος. καὶ μικρὰ μὲν ὑφαιρεθεῖσα ψηφὶς, ποταμὸν ὅλον ἑλκύσειεν ἂν εὐθὺ τὸ πρανὲς, ἐπισχεῖν δὲ ἢ ἀνακόψαι, μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα. πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι ἄξιον. μὴ φανώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν φαῦλον ἀρχέτυπον. ἢ τὸ τῆς παροιμίας μὴ πόῤῥω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες, αὐτοὶ βρύοντες ἕλκεσι. δεύτερον δὲ, εἰ καί τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας τηρήσειεν, ἢ ὡς μάλιστα, οὐκ οἶδα μὲν, εἰ καὶ τοῦτο αὔταρκες τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν πρὸς ἀρετήν. οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τοῦτο πεπιστευμένον, τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς πολλοῖς αἴσχιστον, ἀλλὰ

καὶ τῷ

καὶ τῷ ἀγαθῷ διαφέροντα. κατὰ τὴν ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθὸν κελεύουσαν ἐντολήν. οὐδὲ τοὺς φαύλους ἐξαλείψαι τῆς ψυχῆς τύπους μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι. ὡς πλέον κατ' ἀρετὴν προέχειν, ἢ ὁπόσον πρόεστιν ἀξιώματι. καὶ μηδὲν μέτρον εἰδέναι τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως. μὴ δὲ κέρδος μᾶλλον τὸ κρατηθὲν, ἢ ζημίαν τὸ διαφεῦγον. ἀλλ' ἐπίβασιν ἀεὶ ποιεῖσθαι τὸ ἐν ποσὶ τοῦ ἑξῆς. καὶ μὴ μέγα νομίζειν, ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν, ἂν τῆς ἀξίας ἀπολειπώμεθα. καὶ τῇ ἐντολῇ παραμετρεῖν, ἀλλὰ μὴ τοῖς πέλας, τὸ κατορθούμενον, ἄν τε ὦσι κακοὶ, ἄν τε ἀρετῆς ἐπὶ ποσὸν ἥκοντες. καὶ μικροῖς σταθμοῖς ταλαντεύειν τὴν ἀρετὴν, τῷ μεγίστῳ, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα χρεωστουμένην. μὴ δὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι. ὥσπερ οὐδὲ ἡλικίαι πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη λαμπτήρων. ἀλλ' ἡγεῖσθαι ἰδιώτου μὲν εἶναι κακίαν, τὸ φαῦλα πράσσειν, καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ νόμος βαρὺς δεσπότης. ἄρχοντος δὲ ἢ προεστῶτος, τὸ μὴ ὡς ἄριστον εἶναι, καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα. εἴπερ μέλλοι τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον. καὶ μὴ βίᾳ κατάρξειν,

ϛϛ. 36 ἀλλὰ πειθοῖ προσάγεσθαι. τὸ μὲν γὰρ ἀκού-
σιον, πρὸς τῷ τυραννικὸν εἶναι καὶ οὐκ ἐπαι-
νετὸν, οὐδὲ μόνιμον. φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ
φυτὸν βίᾳ χερσὶ μετασπώμενον, εἰς ἑαυτὸ πά-
λιν, ἀφεθὲν ἀνατρέχειν. τὸ δὲ ἐκ προαιρέσεως, ἐν-
νομώτατόν τε ἅμα καὶ ἀσφαλέστατον, εὐνοίας
δεσμῷ τηρούμενον. ὅθεν δὴ καὶ μάλιστα ποι-
μαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκα-
Pe. ep. 1. 5. στῶς, ὁ ἡμέτερος διακελεύεται νόμος καὶ νομοθέτης.
Ἀλλ' ἔστω τις μήτε κακὸς, καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀ-
κρότατον. οὐχ ὁρῶ τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ
δυνάμει πιστεύσας, ταύτην ἂν θαῤῥοίη τὴν προστα-
σίαν. τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις
εἶναι τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρω-
πον ἄγειν, τὸ πολυτροπώτατον τῶν ζώων καὶ
ποικιλώτατον. γνοίη δ' ἄν τις, τῇ τῶν σωμάτων
θεραπείᾳ, τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετά-
σας. καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη καταμαθὼν,
ὅσῳ δὲ ἡ καθ' ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ
τῇ φύσει τῆς ὕλης, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης,
καὶ τῷ τέλει τῆς ἐνεργείας τιμιωτέρα. ἡ μὲν
γὰρ περὶ σώματα πονεῖται καὶ τὴν ἐπίκηρον ὕ-
λην καὶ κάτω ῥέουσαν, πάντως λυθησομένην
καὶ πεισομένην τὸ ἑαυτῆς. κἂν νῦν τῇ συμμα-
χίᾳ τῆς τέχνης καταχρατήσῃ τῆς ἐν αὐτῇ στά-
σεως. ἢ γὰρ νόσος ἢ χρόνος ἔλυσεν, εἴξασαν τῇ φύ-

σει, καὶ

σει, καὶ τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνουσαν. τῇ
δὲ, περὶ ψυχὴν ἡ σπουδὴ, τὴν ἐκ θεοῦ καὶ θείαν,
καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς
ἐκείνην ἐπειγομένην, εἰ καὶ τῷ χείρονι συνεδέ-
θη. τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, ἃς μόνος οἶ-
δεν ὁ συνδήσας θεὸς, καὶ εἴ τις ἐκ θεοῦ τὰ τοιαῦ-
τα ἐσοφίσθη μυστήρια. ὅσον δ' οὖν ἐμὲ γινώσκειν
καὶ τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν. ἑνὸς μὲν, ἵνα δι' ἀγῶ-
νος καὶ πάλης τῆς πρὸς τὰ κάτω, τῆς ἄνω δόξης
κληρονομήσειεν. ὥσπερ χρυσὸς τῷ πυρὶ, τοῖς τῇ-
δε βασανισθεῖσα. καὶ ἀρετῆς ἆθλον, ἀλλὰ μὴ θεοῦ
δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα. καὶ τοῦτο δὲ
ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ ἀγα-
θὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπει-
ρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωργούμενον,
καὶ τοῖς ἐπ' ἄμφω τοῦ αὐτεξουσίου κινήμασιν.
ἑτέρου δὲ πάλιν, ὡς ἂν καὶ τὸ χεῖρον ἑλκύσειε
πρὸς ἑαυτὴν καὶ ἄνω θείη, λύσασα κατὰ μικρὸν
τῆς παχύτητος. ἵν' ὅπερ ἐστὶ θεὸς ψυχῇ, τοῦτο
ψυχὴ σώματι γένηται. παιδαγωγήσασα δι' ἑαυ-
τῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα θεῷ τὸ
ὁμόδουλον. χώρας, καὶ καιροὺς, καὶ ἡλικίας,
καὶ ὥρας, καὶ τὰ τοιαῦτα ὁ ἰατρὸς ἐπισκέπτε-
ται, φαρμακεύσει τε καὶ διαιτήσει καὶ τηρήσει
τὰ βλαβερὰ, ὡς ἂν μὴ ἀντιβῆναι τῇ τέχνῃ τὰς
τῆς ἀῤῥωστίας ἐπιθυμίας. καί που καὶ καύσε

σι, καὶ τομαῖς, καὶ τοῖς αὐστηροτέροις τῆς θερα-
πείας, ἔστιν ὅτε καὶ ἐφ' ὧν χρήσεται. ὧν οὔ-
πω τοσοῦτον οὐδέν, κἂν ἐπίπονα σφόδρα καὶ χα-
λεπὰ φαίνηται, ὅσον ἤθη καὶ πάθη, καὶ βίους
καὶ προαιρέσεις, καὶ εἴ τι ἄλλο τοιοῦτον τῶν ἐν
ἡμῖν, κατοπτεύουσαί τε καὶ ἰατρεύουσαι. καὶ πᾶν ὅ-
σον θηριῶδες καὶ ἄγριον ἐξορίσαντας τῆς συ-
ζυγίας τῆς ἡμετέρας, πᾶν ὅσον ἥμερον καὶ
θεῷ φίλον ἀντεισαγαγεῖν τε καὶ βεβαιώσασθαι.
καὶ βραβεύουσαι δικαίως ψυχῇ τε καὶ σώματι, μὴ
τῷ χείρονι τὸ κρεῖσσον δυναστεύεσθαι συγχωρή-
σαντας, ἥπερ ἀδικιῶν ἡ μεγίστη. τῷ δὲ ἄρχοντι
καὶ ἡγεμονικῷ τὸ τῇ φύσει δεύτερον ὑποτά-
ξαντας, ὅσπερ δὴ νόμος θεῖος καὶ κάλλιστα ἔ-
χων ἐπὶ πάσης αὐτοῦ τῆς κτίσεως, ὅση τε ὁρα-
τὴ καὶ ὅση ὑπὲρ τὴν αἴσθησιν. Σκοπῶ δὲ
κἀκεῖνο, ὅτι ἐκείνων μὲν ὧν ἀπηριθμησάμην
ἕκαστον, ὡς τῷ θεραπευτῇ τηρουμένων ὅπως ἔ-
χει φύσεως, οὕτω μένει, καὶ οὐδὲν ἀντιτεχνᾶται
παρ' ἑαυτοῦ πανούργως, οὐδὲ ἀντισοφίζεται
τοῖς παρὰ τῆς τέχνης προσαγομένοις, ἀλλὰ καὶ
περιΐστησι μᾶλλον τὴν ὕλην ἡ ἰατρεία, πλὴν
εἴπου βραχεῖά τις παρεμπέσοι τοῦ κάμνοντος ἀ-
ταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ χα-
λεπόν. ἡμῖν δὲ ἡ σύνεσις, καὶ τὸ φίλαυτον, καὶ
τὸ νικᾶσθαι ῥᾳδίως μήτε εἰδέναι, μήτε ἀνέχεσθαι,

23. μέγιστον πρὸς ἀρετὴν ἐστὶν ἐμπόδιον, καὶ οἷόν τις παράταξις κατὰ τῶν συμμαχούντων γίνεται. καὶ ὅσην εἰσφέρειν ἔδει σπουδὴν, γυμνοῦν τὴν νόσον τοῖς θεραπεύουσιν, τοσαύτην ὥστε τὴν ἰατρείαν φυγεῖν εἰσφερόμεθα, καὶ ἐσμὲν ἀνδρεῖοι καθ᾽ ἑαυτῶν, καὶ κατὰ τῆς ὑγείας ἡμῶν ἐπιστήμονες. ἢ γὰρ δουλοπρεπῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν, ὥσπερ τι πάθος ὕπουλον καὶ κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν τοῦ θεοῦ καὶ τῆς δίκης, κἂν τοὺς ἀνθρώπους λάθωμεν, ἢ προφασιζόμεθα προφάσεις ἐν ἁμαρτίαις, λόγους συνηγόρους τοῖς πάθεσιν ἀνευρίσκοντες. ἢ τὰς ἀκοὰς ἀποφράξαντες, ἀσπίδος κωφῆς καὶ psal: 57.
τὰ ὦτα βυούσης τρόπον, μὴ ἀκοῦσαι φωνῆς ἐπαδόντων φιλονικοῦμεν, μὴ δὲ φαρμακευθῆναι σοφίας φαρμάκοις, οἷς ἀῤῥωστία ψυχῆς θεραπεύεται. ἢ τὸ τελευταῖον, οἵγε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι, καὶ φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν καὶ τοὺς ταύτης θεραπευτὰς, γυμνῇ τῇ κεφαλῇ, τὸ δὴ λεγόμενον, χωροῦντες πρὸς πᾶσαν παρανομίαν. ὢ τῆς παραπληξίας, ἢ εἴ τι ἄλλο τῷ τοιούτῳ πάθει κυριώτερον ὄνομα. καὶ οὓς ἀγαπᾶν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς ἐχθροὺς ἀμυνόμεθα, μισοῦντες ἐν πύλαις ἐλέγχοντας, καὶ λόγον ὅσιον βδε-

λυσσώμενοι. καὶ οἰόμεθα μᾶλλον πολεμήσειν τοῦ ἡμῖν εὔνου, ἂν ὅτι πλεῖστα ἡμᾶς αὐτοὺς κακῶς δράσωμεν. ὥσπερ οἱ τῶν ἰδίων σαρκῶν ἁπτόμενοι, τὰς τῶν πέλας δαπανᾶν νομίζοντες.

Ταῦτά ἐστιν, οἷς ἐγὼ τὴν καθ' ἡμᾶς ἰατρικὴν, τῆς περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καὶ διὰ τοῦτο τιμιωτέραν. καὶ ὅτι ἐκείνη μὲν ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσα, περὶ τὸ φαινόμενον ἡ πλείων τῆς πραγματείας. ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καὶ σπουδὴ, καὶ πρὸς τὸν ἔνδοθεν ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ μάχη. ὃς ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον, τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσι. πρὸς οὖν ταῦτα, πολλῆς μὲν, καὶ παντελοῦς τῆς πίστεως, μείζονος δὲ τῆς παρὰ θεοῦ συνεργίας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως, ὥς γε ἐμαυτὸν πείθω, χρεία, τῆς καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένης, εἴ τι καὶ προσαγομένης, ἣ δεῖ καλῶς ἡμῖν θεραπεύεσθαι καὶ ἀρτικαθαίρεσθαι, καὶ ὡς πλείστου ἀξίας εἶναι τὸ τιμιώτατον ὧν ἔχομεν, τὰς ψυχάς. Τά γε μὴν ἀμφοτέρων τῶν θεραπειῶν τέλη, σκόπει γὰρ ἡμῖν εἰς τὴν ἐξέτασιν ἔτι λείπεται, τῇ μὲν ὑγίειαν ἢ εὐεξίαν σαρκὸς, ἢ οὖσαν φυλάξαι, ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι, ὧν οὔπω δῆλον, εἴ τι συν-

οἴσει τοῖς κεκτημένοις. ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις, πλείω τὴν ἔχοντας ὄνησιν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες, καὶ ὅσα ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει. τῇ δὲ τὸ προκείμενον, πτερῶσαι ψυχὴν, καὶ ἁρπάσαι κόσμου καὶ δοῦναι θεῷ. καὶ τὸ κατ' εἰκόνα, ἢ μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαῤῥυὲν ἀνασώσασθαι, ἐνοικίσαι τε τὸν χριστὸν ἐν ταῖς καρδίαις διὰ τοῦ πνεύματος, καὶ τὸ κεφάλαιον, θεὸν ποιῆσαι, καὶ τῆς ἄνω μακαριότητος, τὸν τῆς ἄνω συντάξεως. τοῦτο ἡμῖν ὁ παιδαγωγὸς βούλεται νόμος. τοῦτο οἱ μέσοι χριστοῦ καὶ νόμου προφῆται. τοῦτο ὁ τοῦ πνευματικοῦ νόμου τελειωτὴς καὶ τὸ τέλος, χριστός. τοῦτο ἡ κενωθεῖσα θεότης. τοῦτο ἡ προσληφθεῖσα σάρξ. τοῦτο ἡ καινὴ μίξις θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. διὰ τοῦτο θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι, καὶ πάντα ὑπὲρ πάντων ἦλθεν εἰς ἓν, καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος. ἡ ψυχὴ, διὰ τὴν παρακούσασαν. ἡ σάρξ, διὰ τὴν ὑπουργήσασαν καὶ συγκατακριθεῖσαν, ἡ μὲν, ψυχήν.

ἡ δὲ σάρξ. ὁ χριστὸς, διὰ τὸν ἀδὰμ τὸν γινόμε-
νον ὑπὸ τὴν ἁμαρτίαν, ὁ κρείσσων ἁμαρτίας καὶ
ὑψηλότερος. διὰ τοῦτο ἀντεισήχθη τῷ παλαιῷ
τὸ νέον, καὶ διὰ πάθους ὁ παθὼν ἀνεκλήθη.
καὶ ὑπὲρ ἑκάστου τῶν ἡμετέρων, ἕκαστον τῶν ὑπὲρ
ἡμᾶς ἀντεδόθη. καὶ γέγονε καινὸν τὸ μυστήριον,
ἡ περὶ τὸν πεσόντα δι' ἀπείθειαν ἐκ φιλανθρω-
πίας οἰκονομία. διὰ τοῦτο γέννησις καὶ παρθένος.
διὰ τοῦτο φάτνη καὶ βηθλεέμ. ἡ γέννησις, ὑπὲρ
τῆς πλάσεως. ἡ παρθένος, ὑπὲρ τῆς γυναικός.
ἡ βηθλεέμ, διὰ τὴν ἐδέμ. ἡ φάτνη, διὰ τὸν πα-
ράδεισον. τὰ μικρὰ καὶ φαινόμενα, ὑπὲρ τῶν
μεγάλων καὶ κρυπτομένων. διὰ τοῦτο ἄγγελοι δο-
ξάζοντες τὸν οὐράνιον εἶτα ἐπίγειον, καὶ ποιμέ-
νες δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι. καὶ
ἀστὴρ ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωρο-
φοροῦντες, ἵν' εἰδωλολατρεία καταλυθῇ. διὰ τοῦ-
το ἰησοῦς βαπτιζόμενος, καὶ ἄνωθεν μαρτυρού-
μενος, καὶ νηστεύων, καὶ πειραζόμενος, καὶ νικῶν
τὸν πειράζοντα. διὰ τοῦτο δαίμονες ἐλαυνό-
μενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ τὸ μέγα κή-
ρυγμα μικροῖς ἐγχειριζόμενον καὶ κατορθούμε-
νον. διὰ τοῦτο ἔθνη φρυασσόμενα, καὶ λαοὶ μελετῶν-
τες κενά. διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου, καὶ κα-
τὰ τῆς χειρὸς χεῖρες. τῆς ἀκρατῶς ἐκταθείσης,
αἱ γενναίως ταθεῖσαι. τῆς ἀνειμένης, αἱ τοῖς ἥ-

λοις ἀθεῖσαι. τῆς ἐκβαλούσης ἀδὰμ, αἱ τὰ πέρατα οἰκειούμεναι. διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος, καὶ χολὴ κατὰ τῆς γεύσεως, καὶ στέφανος ἀκάνθινος κατὰ τοῦ πονηροῦ κράτους, καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος ὑπὲρ τοῦ φωτὸς, καὶ ταφὴ κατὰ τῆς εἰς γῆν ἀποστροφῆς, καὶ ἀνάστασις ὑπὲρ τῆς ἀναστάσεως. ταῦτα πάντα, παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν ἀδὰμ ὅθεν ἐξέπεσεν ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς γνώσεως, οὐ κατὰ καιρὸν, οὐδὲ ἐπιτηδείως μεταληφθὲν ἠλλοτρίωσεν. ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοὶ, ὅσοι τῶν ἄλλων προκαθεζόμεθα. οἷς μέγα μὲν, τὸ τὰ ἴδια πάθη καὶ ἀρρωστήματα καὶ γινώσκειν καὶ θεραπεύειν. μᾶλλον δὲ οὔπω μέγα, πλὴν τοῦτο λέγειν ἡμᾶς ἢ τὴν πολλὴν κακίαν πεποίηκεν, τῶν ὧδι ταύτης ὄντων τῆς τάξεως. πολλῷ δὲ μᾶλλον τὸ τὰ τῶν ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως, καὶ ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε τῆς θεραπείας χρῄζουσιν, καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις. εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταὶ, πόνους τε καὶ ἀγρυπνίας καὶ φροντίδας ἀεὶ ἴσμεν ἔχουσιν, καὶ τὸ ἐπ᾽ ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὥς ἔφη τις τῶν παρ᾽ ἐκείνοις σοφῶν, καὶ

τὰ μὲν αὐτοὶ μοχθοῦντες καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ' ἄλλων ἐρανιζόμενοι καὶ συνεισφέροντες, προσορίζουσι τοῖς δεομένοις. καὶ οὐδὲν οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν ἢ διαφυγὸν οὐδὲ τῶν ἐλαχίστων, ὡς μὴ μέγα πρὸς τὴν τῆς ὑγείας ῥοπὴν, ἢ τοῦ κινδύνου τοὐναντίον ὑποληφθῆναι. καὶ ταῦτα, ὑπὲρ τίνος, ἵνα ἄνθρωπος ζήσῃ πλείους τὰς ὑπὲρ γῆς ἡμέρας. καὶ οὗτος, οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων, ᾧ πάλαι τεθνάναι ἴσως ἄμεινον ἦν ὄντι κακῷ, ἵνα τοῦ μεγίστου τῶν ἀρρωστημάτων, κακίας ἀπαλλαγῇ. εἰ δὲ καὶ τῶν καλῶν θείημεν, πόσον βιωσομένῳ; τὸν ἅπαντα χρόνον; ἢ τί τῆς ἐνταῦθα κερδανοῦντι ζωῆς; ἧς τὸ λυθῆναι ζητεῖν, τῶν καλῶν τὸ πρῶτον καὶ ἀσφαλέστατον ὡς ἐμοὶ δοκεῖν καὶ ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος. ἡμῖν δὲ οἷς τὸ κινδυνευόμενον ἐστὶ σωτηρία ψυχῆς τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα κολασθησομένης, ἢ ἐπαινεθησομένης διὰ κακίαν ἢ ἀρετὴν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, ἢ ὅσης δεῖν τῆς ἐπιστήμης, ἰατρεῦσαι καλῶς ἢ ἰατρευθῆναι; καὶ τὴν ζωὴν μεταθέσθαι; καὶ δοῦναι τὸν χοῦν τῷ πνεύματι; οὐ γὰρ τὴν αὐτὴν οὔτε λόγων, οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄρρενι, οὔτε γῆρα νεότης, οὔτε πενία πλοῦτος, οὔτε εὔθυμος ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἀρ-

χοντές τε καὶ ἀρχόμενοι, σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ θρασεῖς, ὀργίλοι καὶ πρᾶοι, κατορθοῦντες καὶ πίπτοντες. κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον τῶν ἐν συζυγίαις πρὸς τοὺς ἀγάμους, κἂν τούτοις πάλιν, τῶν τῆς ἐρημίας πρὸς τοὺς κοινωνικούς καὶ μιγάδας. τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, πρὸς τοὺς ἁπλῶς κατευθύνοντας. ἀστικῶν τε αὖ καὶ τῶν ἐκ τῆς ἀγροικίας. ἀκεραιοτέρων τε καὶ πανουργοτέρων. τῶν ἐν πράγμασι, πρὸς τοὺς ἡσυχάζοντας. τῶν μεταβολῇ πληγέντων, πρὸς τοὺς εὐδρομοῦντας καὶ ἀμαθεῖς τοῦ χείρονος. τούτων γὰρ ἕκαστοι, πλεῖον ἀλλήλων ἐστὶν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς, ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες. εἰ δὲ βούλει, τὰς τῶν στοιχείων μίξεις καὶ κράσεις ἐξ ὧν συνεστήκαμεν, οὐ ῥᾴστην ἔχουσι τὴν οἰκονομίαν. ἀλλ᾽ ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύονται. μαρτυροῦσι δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη. τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι. οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλινοῦ. οἱ μὲν γάρ εἰσι νωθεῖς, καὶ δυσκίνητοι πρὸς τὸ καλὸν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον, οἱ δὲ θερμότεροι τοῦ μετρίου τῷ πνεύμα

τι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς. καθάπερ πῶλοι γενναῖοι πόῤῥω τῆς νύσσης θέοντες, οὓς βελτίους ἂν ποιήσειεν, ἄγχων καὶ ἀνακόπτων ὁ λόγος. τοὺς μὲν, ἔπαινος ὤνησεν, τοὺς δὲ ψόγος. ἀμφότερα μετὰ τοῦ καιροῦ. ἢ τοὐναντίον, ἔβλαψεν ἔξω τοῦ καιροῦ καὶ τοῦ λόγου. τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δὲ ἐπιτίμησις. καὶ αὕτη, τοὺς μὲν, ἐν τῷ κοινῷ διελεγχομένους. τοὺς δὲ, κρύβδην νουθετουμένους. φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῆς ἰδίᾳ νουθετήσεως, πλήθους καταγνώσει σωφρονιζόμενοι. οἱ δὲ, πρὸς τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες τῆς συμπαθείας, τὴν εὐπείθειαν. τῶν μὲν, πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ τῶν μικροτάτων, ὅσους τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο τεχνάζουσιν, ὡς σοφοτέρους ἐφύσησεν. τῶν δὲ, ἔστιν ἃ καὶ παρορᾶν ἄμεινον. ὥστε ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν. ἵνα μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐρεθίζωμεν, τῷ φιλοπόνῳ τῶν ἐλέγχων καταβαπτίζοντες, καὶ τέλος, πρὸς πάντα ποιήσωμεν τολμηρούς, τὸ τῆς πειθοῦς φάρμακον τὴν αἰδῶ διαλύσαντες. καὶ μέντοι καὶ ὀργιστέον τισὶν οὐκ ὀργιζομένους, καὶ ὑπεροπτέον, οὐχ ὑπερορῶντας, καὶ ἀπογνωστέον οὐκ ἀπογινώσκοντας, ὅσων τοῦτο ἡ

φύσις ἐπιζητεῖ. καὶ ἄλλους ἐπιεικείᾳ θεραπευτέον καὶ ταπεινότητι, καὶ τῷ συμπροθυμεῖσθαι δὴ περὶ τὰς χρηστοτέρας ἐλπίδας. καὶ τοὺς μὲν νικᾷν, τῶν δὲ ἡττᾶσθαι πολλάκις λυσιτελέστερον. καὶ τὴν μὲν εὐπορίαν καὶ δυναστείαν, τὴν δὲ πενίαν ἢ δυσπραγίαν ἢ ἐπαινεῖν, ἢ ἀπεύχεσθαι. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας, τὴν μὲν καλλίστην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ, καὶ πᾶσι, τὴν δὲ χειρίστην τε καὶ βλαβερωτάτην. οὕτω καὶ τῆς φαρμακείας τῆς ἡμετέρας, ἕν τι, καὶ τὸ αὐτὸ ὑγιεινότατον, ἢ ἐπισφαλέστατον ἀεὶ καὶ τοῖς αὐτοῖς ἀποδέδεικται. οἷον τὸ αὐστηρὸν ἢ τὸ πρᾶον, ἢ τῶν ἄλλων ὧν ἀπηριθμησάμην ἕκαστον. ἀλλὰ τοῖς μὲν τοῦτο καλὸν καὶ χρήσιμον, τοῖς δὲ τὸ ἐναντίον πάλιν, ὅπως ἂν οἶμαι συμπίπτωσιν οἵ τε καιροὶ καὶ τὰ πράγματα, καὶ ὁ τῶν θεραπευομένων ἐπιδέχηται τρόπος. ἃ πάντα μὲν διελέσθαι λόγῳ καὶ συνιδεῖν ἐπὶ τὸ ἀκριβέστατον, ὥστε ἐν κεφαλαίῳ τὴν θεραπείαν περιλαβεῖν, ἀμήχανον, κἂν ἐπὶ πλεῖστον ἐξικνῆταί τις ἐπιμελείας τε καὶ συνέσεως. ἐπὶ δὲ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων, τῷ θεραπευτῇ λόγῳ καὶ ἀνδρὶ καταφαίνεται. καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι καθάπερ τοῖς ἐπὶ κάλου μετεώρου καὶ ὑψηλοῦ βαίνουσι, τῇδε ἢ τῇδε ἀποκλῖναι οὐκ ἀσφαλὲς, οὐδὲ εἰς μικρὸν

φθείρουσα ἡ ῥοπὴ κἂν μικρὰ φαίνηται, ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσοῤῥοπία καθίσταται. οὕτω κἂν τούτοις. ὁποτέρωσουν δύσει τις, εἴτε διὰ κακίαν, εἴτε δι' ἀμαθίαν, κίνδυνος, οὐχ ὁ τυχὼν, αὐτῷ τε καὶ τοῖς ἀγομένοις, τοῦ τῆς ἁμαρτίας πτώματος. ἀλλ' ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ προσεκτέον μήτε εἰς δεξιὰ, μήτε εἰς ἀριστερὰ, καθὼς αἱ παροιμίαι φασὶν, ἐκκλίνοντας. Οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει τῶν ἡμετέρων, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ ποιμένι, τῷ γνωστῶς γνωσομένῳ ψυχὰς ποιμνίου, καὶ ἀφηγησομένῳ κατὰ λόγον ποιμαντικῆς, τῆς γε ὀρθῆς καὶ δικαίας καὶ τοῦ ἀληθινοῦ ποιμένος ἡμῶν ἀξίας. Ταύτην δὲ τὴν τοῦ λόγου διανομὴν, ἵνα τελευταῖον εἴπω τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ καὶ ὃν νῦν πάντες φιλοσοφοῦσιν, εἰ μέν τις ἄλλος θαῤῥεῖ καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τὸν ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω τῆς εὐηθείας. ἐμοὶ δ' οὖν πρᾶγμα φαίνεται, οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου τοῦ πνεύματος, διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου τὸ σιτομέτριον, καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων, ὅσα περὶ κόσμων ἢ κόσμου πεφιλοσόφηται. περὶ ὕλης, περὶ ψυχῆς, περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων, περὶ τῆς τὰ πάντα συνδεούσης

τε καὶ

τε καὶ διεξαγούσης προνοίας, ὅσα τε κατὰ λόγον ἀπαντᾶν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον, ἔτι τε ὅσα περὶ τῆς πρώτης ἡμῶν συστάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως, τύπων τε καὶ ἀληθείας καὶ διαθηκῶν, καὶ χριστοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε, καὶ παθημάτων, καὶ ἀναλύσεως, ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως σκυθρωποτέρων καὶ ἐνδοξοτέρων [τὸ κεφάλαιον] ὅσα περὶ τῆς ἀρχικῆς καὶ βασιλικῆς καὶ μακαρίας τριάδος ὑποληπτέον, ὅσπερ δὴ καὶ κίνδυνος μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις. ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθεΐας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὑπολαμβάνουσι. μήτε εἰς τρεῖς, ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν. ὥσπερ φυτοῦ διαστροφῆς ἐπὶ θάτερα πολὺ μετακλινομένης. τριῶν γὰρ ὄντων τῶν νῦν περὶ τὴν θεολογίαν ἀρρωστημάτων, ἀθεΐας καὶ ἰουδαϊσμοῦ καὶ πολυθεΐας, ὧν τῆς μὲν σαβέλλιος προστάτης ὁ λίβυς ἐγένετο, τῆς δὲ, ἄρειος ὁ ἀλεξανδρεύς, τῆς δὲ, τινὲς τῶν ἄγαν παρ᾽ ἡμῖν ὀρθοδόξων. τίς ὁ

περὶ τριάδος

ἐμὸς λόγος; τὴν τριάδα ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις μένειν τῆς εὐσεβείας. καὶ μήτε πρὸς τὴν σαβέλλιον ἀθεΐαν ἐκ τῆς κενῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως ὑπαχθῆναι. μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένους, φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα. ἢ σύνθετόν τινα καὶ ἄτοπον ἡμῖν θεὸν, ὥσπερ τὰ μυθώδη τῶν ζώων σκιαγραφοῦντας καὶ ἀναπλάττοντας. μήτε τὰς φύσεις τέμνοντας κατὰ τὴν ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, εἰς ἰουδαϊκὴν πενίαν κατακλεισθῆναι, καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, ὥσπερ δεδοικότας μὴ διαφθείροιτο ἡμῖν ὁ θεὸς, θεοῦ πατὴρ ὢν ἀληθινοῦ καὶ ὁμοτίμου τὴν φύσιν. μήτε τρεῖς ἀρχὰς ἀλλήλαις ἀντιπαρεξάγοντας ἢ συντάσσοντας, πολυαρχίαν εἰσάγειν ἑλληνικὴν, ἣν πεφεύγαμεν. μήτε εἰς τρεῖς ἐκφύλους καὶ ἀλλοτρίους διαιρεθέντα, ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν ἀντιθέους. δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὥστε καὶ τὸ εἶναι πατέρα περιαιρεῖν. τίνος γὰρ ἂν καὶ εἴη πατὴρ τοῦ υἱοῦ τὴν φύσιν κεχωρισμένου καὶ ἀπεξενωμένου μετὰ τῆς κτίσεως; οὐ γὰρ ἐστὶν υἱὸς, τὸ ἀλλότριον, ἢ συναλειφομένου πρὸς τὸν πατέρα καὶ συγχεομένου,

νου, ἴσον δὲ εἰπεῖν καὶ συγχέοντος. μήτε τοσοῦτον
φιλοχρίστους, ὡς μήτε τοῦτο φυλάττειν τὸ εἶναι
υἱόν. τίνος γὰρ ἂν καὶ εἴη, μὴ πρὸς ἀρχὴν ἀναφερόμε
νος τὸν πατέρα; μήτε τὸ περὶ τὸ τῆς ἀρχῆς ἀξίω-
μα, τοῦ ὡς πατρὶ καὶ γεννήτορι. μικρῶν γὰρ ἂν εἴη
καὶ ἀναξίων ἀρχή, μᾶλλον δὲ μικρῶς τε καὶ ἀνα-
ξίως, μὴ θεότητος ὢν ἀρχὴ καὶ ἀγαθότητος, τῆς ἐν
υἱῷ καὶ πνεύματι θεωρουμένης. τῷ μὲν ὡς υἱῷ καὶ λόγῳ,
τῷ δὲ ὡς προόδῳ καὶ οὐ διαλύτῳ πνεύματι. ἐπειδήγε
ἀναγκαῖον καὶ τὸ ἕνα θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑπο-
στάσεις ὁμολογεῖν, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος.
Ταῦτ' οὖν μακροτέρου μὲν ἢ κατὰ τὸν παρόντα
καιρὸν, οἶμαι δὲ καὶ βίον, τοῦ λόγου, καὶ νοῆσαι καὶ
παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον. μᾶλλον δὲ καὶ
νῦν καὶ ἀεὶ τοῦ πνεύματος, ᾧ μόνῳ θεὸς καὶ νοεῖται καὶ
ἑρμηνεύεται καὶ ἀκούεται. καθαρῷ γὰρ μόνον ἁπτέον,
τοῦ καθαροῦ καὶ ὡσαύτως ἔχοντος. οὐ δὲ εἵνεκα νῦν
ἐν ὀλίγῳ διεληλύθαμεν, ἵν' ἐκεῖνο δηλώσωμεν,
ὅτι χαλεπὸν, ἐν πλήθει μάλιστα, τὸν τηλικούτων δια
λεγόμενον, ἐκ παντοδαπῆς συγκειμένῳ καὶ ἡλικίας
καὶ ἕξεως, οἷον ὀργάνῳ τινὶ πολυχόρδῳ διαφόρων
δεομένῳ καὶ τῶν κρουμάτων, εὑρεῖν τινα τὸν πάντας κα-
ταρτίσαι δυνάμενον λόγον, καὶ λαμπρῦναι τῷ φω
τὶ τῆς γνώσεως. οὐ μόνον ὅτι ἐν τρισὶ τούτοις ὁ κιν
δύνου σαλεύοντος, διανοίᾳ καὶ λόγῳ καὶ ἀκοῇ, ἀναγ-
καῖον τὸ ἐν γέ τι τούτων, εἰ καὶ μὴ πάντα προσπται-

τριάς.

οὐ δὲ

σου, ἢ τὸ οὐκ ἐνέλαμψεν ὁ νοῦς, ἢ λόγος ἠσθένησεν,
ἢ οὐκ ἐχώρησεν ἀκοὴ, μὴ κεκαθαρμένη, καὶ ὁμοίως
ἐξ ἑνὸς τούτων καὶ πάντων, χωλεύειν ἀνάγκη
τὴν ἀλήθειαν, ἀλλ' ὅτι καὶ ὁ τοῖς ἄλλο τι διδά-
σκειν ὑπισχνουμένοις ἕκαστον ποιεῖ τὸν λόγον καὶ δυσ-
παράδεκτον, ἡ τῶν ἀκουόντων εὐλάβεια, τοῦτο κἀν-
ταῦθα ἡ ζημία καθίσταται καὶ ὁ κίνδυνος.
ὡς γὰρ περὶ θεοῦ καὶ τοῦ μεγίστου τῶν ὄντων ἔχον
τες τὸν ἀγῶνα, καὶ τῆς σωτηρίας αὐτῶν, καὶ τῆς
πρώτης πᾶσιν ἐλπίδος, ὅσῳ τὴν πίστιν εἰσὶ θερ-
μότεροι, τοσούτῳ προσαντέστεροι τῷ λόγῳ, καὶ
προδοσίαν τῆς ἀληθείας, οὐκ εὐσέβειαν τὴν εὐ-
πείθειαν ὑπολαμβάνοντες, πάντα πρόοιντο ἂν
πρότερον, ἢ τοὺς οἴκοθεν λογισμοὺς, μεθ' ὧν ἔρ-
χονται, καὶ τῶν δογμάτων οἷς συνανετράφη-
σαν, τὴν συνήθειαν. καὶ τοῦτο ἔτι λέγω, τῶν με-
τριωτέρων καὶ οὐ πάντῃ κακῶν τὸ πάθος. οἳ
κἂν τῆς ἀληθείας διαμαρτάνωσιν, ἀλλὰ τῷ γε
δι' εὐλάβειαν τοῦτο πάσχειν, καὶ ζῆλον μὲν ἔχειν,
ἀλλ' οὐ κατ' ἐπίγνωσιν, τυχὸν ἔσονται τῶν οὐ σφό
δρα κατακρινομένων, οὐδὲ πολλὰς δερομένων.
ὡς οἱ διὰ κακίαν καὶ πονηρίαν, τοῦ δεσποτικοῦ
θελήματος ἀποπίπτοντες. καὶ τάχα ἂν οὗτοι
καὶ μεταπεισθεῖέν ποτε καὶ μεταβληθεῖεν ὑπὸ
τῆς αὐτῆς εὐλαβείας, ὑφ' ἧς καὶ ἀντιβαίνουσιν,
εἴ τις αὐτῶν ἅψαιτο λόγος, ἢ οἴκοθεν, ἢ ἔξωθεν κρού

ταῖς καιρίως, ὥσπερ σίδηρος πυρίτην λίθον, τὴν
ἐγκύμονα καὶ ἀξίαν φωτὸς διάνοιαν. ἵν' ἡ καὶ
τάχιστα ἂν ἐκ μικροῦ σπινθῆρος, ὁ τῆς ἀληθείας
πυρσὸς ἐκλάμψειεν. Τί δ' ἂν εἴποι τις περὶ τῶν
διὰ κενοδοξίαν ἢ φιλαρχίαν, ἀδικίαν εἰς τὸ ὕ- 2. Ad Tim. 3.
ψος λαλούντων, ἰαννοῦ τινος ἢ ἰαμβροῦ μεγαλη- Mambres.
γορίας; οὐ κατὰ μωσέως. τῆς δὲ ἀληθείας ὁπλι- p. 9.
ζομένων, καὶ τῇ ὑγιαινούσῃ κατεξανισταμένων
διδασκαλίᾳ; ἢ τῆς τρίτης μοίρας, τῶν δι' ἀπαι-
δευσίαν καὶ τὴν ἑπομένην ταύτῃ θρασύτητα, ὁ-
μόσε παντὶ λόγῳ χωρούντων συώδη πάθη, καὶ
καταπατούντων τοὺς καλοὺς μαργαρίτας τῆς
ἀληθείας; ἢ ὅσοι μηδεμίαν μὲν οἴκοθεν ὑπόλη-
ψιν φέροντες, μηδέ τινα τύπον τῶν περὶ θεοῦ λό-
γων ἢ χείρονα ἢ βελτίονα, πᾶσι δὲ ὑποτιθέν-
τες ἑαυτοὺς λόγοις καὶ διδασκάλοις, ὡς ἐξ ἁ-
πάντων ἐκλεξόμενοι τὸ κρεῖττον καὶ ἀσφαλέ-
στερον, καὶ κριταῖς οὐ καλοῖς τῆς ἀληθείας σφί-
σιν ἑαυτοῖς πιστεύσαντες; ἔπειτα ἀπὸ τῆς πι-
θανότητος ἄλλοτε ἄλλης περιφερόμενοι καὶ στρε-
φόμενοι, καὶ παντὶ λόγῳ καταπλυθέντες
καὶ πατηθέντες, πολλοὺς ἀμείψαντες διδασκά-
λους, καὶ πολλὰ γράμματα ὥσπερ χοῦν ἀνέ-
μοις ῥᾳδίως ἀποβαλόντες, τέλος ἀποκαμόντες
καὶ ἀκοὴν καὶ διάνοιαν, ὢ τῆς ἀλογίας, πρὸς πάν-
τα λόγον ὁμοίως δυσχεραίνουσι; καὶ μοχθηροὺς

τύπον ἑαυτοῖς ἐγγράφουσιν αὐτῆς καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς ἀστάτου καὶ οὐδὲν ὑγιὲς ἐχούσης τῆς πίστεως, μεταβαίνοντες ἀπαιδεύτως ἀπὸ τῶν λόγων ἐπὶ τὸν λόγον. ὥσπερ ἂν εἴ τις τοὺς ὀφθαλμοὺς κακῶς διακείμενος, ἢ τὰ ὦτα διεφθαρμένος, κατηγοροίη τοῦ ἡλίου ἢ τῶν φωνῶν. τοῦ μὲν, ὡς ἀμαυροῦ καὶ οὐ στίλβοντος, τῶν δὲ, ὡς ἐκμελῶν καὶ ἀτόνων. καὶ διὰ τοῦτο ῥᾷον ἄρξαι καινοτομεῖν ἀλήθειαν ψυχῇ, ὥσπερ κηρὸν οὔπω κεχαραγμένον, ἢ γράφειν κατὰ γραμμάτων, πονηρῶν λέγω διδαγμάτων τε καὶ δογμάτων, εὐσεβῆ λόγον, ὡς συγχεῖσθαι καὶ ἀτακτεῖν τοῖς προτέροις τὰ δεύτερα. ὁδοῦ μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν. καὶ γῆς ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔτεμεν καὶ ἡμέρωσεν. ψυχὴν δὲ γράφειν, ἣν οὔπω λόγος ἐχάραξε μοχθηρὸς, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας ἐνεσημάνθη γράμματα. δύο γὰρ ἂν οὕτω τὰ ἔργα γένοιτο τῷ θεοσεβεῖ καλλιγράφῳ, ἐξαλείφειν τε τοὺς προτέρους τύπους, καὶ μετεγγράφειν τοὺς δοκιμωτέρους τε, καὶ τοῦ μένειν ἀξιωτέρους. τοσοῦτοι μὲν δὴ καὶ κατὰ τὰ λοιπὰ πάθη καὶ κατὰ τὸν λόγον αὐτὸν οἱ πονηροὶ καὶ τοῦ πονηροῦ τύποι καὶ χαρακτῆρες, τοσοῦτον δὲ τὸ ἔργον τῷ ταύτην πεπιστευμένῳ τὴν ψυχῶν παι-

λεγόντων v.c.

διαγωγίαν καὶ προστασίαν. καὶ τὰ πλείω πα-
ρῆκεν ὁ λόγος, ἵνα μὴ πολυτελέστερος ᾖ τοῦ δέον-
τος. ὥσπερ οἷον εἴ τις θηρίον ἐκ πολλῶν θη-
ρίων συγκείμενον πολυειδὲς καὶ πολύμορφον,
μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ
ἀγριωτέρων ἄγειν ἐπιχειροίη καὶ τιθασεύειν,
πάντως ἂν ἦν ἔργον αὐτῷ καὶ οὐ μικρὸν τὸ ἀγώ-
νισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστα-
τεῖν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τρο-
φαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν,
οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν
θηρίων χαίροντος, ἄλλων δὲ ἄλλοις ἡδομένων
ἢ ἀχθομένων ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια,
καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστά-
την; τί ἄλλο γε ἢ πολυειδῆ τε εἶναι καὶ ποικί-
λον τὴν ἐπιστήμην, καὶ κατάλληλον ἑκάστῳ προ-
σάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐ-
τῷ τὸ θηρίον καὶ διασώζοιτο; οὕτως ἐκ πολ-
λῶν καὶ διαφόρων καὶ ἠθῶν καὶ λόγων, καθάπερ
ἑνὸς ζῴου συνθέτου καὶ ἀνομοίου, τοῦ κοινοῦ τού-
του τῆς ἐκκλησίας συγκειμένου σώματος, πᾶ-
σα ἀνάγκη καὶ τὸν προστάτην ἁπλοῦν τε εἶναι
τὸν αὐτὸν κατὰ τὴν ἐν πᾶσιν ὀρθότητα, καὶ
ὅτι μάλιστα παντοδαπὸν καὶ ποικίλον κατὰ τὴν
πρὸς ἕκαστον οἰκείωσιν, καὶ τὸ τῆς ὁμιλίας
πρὸς πάντας ἐπιτήδειόν τε καὶ πρόσφορον.

ad Heb. 5.

οἱ μὲν γὰρ δέοντ(αι) γάλακτι τρέφεσθαι τοῖς ἁπλουστέροις καὶ στοιχειωδεστέροις τῶν διδαγμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς, ὡς ἂν εἴποι τις, τὴν ἀνδρείαν τοῦ λόγου τροφὴν οὐ φέροντες. ἣν εἰ προσάγοι τις παρὰ δύναμιν, τάχα ἂν καταπιεσθέντες καὶ βαρυνθέντες, οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ τῆς ὕλης, τὸ ἐπεισελθὸν ἑλκύσαι καὶ οἰκειώσασθαι, ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. οἱ δὲ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρῄζοντες, καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στερροτέρας, τῶν πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψευδοῦς ἱκανῶς γεγυμνάσθαι τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο, καὶ τρέφοιντο λαχάνοις ἀσθενῶν βρώμασι, δυσχεραίνοιεν ἄν. καὶ μάλα εἰκότως, οὐ δυναμούμενοι κατὰ Χριστὸν, οὐδὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν, ἣν ἐργάζεται λόγος τελειῶν εἰς ἄνδρα, καὶ εἰς μέτρον ἡλικίας ἄγων πνευματικῆς τὸν καλῶς τρεφόμενον. Καὶ πρὸς ταῦτα, τίς ἱκανός; οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, λόγον, τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξιτήλῳ καὶ εἰκῇ ῥέοντι, ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας. ἄλλοτε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι, καὶ πᾶσι πρὸς χάριν.

ειν. ἐπάσσεῖ μυθοί τινες ὄντες καὶ κενολόγοι. τὰς
ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φω
νουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδο-
κιμοῖμεν παρὰ τοῖς πολλοῖς. ὅτι μάλιστα ζη-
μιοῦντες ἑαυτοὺς ἢ ἀπολλῦντες, καὶ αἷμα ἀ-
θῷον ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χει-
ρῶν ἡμῶν ἐκζητηθησόμενον. ἀλλ᾽ εἰδότες, ἑτέ-
ροις βέλτιον εἶναι τὰς ἑαυτῶν ἡνίας ἐνδιδό
ναι τεχνικωτέροις, ἢ ἄλλων ἡνιόχους εἶναι ἀνε-
πιστήμονας, καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώ
μονα, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον, ταῦτα δια
λεχθέντες ἡμῖν αὐτοῖς, καὶ ἴσως οὐ φαύλοις συμ
βούλοις, εἰ δὲ μήγε, ἀλλ᾽ οὖν εὔνοις, διατοῦτο καὶ τὰ
ῥητέα καὶ τὰ πρακτέα μαθεῖν οὐκ εἰδότες μᾶλ
λον ἢ διδάσκειν ἀγνοοῦντες, ἐδοκιμάσαμεν. ἀγα
πητὸν γὰρ ὅτῳ κἂν εἰς βαθὺ γῆρας λόγος ἀ-
φίκοιτο πολιὸς, καὶ ὠφελῆσαι νέαν ἐν εὐσε-
βείᾳ ψυχὴν δυνάμενος. ὡς τόγε παιδεύειν
ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευ
θῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, τὸ δὴ
λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμε-
λετᾶν τὴν εὐσέβειαν, λίαν εἶναί μοι φαίνεται
ἀνοήτων ἢ τολμηρῶν. ἀσυνέτων μὲν, εἰ μηδὲ αἰ-
σθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας. θρασέων δὲ, εἰ καὶ
συνιέντες, κατατολμῶσι τοῦ πράγματος.
Ἑβραίων μὲν οὖν οἱ σοφώτεροι λέγουσιν, ὡς ἄρα

ἦν τις πάλαι νόμος ἑβραίοις, ἐν τοῖς μάλιστα εὖ ἔχων καὶ ἐπαινούμενος, μὴ πᾶσαν ἡλικίαν πάσῃ γραφῇ ἐνδίδοσθαι. μὴ δὲ γοῦν εἶναι τοῦτο λυσιτελέστερον, ὅτι μὴ δὲ πᾶσαν εὐθέως εἶναι παντὶ ληπτὴν, καὶ τὰ μέγιστα ἂν τοὺς πολλοὺς κακῶσαι τῷ φαινομένῳ, τὴν βαθυτέραν. ἀλλὰ τὰς μὲν ἀπ᾽ ἀρχῆς ἀνεῖσθαι πᾶσι καὶ εἶναι κοινὰς, ὧν καὶ τὸ σωματικὸν οὐκ ἀδόκιμον. τὰς δὲ μὴ ἄλλοις, ἢ τοῖς ὑπὲρ εἰκοσὸν πέμπτον γεγονόσιν ἔτος πιστεύεσθαι, ὅσαι δι᾽ εὐτελοῦς τοῦ ἐνδύματος τὸ μυστικὸν κάλλος περικαλύπτουσιν. ἆθλον φιλοπονίας καὶ λαμπροῦ βίου, μόνοις τοῖς κεκαθαρμένοις τὸν νοῦν ὑπαστράπτον καὶ φανταζόμενον. ὡς μόνης δυναμένης τῆς ἡλικίας ταύτης ὑπὲρ τὸ σῶμα γενέσθαι, καὶ ἀναβῆναι καλῶς εὐθὺ τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος. ἡμῶν δὲ, οὐδεὶς ὅρος τοῦ παιδεύειν καὶ τοῦ παιδεύεσθαι. ὥσπερ οἱ λίθοι πάλαι, ταῖς ὑπὲρ τὸν ἰορδάνην καὶ ταῖς ἐντὸς ἰορδάνου φυλαῖς. οὐδὲ τισὶ μὲν ἐκεῖνο, τισὶ δὲ τοῦτο ἐπιτρεπτέον. οὐδέ τις κανὼν τῶν ἕξεων, ἀλλ᾽ οὕτω τὸ πρᾶγμα ἔρριπται καὶ συγκέχυται, καὶ οὕτω κακῶς διακείμεθα, ὥστε οἱ πλείους ἡμῶν, ἵνα μὴ λέγω πάντες, πρὶν ἀποθέσθαι σχεδὸν τὴν πρώτην τρίχα, καὶ τὰ παιδικὰ ψελλίζεσθαι, πρὶν παρελθεῖν εἰς τὰς θείας αὐλὰς, πρὶν τῶν ἱερῶν

βίβλων γνῶναι κἂν τὰ ὀνόματα, πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι, καὶ τοὺς προστάτας, οὔπω γὰρ λέγω πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι, καὶ τὰ τῆς ψυχῆς αἴσχη ὅσα ἡ κακία ἡμῖν προσεμάξατο, ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν, καὶ ταῦτα ἐξ ἀκοῆς, οὐκ ἐντεύξεως, ἢ τῷ Δαβὶδ βραχέα καθομιλήσωμεν, ἢ τὸ τριβώνιον εὖ περιστειλώμεθα, ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν, εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιχρώσαντες, βαβαὶ τῆς προεδρίας καὶ τοῦ φρονήματος, ἱερὸς καὶ ἐκ σπαργάνων ὁ Σαμουήλ, Reg. 1. 1. εὐθὺς ἐσμὲν σοφοὶ καὶ διδάσκαλοι καὶ ὑψηλοὶ τὰ θεῖα, καὶ γραμματέων τὰ πρῶτα καὶ νομικῶν, καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους, καὶ καλεῖσθαι ἀπὸ τῶν ἀνθρώπων ῥαββὶ ζητοῦμεν, καὶ οὐδαμοῦ τὸ γράμμα, καὶ πάντα δεῖ νοηθῆναι πνευματικῶς, καὶ λῆρος πλατὺς τὰ ὀνείρατα, καὶ ἀγανακτοίημεν ἄν, εἰ μὴ σφόδρα ἐπαινοίμεθα. τοῦτο ἡμῶν οἱ χρηστότεροι καὶ ἁπλούστεροι. τί δὲ οἱ πνευματικοὶ μᾶλλον, καὶ γενναιότεροι; πολλὰ κατακρίναντες ἡμᾶς, ἂν οὕτω δόξῃ, καὶ βασανίσαντες, καὶ οὐδαμοῦ θέντες, ἀπῆλθον, καὶ τὴν κοινωνίαν ὡς οὐκ εὐσεβῶν διαπτύσαντες. ἂν δέ τινι αὐτῶν λέγωμεν οὑτωσὶ πράως καὶ λογικῶς προσβιβάζοντες,

τί δέ.

εἰπέ μοι ὦ θαυμάσιε, καλεῖς τι τὸ ὀρχεῖσθαι, τό, τε αὐλεῖν; πάνυ γε εἴποιεν ἄν. τί δαί, σοφίαν τε καὶ σοφὸν εἶναι, τοῦτο δὴ θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην τιθέμεθα; καὶ τοῦτο δώσουσιν. πότερον δὲ κρεῖττον εἶναι καὶ ὑψηλότερον, ταῦτα σοφίας, ἢ τούτων μακρῷ τὴν σοφίαν; καὶ πάντων εὖ οἶδ' ὅτι φήσουσι. καὶ μέχρι τούτων εἰσὶν εὐγνώμονες. ἆρ' οὖν ὀρχήσεως μὲν καὶ αὐλήσεως ἔστι διδασκαλία καὶ μάθησις, καὶ χρόνου πρὸς τοῦτο δεῖ, καὶ ἱδρώτων συχνῶν καὶ πόνων, καὶ μισθοὺς καταβαλεῖν ἔστιν ὅτε, καὶ προσαιτητῶν δεηθῆναι, καὶ ἀποδημῆσαι μακρότερα, καὶ τἄλλα τὰ μὲν ποιῆσαι πάντα, τὰ δὲ παθεῖν οἷς ἐμπειρία συλλέγεται, τὴν δὲ σοφίαν ἣ πᾶσιν ἐπιστατεῖ, καὶ πάντα ἐν ἑαυτῇ τὰ καλὰ συλλαβοῦσα ἔχει, ὡς καὶ τὸν θεὸν αὐτὸν τοῦτο μᾶλλον, ἤ τι ἄλλο χαίρειν ἀκούοντα, ἐπειδὴ καλεῖται πολλοῖς ὀνόμασιν, οὕτω κοῦφόν τι καὶ πεπατημένον πρᾶγμα ὑποληψόμεθα, ὥστε θελῆσαι δεῖ μόνον καὶ εἶναι σοφόν; πολλῆς τοῦτο τῆς ἀμαθίας. ἂν ταῦτα λέγωμεν αὐτοῖς, καὶ κατὰ μικρὸν τὴν πλάνην ἀνακαθαίρωμεν, ἤ τις ἄλλος τῶν εὐμαθεστέρων καὶ συνετωτέρων, τοῦτο ἐκεῖνο κατὰ πετρῶν σπείρειν, καὶ λαλεῖν εἰς ὦτα μὴ ἀκουόντων, οὕτως οὐδ' αὐτὸ τοῦτο ἴσασι σοφοί, τὴν ἑαυτῶν γινώσκειν ἀπαιδευσίαν. καί μοι δο-

κεῖ καλῶς ἔχειν, τὸ τοῦ Σολομῶντος εἰπεῖν περὶ
» αὐτῶν. ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
» ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι. καὶ
ὃ τούτου πονηρότερον, παιδεύειν ἄλλους πεπιστευ-
μένον, τὸν μηδὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθα-
νόμενον. τοῦτο δακρύων μὲν καὶ στεναγμῶν
εἴπερ τι ἄλλο τὸ πάθος ἄξιον, ὃ καὶ πολλάκις
ἐγὼ κατηλέησα. εὖ εἰδὼς, ὅτι τὸ οἴεσθαι, τοῦ εἶναι
τὸ πλεῖστον ἀφαιρεῖται, καὶ μέγα τοῖς ἀνθρώποις
12 ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον. ἰάσασθαι δὲ
καὶ στῆσαι τὴν νόσον, Πέτρου ἂν εἴη τινὸς ἢ Παύ-
λου τῶν μεγάλων Χριστοῦ μαθητῶν, καὶ μετὰ τὸ
ἐν λόγῳ καὶ ἔργῳ κυβερνήσεως εἰληφότων τὸ
χάρισμα, καὶ πᾶσι πάντα γινομένων, ἵνα τοὺς 1. Ad cor. 9.
πάντας κερδήσωσιν. ἡμῖν δὲ τοῖς ἄλλοις μέγα,
κἂν εἰ καλῶς κυβερνοίμεθα καὶ ἀγοίμεθα πρὸς
τῶν ἐπανορθοῦν τὰ τοιαῦτα καὶ διευθύνειν
πεπιστευμένων. ἀλλ' ἐπειδή γε Παύλου καὶ τῶν
κατ' ἐκεῖνον ἐμνήσθημεν. ἀφέντες, εἰ δοκεῖ, τοὺς
ἄλλους ἅπαντας, ὅσοι κατὰ νομοθεσίαν, ἢ προ-
φητείαν, ἢ στρατηγίαν, ἤ τινα τοιαύτην ἄλλην οἰ-
κονομίαν τοῦ λαοῦ προεβλήθησαν, οἷον τὸν Μω-
σῆν, τὸν Ἀαρὼν ἐκεῖνον, τὸν Ἰησοῦν, τὸν Ἠλίαν, τὸν
Ἐλισσαῖον, τοὺς κριτὰς, τὸν Σαμουὴλ, τὸν Δαυΐδ,
τῶν προφητῶν τὸ πλῆθος, τὸν Ἰωάννην, τοὺς δώ-
δεκα μαθητὰς, τοὺς ἐπ' ἐκείνοις ὕστερον, οἳ πολλοῖς

ἱδρῶσι καὶ πόνοις διεξῆλθον τὴν προστασίαν καὶ
τὰ ἐν ἑαυτῶν χρόνοις ἕκαστοι, τούτους ὑπερ-
βάντες ἅπαντας, παῦλον προστησώμεθα μό-
νον τοῦ λόγου συνίστορα, κἀν τούτῳ θεωρήσωμεν,
ὅσον τι καὶ οἷον ψυχῶν ἐπιμέλεια, καὶ εἰ βρα-
χείας τῆς πραγματείας, ἢ μικρᾶς τῆς συνέ-
σεως. ὡς ἂν δὲ ῥᾷστα τοῦτο γνοίημεν καὶ κατί-
δοιμεν, τί παῦλος αὐτὸς περὶ παύλου φη-
» σὶ, ἀκούσωμεν. ἐῶ λέγειν τοὺς πόνους, τὰς ἀ-
» γρυπνίας τοὺς φόβους, τὰς ἐν λιμῷ καὶ δίψει
» κακοπαθείας, τὰς ἐν ψύχει, τὰς ἐν γυμνό-
» τητι, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, τοὺς ἔνδο-
» θεν ἀντιπράττοντας, ἀφίημι τοὺς διωγμοὺς,
» τὰ συνέδρια, τὰ δεσμωτήρια, τὰ δεσμὰ, τοὺς
» κατηγόρους, τὰ δικαστήρια, τοὺς καθ᾽ ἡμέραν
» καὶ ὥραν θανάτους, τὴν σαργάνην, τοὺς λιθα-
» σμοὺς, τοὺς ῥαβδισμοὺς, τὴν περίοδον, τοὺς κατὰ
» γῆν κινδύνους, τοὺς κατὰ θάλασσαν, τὸν βυθὸν,
» τὰ ναυάγια, κινδύνους ποταμῶν, κινδύνους
» λῃστῶν, κινδύνους ἐκ γένους, κινδύνους ἐν ψευ-
» δαδέλφοις, τὸν ἐκ χειρῶν βίον, τὸ ἀδάπανον
» εὐαγγέλιον, ὡς θέατρον ὢν καὶ ἀγγέλοις, καὶ
» ἀνθρώποις, μέσος θεοῦ καὶ ἀνθρώπων ἱστάμε-
» νος. ὑπὲρ μὲν τοῦ, ἀγωνιζόμενος, τῷ δὲ προ-
» σάγων λαὸν καὶ οἰκειῶν, λαὸν περιούσιον, χω-
» ρὶς τῶν παρεκτός. τούτων τίς ἂν ἀξίως διέλ

θοι; τὴν καθ' ἡμέραν ἐπισυστασίαν, τὴν καθ' ἕκαστον κηδεμονίαν, τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν, τὸ πρὸς πάντας συμπαθὲς καὶ φιλάδελφον, προσέκοπτέ τις, καὶ παῦλος ἠσθένει. καὶ ἄλλος ἐσκανδαλίζετο, καὶ παῦλος ἦν ὁ φλεγόμενος. τὸ δὲ τῆς διδασκαλίας φιλόπονον; τὸ δὲ ποικίλον τῆς θεραπείας; ἡ φιλανθρωπία δέ; τὸ δὲ αὐστηρὸν πάλιν; ἡ δὲ ἐξ ἀμφοτέρων μίξις καὶ κρᾶσις; ὡς μήτε τῇ χρηστότητι μαλακίζειν, μήτε τραχύνειν τῇ χαλεπότητι. νομοθετεῖ δούλοις καὶ δεσπόταις, ἄρχουσι καὶ ἀρχομένοις, ἀνδράσι καὶ γυναιξὶν, γονεῦσι καὶ τέκνοις, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ, σοφίᾳ καὶ ἀμαθίᾳ, περιτομῇ καὶ ἀκροβυστίᾳ, χριστῷ καὶ κόσμῳ, σαρκὶ καὶ πνεύματι. ὑπὲρ μὲν τῶν εὐχαριστεῖ, τῶν δὲ καθάπτεται. τοὺς μὲν χαρὰν καὶ στέφανον ὀνομάζει, τοῖς δὲ ἄνοιαν ἐγκαλεῖ. τοῖς μὲν συνοδεύει καὶ συμπροθυμεῖται ὀρθοτομοῦσι, τοὺς δὲ ἀνακόπτει κακῶς ὁδεύοντας. νῦν ἀφορίζει, νῦν ἀγάπην κυροῖ, νῦν θρηνεῖ, νῦν εὐφραίνεται, νῦν γάλα ποτίζει, νῦν μυστηρίων ἅπτεται, νῦν συγκατέρχεται, νῦν ἑαυτῷ συνυψοῖ, νῦν ῥάβδον ἀπειλεῖ, νῦν προτείνει πνεῦμα πραότητος, νῦν ἐπαίρεται τοῖς ὑψηλοῖς, νῦν ταπεινοῦται τοῖς ταπεινοῖς. ἄρτι τῶν ἀποστόλων ἐστὶν ἐλάχιστος, ἄρτι δοκιμὴν

ὑπισχνεῖται τὸ ἐν αὐτῷ λαλοῦντος χριστοῦ, ἄρτι
τὴν ἐκδημίαν ποθεῖ καὶ σπένδεται, ἄρτι πα-
ραμεῖναι τῇ σαρκὶ δι' αὐτοὺς ἀναγκαιότερον δο-
κιμάζει. οὐ γὰρ ζητεῖ τὸ ἑαυτοῦ, ζητεῖ δὲ τὸ τῶν
τέκνων, οὓς ἐν χριστῷ διὰ τοῦ εὐαγγελίου ἐγέν-
νησεν. οὗτος ὅρος πάσης πνευματικῆς προστα-
σίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾶν, πρὸς
τὸ τῶν ἄλλων συμφέρον. ἐγκαυχᾶται ταῖς
ἀσθενείαις, καὶ ταῖς θλίψεσιν, ὡς ἄλλῳ τινὶ κόσ
μῳ. τῇ ἰησοῦ νεκρώσει ἐγκαλλωπίζεται. ὑψη-
λός ἐστι τὰ σαρκικὰ, καὶ τοῖς πνευματικοῖς ἀ-
γάλλεται, οὐκ ἰδιώτης τὴν γνῶσιν. καὶ βλέπειν
φησὶ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι. θαρρεῖ τῷ
πνεύματι, καὶ ὑποπιάζει τὸ σῶμα καθαιρῶν
ὡς ἀντίπαλον. τί διδάσκων ἡμᾶς ἐν τούτοις, καὶ
τί παιδεύων; μὴ φρονεῖν τοῖς κάτω, μὴ φυσιοῦ-
σθαι τῇ γνώσει, μὴ τὴν σάρκα ἐπεγείρειν τῷ πνεύ
ματι. πάντων ὑπερμαχεῖ, πάντων ὑπερεύχε-
ται, ζηλοῖ πάντας, ἀνάπτεται ὑπὲρ πάντων,
τῶν ἔξω νόμου, τῶν ὑπὸ νόμον. κῆρυξ ἐθνῶν,
ἰουδαίων προστάτης. ἐτόλμησέ τι καὶ μεῖζον ὑπὲρ 51.
τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα, ἵνα τολ-
μήσω τι καὶ αὐτὸς, οὕτω λέγων. ἀντεισαχθῆναι
τούτοις ἑαυτὸν χριστῷ διὰ τὴν ἀγάπην εὔχεται.
ὢ τῆς μεγαλονοίας, ὢ τῆς τοῦ πνεύματος ζέ-
σεως. μιμεῖται χριστὸν, τὸν γενόμενον ὑπὲρ

ἡμῶν

ἡμῶν κατάραν, τὴν τὰς ἀσθενείας ἡμῶν ἀναλαβόντα καὶ τὰς νόσους βαστάσαντα, ἢ τό γε μετριώτερον εἰπεῖν, παθεῖν τι ὑπὲρ αὐτῶν, καὶ ὡς ἀσεβὴς δέχεται πρῶτος ἀπὸ χριστοῦ, μόνον εἰ οὗτοι σώζοιντο. καὶ τί λέγω καθ᾽ ἕκαστον; ζῶν γὰρ οὐχ ἑαυτῷ, χριστῷ δὲ καὶ τῷ κηρύγματι, καὶ κόσμον ἑαυτῷ σταυρώσας, καὶ σταυρωθεὶς κόσμῳ καὶ τοῖς ὁρωμένοις, πάντα ἡγεῖται μικρὰ καὶ τῆς ἐπιθυμίας ἐλάττονα, κἂν ἀπὸ ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ ἰλλυρικοῦ πληρώσῃ τὸ εὐαγγέλιον, κἂν εἰς τὸν τρίτον οὐρανὸν φθάσῃ δι᾽ ἁρπαγῆς. κἂν τοῦ παραδείσου γένηται θεατής. κἂν τῶν ἀρρήτων ἡμῖν ῥημάτων ἀκροατής. ταῦτα παῦλος, καὶ εἴ τις κατ᾽ ἐκεῖνον τῷ πνεύματι. ἡμεῖς δὲ δεδοίκαμεν παρὰ τούτους, μὴ μωροί τινες ὦμεν ἄρχοντες τάνεως, ἢ πράκτορες καλαμώμενοι, ἢ καταιγίζοντες τὸν λαὸν ψευδῶς. προσθήσω δὲ καὶ καταιγιζόμενοι, καὶ τὴν τρίβον τῶν ποδῶν ἡμῶν ταράσσοντες, ἢ ἐμπαῖκται κυριεύοντες, ἢ νεανίσκοι προστάται καὶ ἀτελεῖς τὴν φρόνησιν, μὴ δι᾽ ὅσον ἄρτου καὶ ἱματίου πρὸς τὸ καθηγεῖσθαί τινων εὐποροῦντες, ἢ προφῆται διδάσκοντες ἄνομα, ἢ ἄρχοντες ἀπειθοῦντες, καὶ κακῶς ἀκούειν μετὰ τῶν πατέρων ἄξιοι διὰ λιμοῦ σκληρότητα, ἢ ἱερεῖς, τοῦ λαβεῖν εἰς τὴν καρδίαν ἱερουσαλὴμ πλεῖστον ἀπέχοντες.

Isa: 6. ἃ δὴ πάντα ὁ τῷ σεραφὶμ καὶ τῷ ἄνθρακι καθαρ-
θεὶς Ἡσαΐας, ὀνειδίζει καλῶς καὶ μαρτύρεται.
ἆρ' οἶον τὸ μὲν ἔργον τοσοῦτον καὶ οὕτως ἐπίπο-
νον τῇ αἰσθητικῇ καρδίᾳ καὶ λυπηρὰ, καὶ ὄντως
σὴς ὀστέων τῷ γε νοοῦντι, μικρὸς δὲ ὁ κίνδυ-
νος ἢ τὸ πτῶμα εὐκαταφρόνητον; ἀλλά μοι πολὺν
ἐπανατείνεται φόβον ἔνθεν μὲν ὁ μακάριος Ὠ-
σηὲ, πρὸς ἡμᾶς εἶναι τὸ κρίμα λέγων τοὺς ἱερεῖς
Os. 5. 1. » καὶ τοὺς ἄρχοντας. ὅτι παγὶς ἐγενήθημεν τῇ
» σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰ-
» ταβύριον, ὃ καταπεπῆχθαι ἀπὸ τῶν ἀνθρω-
» πίνως ἀγρευόντων ψυχάς. ἀποδείξειν τε τοὺς
φαύλους ἀπειλῶν προφήτας, καὶ πυρὶ κατα-
ναλίσκειν τοὺς κριτὰς αὐτῶν. ἐφέξειν τε μικρὸν
τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας. ὅτι ἑαυτοῖς ἐ-
βασίλευσαν, ἀλλ' οὐ δι' ἑαυτοῦ. ἔνθεν δὲ ὁ θεῖος
Mich. 3. Μιχαίας, οὐ φέρων οἰκοδομουμένην Σιὼν ἐν αἵ-
Abb. 2 μασιν, ὃ ποτέροις βούλει, καὶ Ἱερουσαλὴμ ἐν ἀδι-
κίαις, τῶν ἡγουμένων αὐτῆς μετὰ δώρων κρινόν-
των, καὶ τῶν ἱερέων μισθοῦ ἀποκρινομένων, καὶ τῶν
προφητῶν μετὰ ἀργυρίου μαντευομένων. ἀν-
θ' ὧν τί γενήσεσθαι; Σιὼν ὡς ἀγρὸν ἀροτριαθή-
σεσθαι, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔ-
σεσθαι, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ λο-
Mic. 7. γισθήσεσθαι. θρηνῶν τε τὴν ἐρημίαν τῶν κατορ-
θούντων, ὡς μόλις που καλάμην ὑπολείπεσθαι.

ἢ ἐπιφυλλίδα. ὁπότε καὶ τὸν ἄρχοντα αἰτεῖν,
καὶ τὸν κριτὴν λόγους πρὸς χάριν λαλεῖν. καὶ σχε-
δὸν τὰ αὐτὰ τῷ μεγάλῳ δαβὶδ φθεγγόμενος, σῶ-
» σόν με κύριε λέγοντι, ὅτι ἐκλέλοιπεν ὅσιος. ἐξ οὗ
καὶ τὰ ἀγαθὰ ἐπιλείψειν αὐτοὺς, ὡς ὑπὸ σητὸς
δαπανώμενα. ἰωὴλ δὲ ἡμῖν καὶ θρῆνον διακε-
λεύεται, καὶ κόπτεσθαι βούλεται τοὺς λειτουργοῦν-
τας τῷ θυσιαστηρίῳ, λιμοῦ πιέζοντος. τοσοῦτον
ἀπέχει τρυφᾶν ἐπιτρέπειν ἐν τοῖς τῶν ἄλλων
κακοῖς, καὶ πρὸς τῷ ἁγιάζειν νηστείαν, καὶ κηρύσ-
σειν θεραπείαν, συναγαγεῖν πρεσβυτέρους, νή-
πια, ἡλικίας ἐλεεινάς. ἔτι καὶ αὐτοὺς τὸ ἱερὸν κα-
ταλαβόντας ἐν σποδῷ καὶ σάκκοις, καὶ λίαν
ταπεινῶς κατὰ γῆς ἐῤῥιμμένους, διότι τεταλ-
αιπώρηκε τὰ πεδία τῇ ἀκαρπίᾳ. καὶ ἐξῆρται ἐξ οἴ-
κου κυρίου σπονδὴ καὶ θυσία, ἕλκειν τῇ ταπει-
νώσει τὸν ἔλεον. τί δαὶ ὁ ἀμβακούμ; οὗτος μὲν
καὶ θερμοτέρων ἅπτεται λόγων, καὶ πρὸς αὐτὸν
ἀποδυσπετεῖ τὸν θεὸν, καὶ οἷον κατὰ βοᾷ τοῦ χρη-
στοῦ δεσπότου, διὰ τὴν τῶν κριτῶν ἀδικίαν.
» ἕως τίνος κύριε κεκράξομαι λέγων, καὶ οὐ μὴ εἰ-
» σακούσεις; βοήσομαι πρός σε ἀδικούμενος, καὶ
» οὐ σώσεις; ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους,
» ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν;
» ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμ-
» βάνει. διὰ τοῦτο διασκέδασται νόμος, καὶ οὐ διε-

» ξάγεται εἰς τέλος κεῖμαι. εἶτα ἡ ἀπειλὴ, καὶ τὰ
» ἑξῆς τούτοις. ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπι-
» βλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθη
» τε, διότι ἔργον ἐγὼ ἐργάζομαι. καὶ τί χρὴ πάν
τα ἐπιφέρειν τὰ τῆς ἀπειλῆς. ἀλλὰ μικρὸν τὸ
ἔμπροσθεν, τοῦτο γάρ μοι δοκεῖ βέλτιον εἶναι,
προσθῆναι τοῖς εἰρημένοις. πολλοὺς ἀνακαλεσά
μενος καὶ ἀποκλαυσάμενος τῶν περί τε ἀδί-
κων καὶ πονηρῶν, τέλος, ἀνακαλεῖται καὶ τοὺς
τῆς μοχθηρίας ἡγεμόνας καὶ διδασκάλους.
ἀνατροπὴν μὲν θολερὰν τὴν κακίαν ἀποκαλῶν,
Abb. 2. καὶ τοῦ νοῦ μέθην καὶ πλάνην. ποτίζεσθαι δὲ λέ
γων τούτοις ὑπ' αὐτῶν τὸν πλησίον, ὅπως ἐπι-
βλέπωσιν ἐπὶ τὸ σκότος αὐτῶν τῆς ψυχῆς καὶ
τὰ σπήλαια, ἑρπετῶν καὶ θηρίων, λογισμῶν πο-
νηρῶν οἰκητήρια. οὗτοι μὲν δὴ τοιοῦτοι, καὶ μετὰ
τοιούτων ἡμῖν διαλεγόμενοι τῶν παιδευμάτων.
μαλαχίαν δὲ πῶς παριδεῖν ἄξιον, νῦν μὲν ἐγ-
καλοῦντα πικρῶς τοῖς ἱερεῦσι καὶ ὀνειδίζον-
τα ὡς τὸ ὄνομα κυρίου φαυλίζουσι. καὶ προστι
Mal. 1. θέντα ἐν τίσιν, ἐν τῷ προσάγειν πρὸς τὸ θυσιαστή
ριον ἄρτους ἠλισγημένους, βρώματα, οὐκ ἀπάρ
γματα, καὶ ἃ μηδ' ἂν τῶν ἡγουμένων τινὶ προ
σενέγκοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες.
ταῦτα προσφέρειν τῷ βασιλεῖ τῶν ὅλων εὐχὴν
εὐξαμένους, χωλὰ καὶ ἄῤῥωστα καὶ διεφθαρμέ-
να, καὶ

να, καὶ βέβηλα παντελῶς καὶ ἀπόπτυστα. νῦν
δὲ πρὸς τοὺς λευΐτας, τῆς τοῦ θεοῦ διαθήκης ὑπο
μιμνήσκοντα, ἣ δὲ ἦν, τῆς ζωῆς καὶ τῆς εἰρήνης,
καὶ φόβῳ φοβεῖσθαι τὸν κύριον, καὶ ἀπὸ προσώ Mal. 2.
» που τοῦ ὀνόματος αὐτοῦ στέλλεσθαι. νόμος φησὶν ἦν
» ἀληθείας ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέ
» θη ἐν χείλεσιν αὐτοῦ. ἐν εἰρήνῃ κατευθύνων ἐπο-
» ρεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἐξ ἀδι
» κίας, ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ
» νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. καὶ ἡ αἰτία
» ὡς τιμία τε ἅμα καὶ φοβερά. διότι ἄγγελος κυ-
ρίου παντοκράτορός ἐστιν. καὶ παρ' αὐτοῦ μοι μὲν
τὴν ἐπὶ τούτοις ἀρὰν τὸ βλάσφημον, φοβοῦ
μαι δὲ τὴν ἀλήθειαν. ἀλλ' ὃ μέτριόν τε εἰπεῖν ἅ-
μα καὶ συμφέρον. εἰ ἔτι ἄξιόν φησιν ἐπιβλέψαι
εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν
ὑμῶν. ὡς ἂν μάλιστα δυσχεραίνων, καὶ τὴν ἱε-
ρουργίαν αὐτῶν διὰ τὴν κακίαν ἀποπεμπόμε-
νος. ζαχαρίου μὲν γὰρ ὅτ' ἂν μνησθῶ, φρίσσω τὸ
δρέπανον. ὁμοίως καὶ ἃ κατὰ τῶν ἱερέων μαρ
τύρεται. οὗτος, ἃ μὲν περὶ ἰησοῦ τοῦ πάνυ ἱε- Zac. 3.
ρέως τοῦ μεγάλου παραδηλοῖ, ὃν περιδύσας τῷ
λόγῳ τὴν ῥυπαρὰν ἐσθῆτα καὶ ἀναξίαν, τὴν ἱε
ρατικὴν καὶ λαμπρὰν περιτίθησιν, ὅσα τε ὁ ἄγ
γελος αὐτῷ λέγων πρὸς τὸν ἰησοῦν καὶ ἐπισκή
πτων πεποίηται, ταῦτα μὲν εἰς μείζονα καὶ ὑψη

λότρια ἴσως, ἢ κατὰ τοὺς πολλοὺς ἱερέας ἀνα-
φερόμενα, σιωπῇ τιμάσθω. πλὴν ὅτι καὶ τούτου
ἐκ δεξιῶν ὁ διάβολος εἱστήκει τοῦ ἀντικεῖσθαι αὐ-
τῷ, πρᾶγμα ἔμοιγ᾽ οὖν οὐ μέτριον, οὐδὲ ὀλίγου
φόβου καὶ φυλακῆς ἄξιον. ἃ δὲ τῶν λοιπῶν κα-
τηγορεῖ ποιμένων ἐπιμελῶς καὶ καθάπτεται, τίς
οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος, ὥς
τε μὴ τρέμειν ἀκούων, καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι
11 » μετεωρότερος; φωνή φησι θρηνούντων ποιμέ-
» νων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν.
» φωνὴ ὠρυομένων λεόντων, ὅτι τάδε πεπόνθασιν.
μονονοὺ κἀκούει τῶν θρήνων ὡς ἤδη παρόντων, καὶ
συνθρηνεῖ τοῖς πάσχουσιν. ἔτι δὲ μικρὸν ἔμπρο-
» σθεν πληκτικώτερον, καὶ σφοδρότερον. ποιμαί-
» νετε φησὶ τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησά-
» μενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο. καὶ οἱ πω-
» λοῦντες αὐτὰ ἔλεγον, εὐλογητὸς κύριος καὶ πεπλου-
» τήκαμεν. καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον
» οὐδὲν ἐπ᾽ αὐτοῖς. διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι
» ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει κύριος
13 » παντοκράτωρ. καὶ πάλιν. ῥομφαία, ἐξεγέρ-
» θητι ἐπὶ τοὺς ποιμένας, καὶ πατάξατε τοὺς ποι-
» μένας, καὶ ἐκσπάσατε τὰ πρόβατα, καὶ ἐπά-
» ξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας, καὶ ὀργί-
» σθη ὁ θυμός μου ἐπὶ τοὺς ποιμένας, καὶ ἐπὶ τοὺς
» ἀμνοὺς ἐπισκέψομαι. προστιθεὶς ἤδη τῇ ἀπει-

ἀλλὰ καὶ τοῦ λαοῦ τοὺς προέχοντας. οὕτω φιλο-
πόνως προσκαθέζεται τῷ λόγῳ, καὶ οὐδὲ ἀ-
παλλαγῆναι δύναται ῥᾳδίως τῆς ἀπειλῆς.
ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπευκτὸς ὦ, πάντων
ἑξῆς μεμνημένος. ἀλλ᾽ ὁ μὲν ζαχαρίας, οὕτως.
ἵνα δὲ τοὺς ἐν τῷ δανιὴλ παραδράμωμεν πρεσ-
βυτέρους, καὶ γὰρ παραδράμοιμεν, καὶ τὸ τῷ
δεσπότῃ περὶ αὐτῶν καλῶς εἰρημένον, καὶ προκε- [illegible]
χρησμένον. ὅτι ἐξῆλθεν ἀνομία ἐκ βαβυλῶνος
ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερ-
νᾶν τὸν λαόν. πῶς οἴσομεν ἰεζεκιήλ, τὸν τῶν με-
γάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ θεα-
μάτων; πῶς μὲν ἃ τοῖς σκοποῖς διακελεύεται
μὴ κατασιωπᾶν τὴν κακίαν καὶ τὴν ἐπερχο-
μένην ταύτῃ ῥομφαίαν, ὡς οὔτε αὐτοῖς τοῦτο λυ-
σιτελοῦν, οὔτε τοῖς ἁμαρτάνουσι; τὸ δὲ προϊ- Ez. 33.
δέσθαι καὶ προκηρύξαι ἀμφοτέρους ὀνήσοντος,
ἢ οἱ μὲν εἴποιεν, οἱ δὲ ἀκούσαιεν, ἢ πάντως γε
τοὺς μηνύσαντας. πῶς δὲ τὴν ἄλλην κατα-
δρομὴν ποιεῖται κατὰ τῶν ποιμαινόντων,
» νῦν μὲν ἐν τούτοις τοῖς ῥήμασιν. οὐαὶ ἐπὶ οὐαὶ 7.
» ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν, καὶ ἐκζητη-
» θήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπο-
» λεῖται ἐξ ἱερέως, καὶ βουλὴ ἐκ πρεσβυτέρων.
» νῦν δὲ ἐν ἐκείνοις πάλιν. υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ, σὺ εἶ
» γῆ ἡ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν

22 » ἡμέρᾳ ὀργῆς, ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς,
» ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγμα-
» τα, ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ. καὶ μετ'
» ὀλίγα. οἱ ἱερεῖς αὐτῆς ἠθέτουν νόμον μου, καὶ ἐβε-
» βήλουν τὰ ἅγιά μου. βεβήλοις τε καὶ ἁγίοις φη-
» σὶν οὐ διέστελλον, ἀλλὰ πάντα ἦν αὐτοῖς ἕν. καὶ
» ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀ-
» φθαλμοὺς αὐτῶν. καὶ ἐβεβηλούμην ἐν μέσῳ
» αὐτῶν, συντελεῖν τε τὸν τοῖχον, καὶ τοὺς ἀλείφον-
» τας αὐτὸν ἀπειλῶν. τὸ δέ ὅτι, τοὺς ἁμαρτάνον-
τας καὶ τοὺς συγκαλύπτοντας, ὅπερ εἶναι κα-
κῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων
τὸν οἶκον τοῦ ἰσραὴλ, κατὰ τὰς καρδίας αὐτῶν
τὰς ἀπηλλοτριωμένας ἐν τοῖς ἐπιθυμήμασιν
αὐτῶν. καὶ σιωπῶ λέγειν. ὅσα περὶ τῶν βο-
34 » σκόντων ἑαυτοὺς διαλέγεται, τὸ γάλα κατε-
» σθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ
» παχὺ σφαζόντων, ἀλλὰ μὴ ποιμαινόντων τὰ
» πρόβατα. τὸ ἠσθενηκὸς οὐκ ἐνισχυόντων, καὶ τὸ
» συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ
» πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ ἀπολω-
» λὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλατ-
» τόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κα-
» τὰ δουλείαν ἀπολλύντων. ὡς διεσπάρθαι
» τὰ πρόβατα κατὰ παντὸς πεδίου καὶ ὄρους
» παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κα-

τάβρωμα

» τὰ βρώματα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος
» τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος. εἶτα τί;
» ζῶ ἐγώ φησι, λέγει κύριος, ἀντὶ τοῦ ταῦτα οὕτως
» ἔχειν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς προ-
» νομὴν; ἰδοὺ ἐγὼ, ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζη-
» τήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν,
» καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι. οἱ δὲ
» τὰ, καὶ τὰ πείσονται, ἃ τοὺς κακοὺς ποιμένας
» εἰκός. ἀλλ' ἵνα μὴ τὰ πάντων καὶ πάντας
ἀπαριθμούμενος τοὺς προφήτας, μακρὸν ἀπο-
τείνω λόγον, ἑνὸς ἐπιμνησθεὶς ἔτι, τοῦ πρὸ τῆς
πλάσεως ἐγνωσμένου, καὶ ἐκ μήτρας ἡγιασμέ- Hier. 1
νου, ἱερεμίας ἦν οὗτος, τοὺς λοιποὺς ὑπερβήσο-
μαι. ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς ὕδωρ, 9
καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύ-
σῃ πρὸς ἀξίαν τὸν ἰσραήλ. ὀδύρεται δὲ οὐχ ἧττον
καὶ τῶν προεστώτων τὴν μοχθηρίαν, λέγει μὲν αὐ-
» τῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ θεὸς, οἱ
» ἱερεῖς, οὐκ εἶπαν ποῦ ἐστι κύριος. καὶ οἱ ἀντεχό-
» μενοι τοῦ νόμου μου, οὐκ ἠπίσταντό με. καὶ οἱ ποι-
» μένες ἠσέβουν εἰς ἐμέ. λέγει δὲ αὐτὸς πάλιν. 10
» ποιμένες ἠφρονεύσαντο, καὶ τὸν κύριον οὐκ ἐξε-
» ζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησεν πᾶσα ἡ νομὴ,
» καὶ διεσκορπίσθησαν. ποιμένες τε φησὶ πολλοὶ 12
» διέφθειραν τὸν ἀμπελῶνά μου. ἐμόλυναν τὴν με-
» ρίδα μου, ἣν οὖσαν ἐπιθυμητὴν, δεδώκασιν εἰς τὴν

» ὄρη μου ἄβατον. εἶτα πρὸς αὐτοὺς πάλιν ἀποτεί-
23 » νεται τοὺς ποιμένας. ὦ οἱ ποιμένες οἱ ἀπολλύν-
» τες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς
» μου. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπὶ τοὺς ποι-
» μαίνοντας τὸν λαόν μου. ὑμεῖς διεσκορπίσατε
» τὰ πρόβατά μου, καὶ ἐξεώσατε αὐτά, καὶ οὐκ
» ἐπεσκέψασθε αὐτά. ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ᾽ ὑμᾶς,
» κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν.
ἀλαλάζειν τε βούλεται τοὺς ποιμένας, καὶ κό-
πτεσθαι τοὺς κριοὺς τῶν προβάτων, διότι ἐπλη-
ρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγήν. καὶ τί μοι
τὰ παλαιὰ λέγειν; τίς δὲ τοῖς Παύλου κανόσι
καὶ ὅροις ἑαυτὸν παρεκτείνων, οὓς περὶ ἐπισκό-
πων καὶ πρεσβυτέρων ἔταξε, νηφαλίους, σώ-
1. ad Tim. 3. φρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, δι-
δακτικούς, ἀλήπτους ἐν πᾶσι καὶ ἀνεπάφους τοῖς
πονηροῖς, οὐ πολὺ τὸ διάφορον εὑρήσει τὴν τῶν
κανόν κακῶν εὐθύτητα; τί δαὶ ἃ τοῖς μαθηταῖς Ἰη-
σοῦς, ἐπὶ τὸ κήρυγμα πέμπων, νομοθετεῖ; ὧν
τὸ κεφάλαιον, ἵνα μὴ τὰ καθ᾽ ἕκαστον λέγω, τοιού-
τους εἶναι τὴν ἀρετήν, καὶ οὕτως εὐσταλεῖς καὶ
Matt. 10 μετρίους, καὶ ἵνα συντόμως εἴπω οὐρανίους,
Marc. 6 ὥστε οὐχ ἧττον διὰ τὸν τρόπον αὐτῶν, ἢ διὰ τὸν
λόγον τρέχειν τὸ εὐαγγέλιον. ἐμὲ δὲ φοβοῦσι καὶ
ὀνειδιζόμενοι Φαρισαῖοι, καὶ γραμματεῖς ἐλεγ-
χόμενοι. ὧν αἰσχρόν, εἰ πολὺ περιεῖναι δέον τὴν

ἀρετὴν, ὡς διατετάγμεθα, εἴ γε δέοι μέγα τῆς τῶν
οὐρανῶν βασιλείας, καὶ τὴν κακίαν φαινοίμε-
θα χείρους. ὥστε καὶ ὄφεις ἂν ἀκόπως ἀκοῦσαι,
καὶ γεννήματα ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοὶ, τὸν
κώνωπα διϋλίζοντες καὶ τὴν κάμηλον κατα-
πίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ ἔνδον, μετ' εὐ-
πρεπείας τῆς ἔξωθεν. καὶ παροψίδες καθαραὶ
τὸ φαινόμενον. καὶ τἄλλα, ὅσα ἐκεῖνοι καὶ εἰσὶ
καὶ ἀκούουσι. τούτοις ἐγὼ σύνειμι νύκτωρ καὶ μεθ' ἡμέ-
ραν τοῖς λογισμοῖς. ταῦτά μου τὸν μυελὸν ἐκτή-
κει καὶ δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι
οὐδὲ περιδύεσθαι ἄνω βλέποντα. ταῦτά μου τα-
πεινοῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν συστέλλει, καὶ τῇ
γλώσσῃ δεσμὸν ἐπιτίθησιν, καὶ οὐ περὶ προστασίας
εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν ἄλλους
καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας. ἀλλ' ὅ-
πως ἂν αὐτὸς τὴν ἐρχομένην ὀργὴν διαφύγοιμι,
καὶ μικρόν γε τοῦ ἰοῦ τῆς κακίας ἑαυτὸν ἀποξέ-
σαιμι. καθαρθῆναι δὲ πρῶτον, εἶτα καθᾶραι· σο-
φισθῆναι, καὶ οὕτω σοφίσαι. γενέσθαι φῶς, καὶ
φωτίσαι. ἐγγίσαι θεῷ, καὶ προσαγαγεῖν ἄλλους.
ἁγιασθῆναι, καὶ ἁγιάσαι. χειραγωγῆσαι μετὰ χειρῶν,
συμβουλεῦσαι μετὰ συνέσεως. πότε οὖν ἔσται
ταῦτά φασιν, οἱ ταχεῖς τὰ πάντα καὶ οὐκ ἀσφα-
λεῖς, οἱ ῥᾳδίως οἰκοδομοῦντες καὶ καταλύοντες,
καὶ πηνίκα ὁ λύχνος ἐπὶ τὴν λυχνίαν, καὶ ποῦ

τὸ τάλαντον; οὕτω τὸ χάρισμα λέγοντες. ταῦ-
τα οἱ θερμότεροι τὴν φιλίαν, ἢ τὴν εὐλάβειαν.
πότε ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος ὦ γενναιό-
τατοι, οὐ μακρὰ προθεσμία, οὐδὲ γῆρας τὸ ἔ-
σχατον. κρείσσων γὰρ πολιὰ μετὰ φρονήσεως, ἀ-
παιδεύτου νεότητος. καὶ λελογισμένη βραδυ-
τὴς, τάχους ἀπερισκέπτου. καὶ ὀλιγοχρόνιος
βασιλεία, μακρᾶς τυραννίδος. ὡς καὶ ὀλίγη με-
ρὶς τιμία, πολλῆς κτήσεως ἀτίμου καὶ σφαλε-
ρᾶς. καὶ χρυσὸς ὀλίγος, μολύβδου πολυτα-
λάντου. καὶ πολλοῦ σκότους, ὀλίγον φῶς. τὸ
δὲ ταχὺ τοῦτο καὶ σφαλερὸν, καὶ λίαν κατε-
σπουδασμένον, μὴ τῶν σπερμάτων ἐκείνοις ἐοι-
κὸς ᾖ, ἃ κατὰ τῶν πετρῶν πεσόντα, καὶ διὰ τὸ
μὴ ἔχειν βάθος γῆς εὐθὺς ἀνακύψαντα, οὐδὲ τὴν
πρώτην ἤνεγκεν τοῦ ἡλίου θερμότητα. ἢ τῷ
κατὰ τῆς ψάμμου τεθέντι θεμελίῳ, μηδὲ ὀλί-
γον ἀντισχόντι πρὸς τὴν βροχὴν καὶ τὰ πνεύ-
ματα. οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτε-
ρος ἐστί φησι σολομὼν, καὶ μὴ ἴσθι ταχὺς ἐν λό-
γοις. τοῦ αὐτοῦ σολομῶντος φωνὴ, πρᾶγμά τι
ἔλαττον λέγοντος, τὸ περὶ λόγων τάχος, τῆς
περὶ πρᾶξιν θερμότητος. καὶ τίς ἐστι παρὰ ταῦ-
τα, ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας
καὶ τοῦ συμφέροντος; τίς, ὁ πλάττων καθάπερ
αὐθημερὸν τοὺς πηλίνους, τὸν τῆς ἀληθείας προ

στάτην, τὸν μετὰ ἀγγέλων στησόμενον, καὶ μετὰ ἀρ-
χαγγέλων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστή-
ριον ἀναπέμψοντα τὰς θυσίας, καὶ χριστῷ συ-
νιερουργήσοντα, τὸν ἀναπλάσοντα τὸ πλάσμα,
καὶ παραστήσοντα τὴν εἰκόνα, καὶ τῷ ἄνω κόσ-
μῳ δημιουργήσοντα, καὶ τὸ μεῖζον εἰπεῖν, θεὸν
ἐσόμενον καὶ θεοποιήσοντα; οἶδα τίνος ἐσμὲν
λειτουργοί, καὶ ποῦ κείμενοι, καὶ ποῦ πέμποντες.
οἶδα τοῦ θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθέ-
νειαν, καὶ τὴν δύναμιν πάλιν. οὐρανὸς ὑψηλός,
γῆ δὲ βαθεῖα. καὶ τίς ἀναβήσεται τῶν ἐρριμμέ-
νων τῇ ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω
ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοῒ
καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται
τοῖς ἑστῶσι καὶ ἀοράτοις, ἐν τοῖς ἀστάτοις καὶ ὁρω-
μένοις; μόλις γὰρ ἄν τις ἐνταῦθα τῶν σφόδρα
κεκαθαρμένων, κἂν εἴδωλον τοῦ καλοῦ θεωρή-
σειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασιν. τίς ὁ με-
τρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθα- Es. 40
μῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε τὰ ὄρη
σταθμῷ καὶ τὰς νάπας ζυγῷ; τίς τόπος τῆς κα-
ταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιω-
θήσεται, τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ
τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν
ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ
πνεύματι, καὶ συνθεὶς ζῷον ὁρατὸν καὶ ἀόρατον,

πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον θεοῦ, καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; εἶπα σοφισθήσομαι φησὶν ὁ σολομῶν, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν. τὴν σοφίαν λέγων. καὶ ὄντως ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιῶντος τοῦ διαφεύγοντος. ὅπερ οἶμαι πολλάκις συμβαίνειν τοῖς ἔτι διψῶσιν, ἀποσπωμένοις ὕδατος, ἢ κρατεῖν τι οὐ δυναμένοις, ἔχειν νομίζουσιν. ἢ οὓς ἀπῆλθεν εὐθὺς ἀστραπὴ περιλάμψασα. τοῦτό με ἵστη κάτω καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῆς ὑπὲρ δύναμιν. ἡ μεγαλειότης καὶ τὸ ὕψος καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις, μόλις χωροῦσαι θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφή, φωτὸς ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν. ὃς ἐν τῷ παντὶ τῷδε, καὶ τοῦ παντός ἐστιν ἔξω. ὃς καλόν ἐστιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ. ὃς νοῦν φωτίζει, καὶ διαφεύγει νοῦ τάχος καὶ ὕψος. ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται. καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστὴν, τῷ φεύγειν, καὶ τῷ οἷον κρατούμενος βλέπεσθαι. τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν τὸ ποθούμενον καὶ σπουδαζόμενον.

τοιοῦτον δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν τῶν ψυ-
χῶν καὶ προμνήστορα. ἔμοιγε μὴν δέος, μὴ καὶ
τοῦ νυμφῶνος ἔξω ῥιφῶ δεθεὶς χεῖρας καὶ πό- Matt. 22
δας, ὡς οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου, ἀλλὰ τολ-
μηρῶς παρενείρας ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακει-
μένοις. καίτοι προσεκλήθην μὲν ἐκ νεότητος,
ἵν᾿ εἴπω τι τῶν τοῖς πολλοῖς ἀγνοουμένων, καὶ ἐπ᾿ αὐ-
τὸν ἐπερρίφην ἐκ μήτρας, καὶ ἐδόθην δῶρον ἐκ
μητρικῆς ὑποσχέσεως, καὶ μετὰ ταῦτα τοῖς κινδύ-
νοις ἐβεβαιώθην, καὶ ὁ πόθος συνηυξήθη, καὶ ὁ λο-
γισμὸς συνέδραμεν, καὶ πάντα ἔδωκα φέρων
τῷ λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν,
εὐεξίαν, τοὺς λόγους αὐτούς. ὧν, τοσοῦτον ἀπέλαυσα
μόνον, τὸ παριδεῖν καὶ ἐσχηκέναι ὧν χριστὸν προε-
τίμησα. καὶ ἡδύνθη μοι τὰ τοῦ θεοῦ λόγια ὡς κη-
ρία μέλιτος, καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ
τῇ σοφίᾳ ἔδωκα φωνήν μου, καὶ τἄλλα δὴ ταῦ-
τα, οἷον θυμὸν μετρῆσαι, καὶ γλῶσσαν χαλινῶ-
σαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ γαστέρα παι-
δαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω
ῥέουσαν. παραφρονῶν λέγω, ἀλλ᾿ οὖν ἐρή-
σεται. ταῦτα μὲν, οὐ τῶν πολλῶν ἴσως ἐ-
γινόμην φαυλότερος. τοσοῦτον δὲ φιλοσοφῆσαι
κρεῖττον ἢ καθ᾿ ἡμᾶς, δέξασθαι ψυχῶν ἡγεμονίαν
καὶ προστασίαν, καὶ μήπω μὴ δὲ ποιμαίνεσθαι
καλῶς μαθόντας ἡμᾶς, μὴ δὲ καθαρθέντας τὴν

ψυχὴν ὅσον ἄξιον. ἔπειτα ποίμνης ἐπιστατεῖν
πιστευθῆναι, καὶ ταῦτα ἐν καιροῖς τοιούτοις, ἐν
οἷς ἀγαπητὸν, ὁρῶντα τοὺς ἄλλους ἄνω καὶ κάτω
φερομένους τε καὶ ταρασσομένους, φυγόντα
φυγῇ ἐκ τοῦ μέσου, ὑπὸ σκέπην ἀναχωρήσαν-
τα, λαθεῖν τοῦ πονηροῦ τὴν ζάλην καὶ τὴν σκο-
τόμαιναν. ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις τὰ μέ-
λη, οἴχεται δὲ τῆς ἀγάπης εἴ καί τι ἦν λείψανον.
ps. 106 ὄνομα δὲ κενὸν ἄλλως ὁ ἱερεὺς, ἐκχυθείσης ἐπ' ἄρ
χοντας ἐξουδενώσεως ὥσπερ εἴρηται. καὶ εἴθε
κενόν. νυνὶ δὲ τρέποιτο εἰς κεφαλὰς ἀθέων ἡ βλα
σφημία. φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν,
ἀντεισῆκται δὲ ἀναίδεια, τοῦ βουλομένου δὲ ἡ
γνῶσις, καὶ τὰ βάθη τοῦ πνεύματος. πάντες
δὲ ἐσμὲν εὐσεβεῖς, ἐξ ἑνὸς μόνου, τοῦ καταγινώ
σκειν ἀλλήλων ἀσέβειαν. χρώμεθα δὲ δικασταῖς
τοῖς ἀθέοις, καὶ ῥιπτοῦμεν τὰ ἅγια τοῖς κυσὶ, καὶ
Matt. 7. βάλλομεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοί-
ρων, βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς τὰ θεῖα δη
μοσιεύοντες. καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς ἐπιμε
λῶς ἐκπληροῦμεν οἱ δείλαιοι. καὶ πορνεύοντες
ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν, οὐκ αἰσχυνόμεθα.
Ier. 1. Lam. μωαβῖται δὲ καὶ ἀμμανῖται οἷς οὐδ' ἐξῆν πα-
ρεῖναι εἰς ἐκκλησίαν θεοῦ, τοῖς ἁγιωτάτοις ἡμῶν
ἐμβατεύουσιν. ἠνοίξαμεν δὲ πᾶσιν οὐ πύλας δι-
καιοσύνης, ἀλλὰ θύρας λοιδορείας τε καὶ τῆς
κατ' ἀλλήλων

κατ᾽ ἀλλήλων θρασύτητος. καὶ οὗτος ἄριστος ἡμῶν,
οὐχ ὃς ἂν μηδὲ ῥῆμα προῆται ἀργὸν φόβῳ θεοῦ,
ἀλλ᾽ ὃς ἂν τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς,
ἢ διαῤῥήδην, ἢ ἐν αἰνίγμασιν, καὶ ὑπὸ τὴν γλῶσ-
σαν αὐτοῦ στρέφων κόπον καὶ πόνον ἢ ἰὸν ἀσπί-
δων, εἰπεῖν οἰκειότερον. τηροῦμεν δὲ τὰς ἀλλή-
λων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ᾽ ἵνα ὀ-
νειδίσωμεν, οὐδ᾽ ἵνα θεραπεύσωμεν, ἀλλ᾽ ἵνα προσ-
πλήξωμεν, καὶ ἀπολογίαν ἔχωμεν τῶν ἡμετέ-
ρων κακῶν τὰ τῶν πλησίον τραύματα. κακοὺς
δὲ καὶ ἀγαθοὺς, οὐχ ὁ τρόπος, ἀλλ᾽ ἡ διάστασις καὶ ἡ
φιλία χαρακτηρίζει. καὶ ἃ σήμερον ἐπαινοῦμεν,
αὔριον ἐκακίσαμεν. καὶ ἃ παρ᾽ ἄλλοις στηλιτεύε-
ται, παρ᾽ ἡμῖν θαυμάζεται. καὶ πάντα συγ-
χωρεῖται προθύμως τῷ ἀσεβεῖν, οὕτω τὴν κα-
κίαν ἐσμὲν μεγαλόψυχοι. γέγονε δὲ τὰ πάν-
τα ὡς τὸ ἀπαρχῆς, ὅτε οὔπω κόσμος ἦν, οὐδὲ
ἡ νῦν εὐταξία καὶ μόρφωσις, ἀλλὰ συγκεχυμέ-
νον τὸ πᾶν καὶ ἀνώμαλον, ἐδεῖτο τῆς εἰδοποιοῦ
χειρὸς καὶ δυνάμεως. εἰ βούλει δὲ, ὡς ἐν νυκτομα-
χίᾳ καὶ σελήνης ἀμυδροῖς φέγγεσιν, ἐχθρῶν ἢ φί-
λων ὄψεις οὐ διαγινώσκοντες. ἢ ὡς ἐν ναυμαχίᾳ
καὶ ζάλῃ, καὶ πνευμάτων ἐμβολαῖς, καὶ ῥοθίῳ
ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νηῶν ἀ-
ραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευστῶν φω-
ναῖς, καὶ πιπτόντων οἰμωγαῖς ὑπορηχούμενοί τε

καὶ ἀπορούμενοι, καὶ τῆς ἀνδρείας καιρὸν οὐκ ἔχον-
τες. φεῦ τοῦ πάθους. ἀλλήλοις περιπίπτομεν,
καὶ ὑπ' ἀλλήλων ἀναλισκόμεθα. καὶ οὐχ ὁ λαὸς μὲν
οὕτως, ὁ ἱερεὺς δὲ ἑτέρως. ἀλλά μοι νῦν ἐκεῖνο
Os. 4 πληροῦσθαι δοκεῖ καθαρῶς, τὸ, γέγονεν ὁ ἱερεὺς κα-
θὼς ὁ λαός. ἐν κατάρᾳ πάλαι λεγόμενον. καὶ οὐχ
Ier. 5 οἱ πολλοὶ μὲν οὕτως, οἱ δὲ ἄκροι τοῦ λαοῦ καθὼς εἴ-
ρηται, καὶ προέχοντες ἐναντίως. ἀλλ' οὗτοί γε καὶ
φανερῶς πολεμοῦσι τοῖς ἱερεῦσιν, ἐφόδιον ἔχον-
τες εἰς πειθὼ τὴν εὐσέβειαν. καὶ ὅσοι μὲν περὶ πί-
στεως τοῦτο παρχόντων, καὶ τῶν ἀνωτάτων ζητημά-
των καὶ πρώτων. οὐδὲ ἐγὼ μέμφομαι, ἀλλ' εἰ δεῖ
τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ, καὶ συνήδομαι,
καὶ τούτων εἷς εἴην, τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομέ-
νων καὶ ἀπεχθανομένων, μᾶλλον δὲ καὶ εἶναι καυχήσο-
μαι. κρείσσων γὰρ ἐπαινετὸς πόλεμος, εἰρήνης χω-
ριζούσης θεοῦ. καὶ διὰ τοῦτο τὸν πρᾳῢν μαχητὴν ὁ-
πλίζει τὸ πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμε-
νον. νῦν δὲ εἰσί τινες, οἳ καὶ περὶ μικρῶν πολε-
μοῦντες, καὶ εἰς οὐδὲν ὄφελος, καὶ κοινωνοὺς ὅσους ἂν
δύνωνται τοῦ κακοῦ προσλαμβάνοντες, λίαν ἀμα-
θῶς καὶ θρασέως. εἶτα αἰτία πᾶσιν ἡ πίστις, καὶ τοῦτο
τὸ σεμνὸν ὄνομα ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις
παρασυρόμενον. ἐκ δὲ τούτων, ὡς τὸ εἰκὸς, μισού-
μεθα μὲν ἐν τοῖς ἔθνεσι, καὶ ὃ τούτου χαλεπώτερον,
οὐδὲ εἰπεῖν ἔχομεν, ὡς οὐ δικαίως. διαβεβλήμε-

θα δὲ

θα δὲ καὶ τῶν ἡμετέρων τοῖς ἐπιεικεστέροις. οὐδὲν γὰρ θαυμαστόν, ἢ τοῖς πλείοσιν, οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχοιντο. τεκταίνουσι δὲ ὧδε τὴν νῶτον ἡμῶν οἱ ἁμαρτωλοί. καὶ ἃ κατ᾽ ἀλλήλων ἐπινοοῦμεν, κατὰ πάντων ἔχουσι. καὶ γεγόναμεν θέατρον καινόν, οὐκ ἀγγέλοις καὶ ἀνθρώποις, οἷον ὁ γενναιότατος τὴν ἀθλητὴν παῦλος, πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος, ἀλλὰ πᾶσι μικροῦ τοῖς πονηροῖς, καὶ ὧδε παντὸς καιροῦ καὶ τόπου. ἐν ἀγοραῖς, ἐν πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. ἤδη δὲ προήλθομεν καὶ μέχρι τῆς σκηνῆς. ὀκνῶ μικροῦ καὶ δακρύων λέγω. καὶ μετὰ τῶν ἀσελγεστάτων γελώμεθα, καὶ οὐδὲν οὕτω τερπνὸν τῶν ἀκουσμάτων καὶ θεαμάτων, ὡς χριστιανὸς κωμῳδούμενος. ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος. ταῦτα οἱ λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πράου μαχόμενοι. ταῦτα οἱ πλέον ἀγαπῶντες τὸν θεὸν, ἢ ὅσον συμφέρει. καὶ παλαίειν μὲν οὐκ ἔξεστιν ἔξω τῶν νενομισμένων, οὐδὲ ἄλλο τι ἀγωνίζεσθαι, ἢ καταβοηθήσεται καὶ ἀτιμασθήσεται, καὶ ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων, ἢ ἄλλο τι μὴ καλῶς ἀγωνιζόμενος, μηδὲ κατὰ τοὺς κειμένους ὅρους τῆς ἀγωνίας, κἂν ὅτι γενναῖος ᾖ καὶ τεχνικώτατος. ὑπὲρ χριστοῦ δὲ ἀγωνιεῖταί τις οὐ κατὰ χριστόν; ἔπειτα χαριεῖται τῇ εἰρήνῃ, πολεμῶν ὑπὲρ αὐτῆς, ὡς οὐκ ἔξεστιν; καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰς ἔτι καὶ νῦν χριστοῦ καλουμένου, καὶ

οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις. ἡμεῖς δὲ οὐκ αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα καθυβρίζοντες, καὶ μονονοὺ φανερῶς αὐτοῦ βοῶντος
» ἀκούοντες καὶ καθ' ἑκάστην ἡμέραν. τὸ γοῦν ὄνομά μου
» βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσιν. καὶ τὸν μὲν ἔξωθεν οὐ δέδοικα πόλεμον, οὐδὲ τὸν νῦν ἐπαναστάντα θῆρα ταῖς ἐκκλησίαις, καὶ τὸ τοῦ πονηροῦ πλήρωμα. [Julianus] κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη, κἂν θῆρας, κἂν κρημνούς, κἂν βάραθρα, κἂν τῶν πώποτε μανέντων ἀπανθρωπότατος, κἂν ταῖς οὔσαις τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας. ἓν ἔχω πρὸς πάντα φάρμακον, μίαν ὁδὸν εἰς νίκην. ἐν Χριστῷ καυχήσομαι τὸν ὑπὲρ Χριστοῦ θάνατον. πρὸς δὲ τὸν ἐμὸν πόλεμον, οὐκ ἔχω τί γένωμαι, τίνα συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα, ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδείας ὁπλίσωμαι. τίς νικήσει τοῦτον; Μωσῆς, ἐκτείνας τὰς χεῖρας ἐπὶ τοῦ ὄρους, ἵν' ὁ σταυρὸς ἰσχύσῃ τυπούμενος καὶ προμηνυόμενος. τίς; Ἰησοῦς μετ' ἐκεῖνον, τῷ ἀρχιστρατήγῳ τῶν θείων παρατάξεων συμπαρατασσόμενος. τίς; Δαβίδ, ἢ ψάλλων, ἢ πολεμῶν ἐν σφενδόναις, καὶ ὑπὸ τοῦ θεοῦ προεζωσμένος δύναμιν εἰς πόλεμον, καὶ τοὺς δακτύλους εἰς παράταξιν γυμναζόμενος. τίς; Σαμουήλ,

μουὴλ, καὶ προσευχόμενος τοῦ λαοῦ, καὶ προσθυό-
μενος, καὶ χρίων εἰς βασιλέα τὸν νικᾷν δυνάμενον.
τίς θρηνήσει ταῦτα πρὸς ἀξίαν; ἱερεμίας θρή-
νους γράφων ὑπὲρ τοῦ ἰσραήλ. τίς βοήσεται,
φεῖσαι κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρο-
νομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη;
τίς ὑπὲρ ἡμῶν προσεύξεται; νῶε καὶ ἰὼβ καὶ δα-
νιὴλ, οἱ συνευχόμενοι καὶ συναριθμούμενοι, ἵνα
κοπάσῃ μικρὸν ἡμῖν ὁ πόλεμος, ἵνα γνώμεθα
ἡμῶν αὐτῶν, καὶ ἀλλήλους ἐπιγνωρίσωμεν,
ἵνα μηκέτι ὦμεν ἀνθ᾽ ἑνὸς τοῦ ἰσραὴλ, καὶ ἰούδας
καὶ ἰσραήλ. μηκέτι ῥοβοὰμ, καὶ ἱεροβοὰμ, μηκέτι
ἱερουσαλὴμ καὶ σαμάρεια, αἳ ἐν μέρει διὰ τὰς ἁμαρ-
τίας παραδιδόμεναι, καὶ ἐν μέρει θρηνούμεναι.

Ἐγὼ μὲν γὰρ ἀσθενέστερος εἶναι τοῦ πολέμου τούτου
ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα, καλύψας
τὸ πρόσωπον ἐν τροπῇ, καὶ κατὰ μόνας καθε-
σθῆναι, ὅτι πικρίας ἐνεπλήσθην. ἐζήτησα καὶ
σιωπῆσαι, συνιὼν, ὅτι ὁ καιρὸς πονηρός ἐστιν, ὅτι
ἀπελάκτισαν οἱ ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ
ἀφεστηκότες, ἡ ἄμπελος ἡ εὐκληματοῦσα, ἡ ἄμ-
πελος ἡ ἀληθινὴ, πᾶσα καρποφόρος, ὡραία πᾶ-
σα, καλῶς ταῖς σταγόσι ταῖς ἄνωθεν ἀνατέλλου-
σα, ὅτι ἐστράφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ
ἐμοῦ κάλλους, τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης,
ὁ τῆς καυχήσεως στέφανος. εἰ δέ τις πρὸς ταῦτα

τολμηρὸς καὶ γενναῖος, μακάριος οὗτος ἐμοὶ τοῦ θάρσους καὶ τῆς γενναιότητος. καὶ οὔπω λέγω τὸν ἔνδοθεν καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν τοῖς πάθεσι πόλεμον, ὃν πολεμούμεθα νυκτὸς καὶ ἡμέρας ἀπὸ τοῦ τῆς ταπεινώσεως σώματος, τὰ μὲν κρύβδην, τὰ δὲ φανερῶς. καὶ τῆς ἄνω καὶ κάτω κυμαινούσης ἡμᾶς καὶ στροβούσης, διά τε αἰσθήσεως καὶ τῶν ἄλλων τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς ἰλύος ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας ἀντιστρατευομένου τῷ νόμῳ τοῦ πνεύματος, καὶ διαφθείρειν ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον τῆς θείας ἀπορροίας ἡμῖν συγκαταβέβληται. ὡς μόλις ἄν τις ἑαυτὸν, ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀπορρηγνὺς κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότῳ συνεζευγμένου, ἢ θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειεν. πρὶν δὲ ταύτην ὑπερσχεῖν ὅση δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τοὺς ἄλλους μακρῷ γενέσθαι τῇ πρὸς θεὸν ἐγγύτητι, ἢ ψυχῶν προστασίαν δέξασθαι, ἢ μεσιτείαν θεοῦ καὶ ἀνθρώπων, τοῦτο γὰρ ἴσως ὁ ἱερεὺς, οὐκ ἀσφαλὲς εἶναι γινώσκω. καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος; ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ

καὶ σφόδρα ἐπαινῶ τῆς προμηθείας. ἀκούω μὲν αὐτοῦ μωσέως, ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ θεός. ὅτι πολλῶν εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ ἀαρὼν, σὺν τοῖς παισὶ τοῖς δύο τοῖς ἱερεῦσι, καὶ ἑβδομήκοντα πρεσβυτέρων τῆς γερουσίας, οἱ μὲν λοιποὶ, προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ, μωσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαὸς, ὡς οὐ πάντων ὄντος, θεοῦ γενέσθαι πλησίον, πλὴν εἴ τις κατὰ μωσέα θεοῦ χωρῆσαι δόξαν δυνάμενος. καὶ ἔτι πρὸ τούτου ἐν ἀρχῇ τῆς νομοθεσίας, τοὺς μὲν ἄλλους, σάλπιγγες, καὶ ἀστραπαὶ, καὶ βρονταὶ, καὶ γνόφος, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, κἂν θηρίον θίγῃ τοῦ ὄρους λιθοβοληθήσεσθαι, καὶ ἄλλα τοιαῦτα δείματα ἵστη κάτω, καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς τοῦ θεοῦ φωνῆς εὖ μάλα ἁγνισαμένοις. μωσῆς δὲ, καὶ ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ δέχεται πλάκας. τοῖς μὲν πολλοῖς, τὰς τοῦ γράμματος. τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς, τὰς τοῦ πνεύματος. ἀκούω δὲ ναδὰμ καὶ ἀβιούδ. ὅτι ξένῳ πυρὶ θυμιάσαντες μόνον, ξένως καὶ ἀνηλώθησαν, κολασθέντες δι' ὧν ἠσέβησαν, καὶ τὴν αὐτὴν εὑρόντες τῆς ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον. καὶ οὐδὲ ἀαρὼν ἤρκεσεν πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ ὁ μωσέως παρὰ θεῷ δεύτερος. γινώσκω δὲ καὶ ἠλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον ὀζάν.

τὸν μὲν ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην, οἳ ἐτόλμων κατὰ τῶν θυσιῶν, πρὸ καιροῦ τῶν λεβήτων ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλάκις ἐπιτιμήσαντα. τὸν δὲ ὅτι ψαύσας τῆς κιβωτοῦ μόνον περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιέσωσε, αὐτὸς δὲ ἀπώλετο, φυλάττοντος τοῦ θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. οἶδα δὲ ἐγὼ, μηδὲ τοὺς ἐν τοῖς σώμασι μώμους τῶν ἱερέων ἢ τῶν θυμάτων, ἀνεξετάστους μένοντας, ἀλλὰ τελείους τέλεια προσάγειν νενομισμένον. σύμβολον οἶμαι τοῦτο τῆς κατὰ ψυχὴν ἀρτιότητος. μηδὲ στολῆς τῆς ἱερατικῆς ἢ σκεύους τινὸς τῶν ἁγίων ψαύειν παντὶ θεμιτὸν ὄν. μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ᾽ ὧν καὶ ὅτε καὶ οὗ μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι. μηδὲ τὸ ἔλαιον ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως, μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅστις ἢ ψυχὴν ἢ σῶμα οὐ καθαρὸς μέχρι καὶ τῶν μικροτάτων. τοσούτου δεῖ εἰς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾶν θαρροῦντα. ὧν ἑνὶ, καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον ἐπιβατὸν ἦν. τοσούτου δεῖ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ τὰ χερουβὶμ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι. ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου καὶ θεοῦ καὶ θύματος

καὶ

καὶ ἀρχιερέως, ὅστις μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ θεῷ θυσίαν ζῶσαν ἁγίαν, μηδὲ τὴν λογικὴν λατρείαν εὐάρεστον ἐπεδείξατο, μηδὲ ἔθυσε τῷ θεῷ θυσίαν αἰνέσεως καὶ πνεῦμα συντετριμμένον, ἣν μόνην ὁ πάντα δοὺς ἀπαιτεῖ παρ' ἡμῶν θυσίαν, πῶς ἔμελλον θαῤῥῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν μεγάλων μυστηρίων ἀντίτυπον; ἢ πῶς ἱερέως σχῆμα καὶ ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι τὰς χεῖρας; πρὶν τὸν ὀφθαλμὸν ἐθίσαι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ πλάσαντος; πρὶν τῇ παιδείᾳ κυρίου ἱκανῶς ἀνοιγῆναι τὰ ὦτα, καὶ προστεθῆναί μοι ὠτίον μὴ βαρέως ἀκούειν δυνάμενον, ἀλλ' ἐνώτιον χρυσοῦν σαρδίῳ πολυτελεῖ δεθῆναι, λόγον σοφοῦ, εἰς οὖς εὐήκοον; πρὶν τὸ στόμα, τὰ χείλη, τὴν γλῶσσαν, τὸ μὲν, ἀνοιγῆναι καὶ ἑλκῦσαι πνεῦμα, ἢ πλατυνθῆναι καὶ πληρωθῆναι τῷ πνεύματι λαλουμένων μυστηρίων τε καὶ δογμάτων, τὰ δὲ, αἰσθήσει θείᾳ κατὰ τὴν σοφίαν εἰπεῖν δεθῆναι, προσθείην δ' ἂν ὅτι καὶ ἐν καιρῷ λυθῆναι, τὴν δὲ, πληρωθῆναι ἀγαλλιάσεως, καὶ θείας μελῳδίας γενέσθαι πλῆκτρον ἐξεγειρομένην τῇ δόξῃ, συνεξεγειρομένην ὄρθριον, καὶ μέχρι τοῦ κολληθῆναι τῷ λάρυγγι κάμνουσαν; πρὶν ἐπὶ πέτραν στῆναι τοὺς πόδας μου καταρτισθέντας ὡς

ἐλάφων, καὶ κατευθυνθῆναί μοι τὰ κατὰ θεὸν διαβήματα καὶ μὴ παρ' ὀλίγον, μηδ' ὅλως ἐκχεόμενα; πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι δικαιοσύνης καὶ ἀποθέσθαι πᾶσαν νεκρότητα καταποθεῖσαν ὑπὸ τῆς ζωῆς, καὶ ὑποχωρήσασαν τῷ πνεύματι; τίς μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ θεοῦ λογίοις καθεὶς τὴν καρδίαν ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς γραφάς, μὴ δὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς ἐπὶ τὸ πλάτος τῆς καρδίας, ὥστε νοῦν ἔχειν χριστοῦ, μὴ δὲ τῶν τοῖς πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν εἴσω γενόμενος, ὥστε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον, καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων πνευματικοῖς, τίς μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον τὴν τερπνότητα κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς γενόμενος θεοῦ ζῶντος, καὶ ζῶν κατοικητήριον θεοῦ ἐν πνεύματι, τίς μήπω τύπων καὶ ἀληθείας ἐπιγνοὺς συγγένειαν καὶ διάκρισιν, καὶ τῶν μὲν ἀναχωρήσας, τῇ δὲ προσθέμενος, ἵνα τὴν τοῦ γράμματος φυγὼν παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος, καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν ἀπὸ τοῦ νόμου πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ γράμματος, τίς μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ χριστοῦ προσηγοριῶν καὶ δυνάμεων, καὶ ἔργῳ καὶ θεωρίᾳ, τῶν τε ὑψη-

λοτέρων καὶ πρώτων, καὶ τὴν δι' ἡμᾶς ταπει-
νοτέρων καὶ τελευταίων, τοῦ θεοῦ, τοῦ υἱοῦ, τῆς
εἰκόνος, τοῦ λόγου, τῆς σοφίας, τῆς ἀληθείας, τοῦ
φωτὸς, τῆς ζωῆς, τῆς δυνάμεως, τῆς ἀτμίδος,
τῆς ἀπορρoίας, τοῦ ἀπαυγάσματος, τοῦ ποιητοῦ,
τοῦ βασιλέως, τῆς κεφαλῆς, τοῦ νόμου, τῆς ὁδοῦ,
τῆς θύρας, τοῦ θεμελίου, τῆς πέτρας, τοῦ μαρ-
γαρίτου, τῆς εἰρήνης, τῆς δικαιοσύνης, τοῦ ἁγιασμοῦ,
τῆς ἀπολυτρώσεως, τοῦ ἀνθρώπου, τοῦ δούλου, τοῦ
ποιμένος, τοῦ ἀμνοῦ, τοῦ ἀρχιερέως, τοῦ θύματος,
τοῦ πρωτοτόκου πρὸ κτίσεως, τοῦ πρωτοτό-
κου ἐκ τῶν νεκρῶν τῆς ἀναστάσεως, τίς τού-
των τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπα-
κούων ἀεὶ, καὶ μήπω κοινωνήσας τῷ λόγῳ,
μηδὲ μεταλαβὼν αὐτοῦ, καθὸ τούτων ἕκα-
στον ἐστί τε καὶ κέκληται. τίς μήπω σχολά-
σας, μηδὲ μαθὼν λαβεῖν θεοῦ σοφίαν ἐν μυ-
στηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι νήπιος ὤν,
ἔτι τρεφόμενος γάλακτι, ἔτι τῶν οὐκ ἀριθμου-
μένων ἐν τῷ ἰσραὴλ, οὐδὲ καταλεγομένων
εἰς θεοῦ παράταξιν, μήπω τὸν χριστοῦ σταυρὸν
ὡς ἀνὴρ αἴρειν δυνάμενος, μήπω μηδὲ ἄλλο
τι μέλος ὢν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς
κεφαλὴν καταστῆναι χριστοῦ πληρώματος δέξε-
ται χαίρων καὶ προθυμούμενος; οὐκ ἔμοιγε κρι-
τῇ καὶ συμβούλῳ. ἀλλ' οὗτος ὁ φόβων μέγιστος,

οὗτος ὁ κινδύνων ἔσχατος, παντὶ τῷ συνιέντι καὶ
τοῦ κατορθουμένου τὸ μέγεθος, καὶ τῆς διαμαρ-
τίας τὸν ὄλεθρον. ἄλλος μὲν οὖν πλείτω κα-
τ' ἐμπορίαν ἔλεγον, καὶ τὰ μακρὰ διαπεραιούσθω
πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις ἀεὶ καὶ τοῖς
κύμασι μεγάλα καὶ κερδήσων, ἂν οὕτω τύχῃ, καὶ
κινδυνεύσων, ὅστις πλευστικώτατος ἢ ἐμπορι-
κώτατος. ἐμοὶ δ' οὖν αἱρετώτερον, ἐπὶ γῆς ἀ-
νέχοντι, βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυ-
κεῖαν, πόρρωθεν ἀσπαζομένῳ κέρδη καὶ θάλασ-
σαν, ζῆν οὕτως, ὅπως ἂν δύνωμαι σὺν ὀλίγῃ καὶ
μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύ-
μαντον, ἢ μακρὸν ἀναρρίπτειν καὶ μέγαν ἐπὶ μεγά-
λοις κέρδεσι κίνδυνον. ὑψηλῷ μὲν γὰρ ζημία,
τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ εἰς πλείους διατείνειν
τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν ἵστασθαι. οἷον με-
γάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα, ἢ πανο-
πλίαν νεανικὴν σῶμα παιδικὸν περισκέποντα.
μικρῷ δὲ ἀσφάλεια, μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ
τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλω-
τά τε ὀφλισκάνειν ὁμοῦ, καὶ προστιθέναι τὸν κίν-
δυνον. ὥσπερ γε καὶ πύργον οἰκοδομεῖν, οὐκ ἄλλῳ
τινὶ προσήκειν, ἢ ὃς ἔχει τὰ πρὸς ἀπαρτισμὸν,
ὡς ἠκούσαμεν. ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ
τῆς φυγῆς, καὶ ἴσως οὐ μετρίαν. Ἃ μὲν οὖν με
ἀφ' ὑμῶν ἀπήγαγεν ὦ φίλοι καὶ ἀδελφοὶ, λυ-

πικρῶς μὲν ἐμοὶ, καὶ ὑμῖν ἴσως, ἀναγκαίως δὲ, ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν, ταῦτα ἦν. ἐπανήγαγε δὲ μάλιστα μὲν ὁ πρὸς ὑμᾶς πόθος, καὶ τὸ αὐτὴν περιποθούντων αἰσθάνεσθαι. οὐδὲν γὰρ οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς αὐτὴ ἡ ἀντιδιδομένη διάθεσις. δεύτερον δὲ, ἡ ἐμὴ φροντὶς, τὸ ἐμὸν ἔργον, ἢ τῶν ἱερῶν γενέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον, ἢ τῷ χρόνῳ καμνόντων, ἀβραὰμ τοῦδε τοῦ πατριάρχου, τῆς τιμίας ἐμοὶ κεφαλῆς καὶ μετὰ ἀγγέλων ἀριθμουμένης, καὶ σάῤῥας, τῆς πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως. ὧν γενέσθαι βακτηρία τῷ γήρᾳ, καὶ ὑπερείδειν τὴν ἀσθένειαν τῶν πρώτων εὐχὴν εὐξάμενος, καὶ μέντοι καὶ πληρώσας ταύτην, ὅπόση δύναμις, ὡς καὶ φιλοσοφίας ὑπεριδεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος καὶ ὀνόματος, ἢ, τόγε ἀληθέστερον εἰπεῖν, τὸ μὴ φιλοσοφεῖν δόξαι, πρῶτον φιλοσοφήσας, οὐκ ἤνεγκα διαπιστεῖν μοι τὸν μόχθον ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλυθῆναι τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι ὁσίων λέγεται. βρώματι τὸν πατέρα καὶ τριχῶν πλάσματι σοφισάμενος. καὶ τὸ καλὸν οὐ καλῶς δι' ἐπιβουλῆς θηρασάμενος. δύο μὲν δὴ ταῦτα τῆς ἐμῆς ἥττης καὶ ἡμερότητος αἴτια. καὶ ἴσως οὐκ ἄτοπον ἀμφοτέροις, ἐκείνοις εἶξαι καὶ ὑποχωρῆσαι τοῖς λογισμοῖς. ἐπεὶ

καὶ τοῦ νικᾶσθαι καιρὸς, ὥσπερ οἶμαι καὶ παντὸς πράγματος. καὶ κρεῖττον ἡττᾶσθαι καλῶς, ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως. τρίτον δὲ, ὃ καὶ μέγιστον, καὶ δὴ τοῦτο εἰπὼν ἔχω, τὰ λοιπὰ σιωπήσομαι. ἐμνήσθην ἡμερῶν ἀρχαίων, καὶ πρός τινα τὴν παλαιὰν ἱστορίαν ἀναδραμὼν, ἐκεῖθεν εἵλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα. μὴ γὰρ δὴ ταῦτα συγγεγράφθαι νομίζωμεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ οἷον ἀκοῆς τι δέλεαρ, μέχρι τῆς ἡδονῆς ἱστάμενον. ταῦτα μὲν, παιζόντων μῦθοι καὶ ἑλλήνων, οἳ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῆς λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν. ἡμεῖς δὲ οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔποτε δεξόμεθα. οὐδὲ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῆ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι. ἀλλ' ἵνα ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴποτε συμπέσοι καιρὸς, διασκέψεως. ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι. οἷον κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι. τίς οὖν ἡ ἱστορία, καὶ πόθεν ἡ συμβουλή; οὐδὲν γὰρ χεῖρον ἴσως ἀσφαλείας ἕνεκεν

τῶν ἄλλων διελθεῖν. ἔφυγε καὶ ἰωνᾶς ἀπὸ προσώπου τοῦ θεοῦ, μᾶλλον δὲ, φεύγειν ᾤετο. ἀλλὰ κατελήφθη πελάγει καὶ χειμῶνι καὶ κλήρῳ, καὶ γαστρὶ κήτους, καὶ τριημέρῳ ταφῇ, τύπον ἐχούσῃ μυστηρίου μείζονος. ἀλλ' ἐκεῖνος μὲν, ἵνα μὴ τὴν σκυθρωπὴν καὶ ἄτοπον ἀγγελίαν ἀγγείλῃ τοῖς νινευΐταις, καὶ μετὰ τοῦτο ψεύστης ἁλῷ, σωθείσης τῇ μετανοίᾳ τῆς πόλεως. οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν, ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ᾐσχύνετο, καὶ οἷον ἐζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιστον, ὅπερ ἐν αὐτῷ καταλυθῆναι κίνδυνος ἦν, οὐ δυναμένων τῶν πολλῶν συνιδεῖν τῆς τοῦ θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος. ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρὸς, οὐκ ἀτόπως βοηθοῦντος τῷ φαινομένῳ τῆς ἱστορίας ἀτόπῳ, καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ ταῦτα ἦν, ἃ τὸν μακάριον ἰωνᾶν ἐποίει φυγάδα, καὶ εἰς ἰόππην ἤγαγεν, καὶ ἐξ ἰόππης ἀνήγαγεν ἐπὶ θαρσεῖς πελάγει πιστεύσαντα τὴν ἑαυτοῦ κλοπήν. οὔτε γὰρ ἀγνοεῖν τοῦ θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα, εἰκὸς αὐτὸν ἦν. ὅτι διὰ τῆς ἀπειλῆς, τὸ μὴ παθεῖν τὰ τῆς ἀπειλῆς νινευΐταις ἐπραγματεύετο κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐ-

τοῦ κρίματα, καὶ τὴν ὁδὸν αὐτοῦ τὸ ἀνεξι-
χνίαστόν τε καὶ ἀκατάληπτον. οὔτ᾽ εἰ παρ᾽ ἠ-
πίστατο,, μὴ ἀκολουθῆσαι θεῷ. δι᾽ οὗ παρ᾽ ἐβού-
λετο τρόπου τὴν σωτηρίαν ἐκείνοις μηχανω-
μένῳ. τὸ δὲ δὴ καὶ οἴεσθαι ὡς ἀποκρύψειν ἑαυ-
τὸν τῷ πελάγει ἤλπισεν ἰωνᾶς, καὶ τὸν μέγαν
ὀφθαλμὸν τοῦ θεοῦ διαλήσεσθαι τῇ φυγῇ, μὴ καὶ
παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον, καὶ οὐχ ὅ-
πως περὶ προφήτου πιστεύεσθαι δίκαιον, ἀλλ᾽ οὐ-
δὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων, καὶ με-
τρίως αἰσθανομένων θεοῦ, καὶ τῆς ὑπὲρ πάντα
δυνάμεως. ἀλλ᾽ ᾔδει μὲν τοῦτο παντὸς μᾶλλον ὁ
ἰωνᾶς, φησὶν ὁ τὸν λόγον εἰπών. καὶ ἐγὼ πείθο-
μαι. εἰς ὅτι ἔφθειρεν τοῖς νινευΐταις τὸ κήρυγμα,
καὶ ὅτι τὸν δρασκασμὸν βουλεύων, τόπον μὲν ἤμειβεν,
θεὸν δὲ οὐκ ἔφευγεν, οὐδὲ γὰρ ἄλλος τις ἀνθρώ
πων, οὐ γῆς ἑαυτὸν κατακρύψας κόλποις, οὐ
θαλάσσης βάθεσιν, οὐ πτεροῖς κουφισθεὶς, εἴ τις
ἐπίνοια, καὶ ἀναδραμὼν εἰς ἀέρα, οὐχ ᾅδου τοῖς κα
τωτάτω προσομιλήσας, οὐ νέφους παχύτητα
περιβαλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν
εἰς ἀσφάλειαν τοῦ δρασκασμοῦ βουλευσάμενος. ἀλ
λὰ τοῦτο μόνον τῶν πάντων ἀφυκτότατόν τε
καὶ ἀμαχώτατον, θεὸς, κατασχεῖν καὶ ὑπὸ χεῖ-
ρα λαβεῖν θελήσας, φθάνει τοὺς ταχεῖς, σφάλ-
λει τοὺς συνετούς, περιτρέπει τοὺς ἰσχυρούς, συ-

στέλλει τοὺς

ς ἀλλὰ τοῦ ὑψηλοῦ, ἢ μέτρου θράσος, ὑπερέξει δύναμιν. οὐ τοίνυν ἠγνόει τοῦ θεοῦ τὴν κραταιὰν χεῖρα ὁ τοῖς ἄλλοις ταύτην ἀπειλῶν Ἰωνᾶς, οὐδὲ, ὡς φευξόμενος εἰς ἅπαν διενοεῖτο τὸ θεῖον. μὴ οὕτω πιστεύσωμεν. ἀλλ᾽ ἐπειδὴ τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραὴλ, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ᾐσθάνετο, διὰ τοῦτο ὑποχωρεῖ τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα, καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς, τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη δύναται, τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς λύπης ἑαυτὸν ἔρριψεν πέλαγος. καὶ διὰ τοῦτο χειμάζεται, καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ ὁμολογεῖ τὴν φυγὴν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ. ἀλλ᾽ ἐκεῖ τὸν θεὸν ἐπικαλεῖται, καὶ τὸ θαῦμα, Χριστῷ τριήμερος συνεκδίδοται. Ἀλλ᾽ ὁ μὲν περὶ τούτου λόγος, ἀναμεινάτω, μικρὸν ὕστερον, ἂν διδῷ θεὸς, φιλοπονώτερον ἐξεργασθησόμενος. νῦν δὲ, ὅ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί μοι καὶ ὑπολαμβάνειν. ὅτι ἐκείνῳ μὲν, τάχα τι καὶ συγγνώμης ἦν, δι᾽ ἣν εἶπον αἰτίαν ὀκνοῦντι τὴν προφητείαν. ἐμοὶ δὲ, τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας ὑπελείπετο τόπος ἔτι πλέον ἀφηνιάζοντι, καὶ τὸν, οὐκ οἶδ᾽ εἴτ᾽ ἐλαφρὸν,

εἴτε βαρὺ εἰπεῖν χρή, ἀλλὰ τόν γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ; εἰ γὰρ οὐ μόνον ἐν τούτοις ἰσχυρόν ἐστιν εἰπεῖν, ὅτι οὐ δοίη τις, ὅτι πολλῷ κατωτέρω κείμεθα τοῦ ἱερατεύειν θεῷ, καὶ ὅτι τῆς ἐκκλησίας ἄξιον εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος, καὶ τούτου πρῶτον, εἶτα τῆς προεδρίας, τάχα ἕτερος ἡμᾶς οὐκ ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος.

Δεινὴ δὲ ἀπειθείας ἀπειλή, καὶ δεινὰ ταύτης τὰ ἐπιτίμια. ὥσπερ γε καὶ τῆς ἑτέρας μερίδος, μηδὲν ὀκνεῖν μηδὲ ἀναδύεσθαι, μηδὲ ὥσπερ ὁ σαοὺλ ἐκεῖνος τοῖς σκεύεσιν ὑποκρύπτεσθαι τοῖς πνευματικοῖς κἂν πρὸς ὀλίγον καλούμενος εὐθὺ προστασίαν. ἀλλ' ὡς ἐπί τι πρᾶγμα κοῦφον καὶ ῥᾷστον χωρεῖν ἑτοίμως. οὐ μηδὲ μεταθέσθαι ἀσφαλές, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι τὴν προλαβοῦσαν. διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱστάμενος, τοῦτε κατασπῶντος καὶ τοῦ ἀνάγοντος, καὶ ἐπὶ πλεῖστον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν ταλαντεύσας, ἢ ὥσπερ ῥεῦμα ἀστάτοις πνεύμασι, τῇδε κἀκεῖσε μετακλιθείς, τέλος, ἐνδόμην τοῦ σφοδροτέρου, καί με νικήσας ἔχει παρασύρας ὁ φόβος τῆς ἀπειθείας. καὶ σκοπεῖτε, ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης

νης ἐφίεσθαι προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην. τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα. καὶ μέσος εἰμί τις, τῶν τε ἄγαν τολμηρῶν, καὶ τῶν λίαν δειλῶν. τῶν μὲν πάσαις ἐπιπηδώντων δειλότερος, τῶν δὲ φευγόντων πάσας θαρσαλεώτερος. οὕτως ἐγὼ περὶ τούτων γινώσκω, καὶ ἔτι διελέσθαι σαφέστερον. τῷ μὲν φόβῳ τῆς προστασίας, τάχα ἂν βοηθήσειεν καὶ ὁ νόμος τῆς εὐπειθείας, τοῦ θεοῦ τὴν πίστιν ἀμειβομένου διὰ τῆς ἑαυτοῦ χρηστότητος, καὶ εἰς προστάτην τέλειον καταρτίζοντος τὸν αὐτῷ θαῤῥήσαντα, καὶ πάσας θέμενον ἐπ' αὐτὸν τὰς ἐλπίδας. τῷ δὲ κινδύνῳ τῆς ἀπειθείας οὐκ οἶδα τίς ἔσται ὁ βοηθῶν, ἢ τίς ὁ θαῤῥεῖν διακελευόμενος νόμος. φόβος γὰρ, μὴ περί γε ἀκούσωμεν περὶ ὧν ἐπιστεύθημεν,
» ὅτι τὰς ψυχὰς αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν
» ἐκζητήσω. καὶ καθὼς ἀπώσασθέ με τοῦ εἶναι
» εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω
» κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασι-
» λέα. καὶ καθὼς οὐκ εἰσηκούσατε τῆς φωνῆς μου.
» ἀλλ' ἐδώκατε νῶτον σκληρὸν καὶ ἠπειθήσατε,
» οὕτως ἔσται, ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ
» ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν, οὐδ' εἰ-
» σακούσομαι. ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνάς. ὧ κἂν

τὸν ἔλεον ᾄδομεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδομεν. ἀλλὰ γὰρ πάλιν εὐθὺ τὴν ἱστορίαν φέρομαι. καὶ τῶν παλαιῶν τοὺς εὐδοκιμωτάτους ἀνασκοπῶν, εὑρίσκω ὅσους πώποτε εἰς ἐπιστασίαν ἢ προφητείαν ἡ χάρις προὐβάλετο, τοὺς μὲν εἴξαντας προθύμως τῇ κλήσει, τοὺς δὲ ἀναβαλλομένους τὸ χάρισμα. καὶ οὐδετέρων μεμπτὴν, οὔτε τῶν ὑποχωρησάντων τὴν δειλίαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν. οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος εὐλαβήθησαν, οἱ δὲ τῷ καλοῦντι πιστεύσαντες ἠκολούθησαν. πρόθυμος ἦν ἀαρὼν, ἀλλὰ μωσῆς ἀπεμάχετο. ὑπήκουσεν ἡσαΐας ἑτοίμως, ἀλλ᾽ ἐδεδοίκει τὸ νέον ἱερεμίας. καὶ οὐ πρότερον τὴν προφητείαν ἐθάῤῥησεν, ἢ παρὰ θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας κρείττονα. τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς, καί μοι κατὰ μικρὸν εἴκει τε καὶ μαλάσσεται ὥσπερ σίδηρος ἡ ψυχὴ, καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν, τὸν χρόνον, καὶ συμβουλίαν, τὰ τοῦ θεοῦ δικαιώματα, οἷς πᾶσαν τὴν ἐμαυτοῦ ζωὴν κατεπίστευσα. διὰ τοῦτο οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω, φησὶν ὁ ἐμὸς δεσπότης. οὐκ εὐθὺ προστασίαν καλούμενος, ἀλλ᾽ ὡς πρόβατον εὐθὺ σφαγὴν ἀγόμενος. ἀλλὰ καὶ προσπίπτω καὶ ταπεινοῦμαι ὑπὸ τὴν κραταιὰν τοῦ θεοῦ χεῖρα, καὶ

συγγνώμην

συγγνώμην αἰτοῦμαι τῆς πρὶν ἀργίας καὶ ἀπειθείας, εἴ τι μοι τοῦτο ἔγκλημα. ἐσιώπησα μὲν, ἀλλ' οὐκ ἀεὶ σιωπήσομαι. ὑπεχώρησα μέν τι μικρὸν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι, καὶ τῇ λύπῃ δοῦναι παράκλησιν. ἀλλὰ νῦν, ὑψοῦν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν ἐδεξάμην. εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης ἄξια. τί δεῖ μακροτέρων ἡμῖν τῶν λόγων; ἔχετε ἡμᾶς ὦ ποιμένες καὶ συμποίμενες· ἔχετε, ὦ ποίμνιον ἱερὸν καὶ Χριστοῦ τοῦ ἀρχιποίμενος ἄξιον. ἔχεις ὦ πάτερ εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριστοῦ νόμους πλέον, ἢ τοὺς ἔξωθεν ὑπεξούσιον. ἔχεις τὴν εὐπείθειαν, ἀπόδος τὴν εὐλογίαν. χειραγώγησον καὶ σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι στήριξον. εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων. καὶ στηριχθείη μὲν ἐγώ τε καὶ ὁ πνευματικὸς οἶκος οὗτος, ὃν ἠρετισάμην. ὃν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς αἰῶνα αἰῶνος εὔχομαι, ἀπὸ τῆς ἐντεῦθεν ἐκκλησίας ἐπὶ τὴν ἐκεῖσε παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. ἡ μὲν δὴ πρεσβεία τοσαύτη, καὶ οὕτως εὔλογος. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις, ὁ καθίζων βασιλεῖς ἐπὶ θρόνων καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν

πένητα, ὁ ἐκλεξάμενος Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐλάχιστον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ καὶ νεώτατον, ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ πρὸς τὴν τοῦ εὐαγγελίου τελείωσιν, αὐτὸς κρατήσειε τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν τῇ βουλῇ ὁδηγήσειε, καὶ μετὰ δόξης προσλάβοιτο, ποιμαίνων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας. ὡς ἂν ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ μετ᾽ ἐπιστήμης, ἀλλὰ μὴ ἐν σκεύεσι ποιμένος ἀπείρου. τὸ μὲν ἐν εὐλογίᾳ, τὸ δὲ ἐν κατάρᾳ τοῖς πάλαι κείμενον. αὐτὸς δοίη δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, καὶ παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην, καὶ ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι. ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν ποίμνη τε ὁμοῦ καὶ ποιμένες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ᾽ οὗ πρέπει τῷ πατρὶ τιμὴ καὶ κράτος ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΟΥ ΤΟΥ Θεολόγου περὶ δόγματος, ἤτοι θεολογίας λόγος πρῶτος.

Ὅταν ἴδω τὴν νῦν γλωσσαλγίαν, καὶ τοὺς αὐθημερινοὺς σοφούς, καὶ τοὺς χειροτονητοὺς θεολόγους, οἷς ἀρκεῖ τὸ θελῆσαι μόνον, πρὸς τὸ εἶναι σοφοῖς, ποθῶ τὴν ἀνωτάτω φιλοσοφίαν, καὶ σταθμὸν ἔσχατον ἐπιζητῶ κατὰ τὸν ἱερεμίαν, καὶ ἐμαυτῷ μόνῳ συγγενέσθαι βούλομαι. οὐδὲν γάρ μοι δοκεῖ τοιοῦτο, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἀεὶ τὰς θείας ἐμφάσεις καθαρὰς ἐν ἑαυτῷ φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, οἷον ἔσοπτρον ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων καὶ ὄν, καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον, μέχρις ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, καὶ τύχωμεν τοῦ μακαρίου τέλους, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ. ὡς μόλις ἄν τις ἑαυτὸν ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀποῤῥηγνὺς κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ φωτοειδές,

τοῦ ταπεινοῦ καὶ σκότῳ συνεζευγμένου, ἢ θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κάτω ῥεπούσης ὕλης ἐπικρατήσειεν. πρὶν δὲ ταύτης ὑπερσχεῖν ὅση δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τά τε ὦτα καὶ τὴν διάνοιαν, ἢ ψυχῆς ἐπιστασίαν δέξασθαι, ἢ θεολογίᾳ προσβαλεῖν οὐκ ἀσφαλὲς εἶναι γινώσκω. καὶ ὅθεν εἰς τοσοῦτον ὑπήχθην τὸ δέος, ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολάβητε, ἀλλὰ καὶ ἐπαινῆτε τῆς προμηθείας.

ἀκούω μὲν αὐτοῦ μωϋσέως ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ θεὸς, ὅτι πολλῶν εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ ἀαρὼν σὺν τοῖς παισὶν αὐτοῦ τοῖς δύο τοῖς ἱερεῦσιν, οἱ μὲν λοιποὶ πάντες προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ μωϋσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαός. καὶ μικρὸν πρὸ τούτων, τοὺς μὲν ἄλλους ἀστραπαὶ καὶ βρονταὶ, καὶ σάλπιγγες, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, καὶ τοιαῦτα δείματα ἵστη κάτω, καὶ μέγα ἦν αὐτοῖς ἀκοῦσαι τῆς τοῦ θεοῦ φωνῆς μόνον, καὶ ταῦτα ἁγνισαμένοις. μωϋσῆς δὲ καὶ ἄνεισι, καὶ τῆς νεφέλης ἴσω χωρεῖ, καὶ θεῷ συγγίνεται, καὶ δέχεται νόμον. τοῖς μὲν πολλοῖς τὸν τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς, τὸν τοῦ πνεύματος. γινώσκω δὲ ἠλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον ὀζὰν τι

να, τὸν μὲν καὶ ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην, ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτοῦ τὴν ἀσέβειαν, ἀλλὰ παρὰ πολλάκις ἐπιτιμήσαντα. τὸν δὲ, ὅτι τῆς κιβωτοῦ ψαῦσαι τολμήσας μόνον περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο. φυλάσσοντος δηλαδὴ τοῦ θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. οἶδα δ᾽ ἐγὼ μηδὲ τῶν τοίχων τοῦ ἱεροῦ ψαῦσαι τοῖς ἄλλοις ὂν ἀσφαλές. καὶ διὰ τοῦτο ἑτέρων ἐδεήθησαν τοίχων τῶν ἔξωθεν. μηδὲ τὰς θυσίας αὐτὰς ὑφ᾽ ὧν καὶ ὅτι καὶ οὐ μὴ καθῆκον ἦν ἀναλίσκεσθαι. τοσούτου δεῖν πρὸς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾶν θαρροῦντα ἢ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.

Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου θεοῦ καὶ θύματος, καὶ ἀρχιερέως, ὃς μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ θεῷ θυσίαν ζῶσαν, μᾶλλον δὲ ναὸς ἅγιος ἐγένετο θεοῦ ζῶντος καὶ ζῶν, πῶς ἢ αὐτὸς προχείρως ἐγχειρήσαιμι τοῖς περὶ θεοῦ λόγοις, ἢ ἀποδέξομαι τὸν ἐγχειροῦντα θρασέως; οὐκ ἐπαινετὸς ὁ πόθος. φοβερὸν τὸ ἐγχείρημα. καὶ διὰ τοῦτο καθαρτέον ἑαυτὸν πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον. ἵνα μὴ μέλλοιμεν τὸ τοῦ μανωὲ πείσεσθαι καὶ

λέξιν ἐν φαντασίᾳ θεοῦ γινόμενοι. ἀπολώλαμεν ὦ γύναι, θεὸν ἑωράκαμεν. ἢ ὡς πέτρος ἀποπέμψασθαι τοῦ πλοίου τὸν ἰησοῦν. ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας, ἢ ὡς ὁ ἑκατόνταρχος ἐκεῖνος, τὴν μὲν θεραπείαν ἀπαιτήσειν, τὸν θεραπευτὴν δὲ οὐκ ἐκδέξασθαι. λεγέτω τις καὶ ἡμῶν, ἕως ἐστὶν ἑκατόνταρχος, καὶ πλειόνων ἐν κακίᾳ κρατῶν, καὶ ἔτι στρατευόμενος καίσαρι τῷ κοσμοκράτορι τῶν κάτω συρομένων, οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὅταν δὲ ἰησοῦν θεάσωμαι, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν ὡς ὁ ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομωραίαν ἀρθῶ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ μωραίας τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ ἰησοῦν ἐκδέξομαι, καὶ ἀκούσομαι, σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ, καὶ τῆς σωτηρίας τεύξομαι, καὶ φιλοσοφήσω τὰ τελεώτερα, σκορπίζων καλῶς ἃ κακῶς συνήγαγον, εἴτε χρήματα, εἴτε δόγματα. ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον, φέρε τι καὶ περὶ θεοῦ ὡς ἐν βραχεῖ διαλεχθῶμεν. αὐτῷ τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι θαῤῥήσαντες, περὶ ὧν ὁ λόγος. εὔχομαι δὲ τὸ τοῦ σολομῶντος παθεῖν, μηδὲν ἴδιον ἐννοῆσαι περὶ θεοῦ, μηδὲ φθέγξασθαι. ὅταν γὰρ λέγῃ, ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνη-

σις ἀνθρώπου οὐκ ἔστιν ἐν ἐμοί, οὐκ ἀσυνεσίαν ἑαυτοῦ δή που καταγινώσκων, ἐκεῖνος φησί. πῶς γοῦν, ὅς γε καὶ ἐκεῖνο ᾔτησε παρὰ θεοῦ πρὸ παντὸς ἄλλου, καὶ ἔλαβε σοφίαν, καὶ θεωρίαν, καὶ πλάτος καρδίας ψάμμου πλουσιώτερόν τε καὶ δαψιλέστερον; καὶ ὁ τοσοῦτον σοφὸς, καὶ τοιαύτης τετυχηκὼς δωρεᾶς, πῶς ἀφρονέστατον ἑαυτὸν πάντων ὀνομάζει, ὡς οὐκ ἔχων ἰδίαν δηλαδὴ φρόνησιν, ἐνεργούμενος δὲ τὴν θείαν τε καὶ τελεωτέραν; καὶ γὰρ ὁ παῦλος λέγων, ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ χριστὸς, οὐχ ὡς περὶ νεκροῦ πάντως ἑαυτοῦ διελέγετο, ἀλλ' ὡς ζῶντος κρείσσονα τῶν πολλῶν ζωήν. τῷ μετειληφέναι τῆς ὄντως ζωῆς, καὶ μηδενὶ θανάτῳ περατουμένης.

προσκυνοῦμεν οὖν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. καὶ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν σαβελλίου νόσον νοσήσωμεν. οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ ἀρείου μανῶμεν. τί γὰρ δεῖ καθάπερ φυτὸν ἑτεροκλινὲς πάντῃ καμπτόμενον βίᾳ μετάγειν ἐπὶ τὸ ἕτερον μέρος διαστροφῇ τὴν διαστροφὴν διορθουμένους, ἀλλὰ μὴ πρὸς τὸ μέσον εὐθύνοντας, ἐν ὅροις ἵστασθαι τῆς θεοσεβείας; μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην.

καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν. ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθεΐας, ψιλὰ ἡμῖν καταλιπεῖν τὰ ὀνόματα, τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ὑπολαμβάνουσι, καὶ μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένοις. φεύγοι γὰρ ἂν εἶναι ἅπερ ἐστὶν, εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα. μήτε εἰς τρεῖς ἢ ξένας καὶ ἀνομοίους οὐσίας καὶ ἀπερρηγμένας διαιρεθέντα, κατὰ τὴν ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν. ἢ ἀνάρχους καὶ ἀτάκτους, καὶ οἷον εἰπεῖν, ἀντιθέους. τῷ μὲν εἰς ἰουδαϊκὴν σμικρολογίαν κατακλεισθεῖναι, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας. τῷ δὲ εἰς ἐναντίον μὲν, κακὸν δὲ ἴσον πεσεῖν, τρεῖς ἀρχὰς ὑποτιθεμένους, καὶ τρεῖς θεοὺς, ὃ τῶν προειρημένων ἀτοπώτερον. δέον μήτε οὕτως εἶναι τινὰς φιλοπάτορας, ὡς καὶ τὸ εἶναι πατέρα περιαιρεῖν. τίνος γὰρ ἂν καὶ εἴη πατὴρ, τοῦ υἱοῦ τὴν φύσιν ἀπεξενωμένου καὶ ἀπηλλοτριωμένου μετὰ τῆς κτίσεως; μήθ' οὕτω φιλοχρίστους, ὡς μήτε τοῦτο φυλάττειν, τὸ εἶναι υἱόν. τίνος γὰρ ἂν καὶ εἴη υἱὸς, μὴ πρὸς αἴτιον ἀναφερόμενος τὸν πατέρα; μήτε τῷ πατρὶ τὸ τῆς ἀρχῆς κατασμικρύνειν ἀξίωμα τῆς ὡς πατρὶ καὶ γεννήτορι. μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μὴ θεό-

τητος ὢν αἴτιος τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης. ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, εἴτ' οὖν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. τηροῖτο δ' ἂν, ὡς ὁ ἐμὸς λόγος, εἷς μὲν θεὸς, εἰς ἓν αἴτιον καὶ υἱοῦ καὶ πνεύματος ἀναφερομένων. οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων. καὶ κατὰ τὸ ἓν καὶ ταυτὸν τῆς θεότητος, ἵνα οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα, καὶ τὴν τῆς οὐσίας ταυτότητα. αἱ δὲ τρεῖς ὑποστάσεις μηδεμιᾶς ἐπινοουμένης συναλειφῆς, ἢ ἀναλύσεως, ἢ συγχύσεως, ἵνα μὴ τὸ πᾶν καταλυθῇ δι' ὧν τὸ ἓν σεμνύνεται πλέον ἢ καλῶς ἔχει. αἱ δὲ ἰδιότητες πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου, καὶ λεγομένου. ἀρχῆς δὲ, ὡς αἰτίου, καὶ ὡς πηγῆς, καὶ ὡς ἀϊδίου φωτός. υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμῶς. ἀρχῆς δὲ τῶν ὅλων. ἀρχὴν δ' ὅταν εἴπω, μὴ χρόνον παρενθῇς, μηδὲ μέσον τι τάξῃς τοῦ γεγεννηκότος καὶ τοῦ γεννήματος. μηδὲ διέλῃς τὴν φύσιν τῷ κακῶς παρεντιθέναι τι τοῖς συναϊδίοις καὶ συνημμένοις. εἰ γὰρ χρόνος υἱοῦ πρεσβύτερον, ἐκείνου δηλαδὴ πρῶτος ἂν ἦν αἴτιος ὁ πατήρ. καὶ πῶς ποιητὴς χρόνων ὁ ὑπὸ χρόνον; πῶς δὲ καὶ κύριος πάντων, εἰ ὑπὸ χρόνου προείληπταί τε, καὶ κυριεύεται; ἄναρχος οὖν ὁ πατήρ, οὐ γὰρ ἑτέρωθεν αὐτῷ οὐδὲ παρ' ἑαυτοῦ τὸ εἶναι. ὁ δὲ υἱὸς,

ἐὰν μὲν ὡς αἴτιον τὸν πατέρα λαμβάνῃς, οὐκ ἄναρχος. ἀρχὴ γὰρ υἱοῦ πατὴρ, ὡς αἴτιος. ἐὰν δὲ τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος. οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων δεσπότης. εἰ δὲ, ὅτι τὰ σώματα ὑπὸ χρόνον, διὰ τοῦτο ἀξιώσεις κεῖσθαι καὶ τὸν υἱὸν ὑπὸ χρόνον, περιθήσεις καὶ σῶμα τῷ ἀσωμάτῳ. καὶ εἰ ὅτι τὰ παρ' ἡμῖν γεννώμενα, οὐκ ὄντα ἐστὶ, εἶτα γίνεται. διὰ τοῦτο καὶ τὸν υἱὸν ἀναγκάσεις ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρεληλυθέναι. συγκρίνεις τὰ ἀσύγκριτα θεὸν καὶ ἄνθρωπον, σῶμα καὶ τὸ ἀσώματον. οὐκοῦν καὶ πείσεται καὶ λυθήσεται, ὅτι καὶ τὰ ἡμέτερα σώματα. σὺ μὲν οὕτως ἀξιοῖς διὰ τοῦτο οὕτω γεννᾶσθαι θεὸν, διότι τὰ σώματα. ἐγὼ δὲ διὰ τοῦτο οὐχ οὕτως, ὅτι οὕτω τὰ σώματα. ὧν γὰρ τὸ εἶναι οὐχ ὅμοιον, τούτων οὐδὲ τὸ γεννᾶν ὅμοιον. εἰ μὴ καὶ τἄλλα δουλώσῃ ταῖς ὕλαις. οἷον πάσχων καὶ λυπούμενος, καὶ πεινῶν καὶ διψῶν, καὶ ὅσα ἢ σώματος, ἢ τοῦ συναμφοτέρου πάθη. ἀλλὰ ταῦτα οὐ παραδέχεταί σου ὁ νοῦς. περὶ θεοῦ γὰρ ὁ λόγος. μὴ τοίνυν μηδὲ τὴν γέννησιν ἄλλως, ἢ ὡς θεϊκὴν παραδέχου. ἀλλ' εἰ γεγέννηται, πῶς γεγέννηται; φησίν. ἀπόκριναί μοι ὦ διαλεκτικὲ σὺ καὶ ἄφυκτε. εἰ ἔκτισαι, πῶς ἔκτισαι, κἀμὲ ἀπαίτει τὸ, πῶς γεγέννηται. πάθος περὶ τὴν γέννησιν, πάθος καὶ περὶ τὴν κτί-

σιν. ἢ γὰρ οὐ πάθος ἡ ἀνατύπωσις καὶ ἡ φροντὶς,
καὶ ἡ τοῦ νοηθέντος ἀθρόως, εἰς τὸ κατὰ μέρος ἐξά-
πλωσις; χρόνος περὶ τὴν γέννησιν, ἐν χρόνῳ καὶ
τὰ κτιζόμενα. τόπος ἐνταῦθα, τόπος ἐκεῖ. ἀπο-
τυχία περὶ τὴν γέννησιν, ἀποτυχία καὶ περὶ
τὴν κτίσιν. ταῦτα ἤκουσα φιλοσοφούντων
» ὑμῶν. ἃ γὰρ ὁ νοῦς ὑπέγραψε, πολλάκις ταῦτα
» ἡ χεὶρ οὐκ ἐτέλεσεν. ἀλλὰ λόγῳ φησὶ τὸ πᾶν ὑ-
» πέστησε καὶ βουλήματι. αὐτὸς γὰρ εἶπε καὶ ἐγενή-
» θησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ὅταν
εἴπῃς τῷ λόγῳ τοῦ θεοῦ τὰ πάντα ἐκτίσθαι, οὐ
τὴν ἀνθρωπίνην κτίσιν εἰσάγεις. οὐδεὶς γὰρ ἡμῶν
λόγῳ πράττει τὰ γινόμενα. οὐδὲν γοῦν ἂν ἦν ὑψη-
λότερον ἡμῶν, οὐδ' ἀπονώτερον, εἰ τὸ λέγειν, ἔρ-
γου συμπλήρωσις ἦν. ὥστε εἰ καὶ λόγῳ κτίζει
θεὸς τὰ κτιζόμενα, οὐκ ἀνθρώπινον αὐτῷ τὸ κτί-
ζειν. ἢ γὰρ δεῖξον καὶ ἄνθρωπον λόγῳ τι πράττον-
τα, ἢ δέξαι, ὅτι οὐχ ὡς ἄνθρωπος κτίζει θεός. ἐπεὶ
διάγραψον βουλήματι πόλιν, καὶ παραστήτω πό-
λις. θέλησον γενέσθαι σοι υἱὸν, καὶ παραστήτω
παῖς. θέλησον ἄλλό τι τῶν πραττομένων, καὶ εἰς
ἔργον ἡ βούλησις χωρησάτω. εἰ δὲ τούτων οὐδὲν
ἕπεται τῷ βούλεσθαι, θεοῦ δὲ τὸ βούλεσθαι
πρᾶξις ἐστὶν, ἄλλως μὲν ἄνθρωπος κτίζει, ἄλλως
δὲ ὁ πάντων κτίστης θεός. πῶς οὖν κτίζει μὲν οὐκ
ἀνθρωπικῶς, γεννᾷ δὲ ἀναγκάζεται ἀνθρωπι-

κῶς; σὺ μὲν οὐκ ὢν, ἔπειτα ἐγένου, εἶτα γεννᾷς, διὰ τοῦτο οὐκ ὄντα εἰς τὸ εἶναι πράττεις. ἢ, ἵνα τι βαθύτερον εἴπω, τάχα οὐδ' αὐτὸς ἐξ οὐκ ὄντων παράγεις. ἐπεὶ καὶ ὁ Λευΐ φησιν, ἔτι ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, πρὶν εἰς τὸ εἶναι παρελθεῖν, καὶ μηδεὶς ἐπηρεαζέτω τῷ λόγῳ. οὐ γὰρ οὕτως ἐκ τοῦ πατρὸς φημὶ τὸν υἱὸν ὑπάρχειν, ὡς ἐν τῷ πατρὶ πρότερον ὄντα, μετὰ δὲ τοῦτο εἰς τὸ εἶναι ὁδεύσαντα. οὐδὲ γὰρ ἀτελῆ πρότερον, εἶτα τέλειον, ὥσπερ νόμος τῆς ἡμετέρας γεννήσεως. ταῦτα τῶν ἐπηρεαζόντων ἐστίν. ταῦτα τῶν ἐπιπηδώντων προχείρως πᾶσι τοῖς λεγομένοις. ἡμεῖς δὲ οὐχ οὕτω φρονοῦμεν, οὐχ οὕτω δοξάζομεν. ἀλλ' ὁμοῦ τῷ τὸν πατέρα εἶναι ἀγεννήτως. ἀεὶ δὲ ἦν. οὐχ ὑπερπίπτει γὰρ εἰς τὸ μὴ εἶναι ποτὲ ὁ νοῦς. καὶ ὁ υἱὸς ἦν γεννητῶς. ὥστε συντρέχει τὸ εἶναι τοῦ πατρὸς, τῷ γεγεννῆσθαι τοῦ μονογενοῦς. ἐξ αὐτοῦ τε ὑπάρχοντος, καὶ οὐ μετ' αὐτὸν, ἢ ἐπινοίᾳ μόνῃ τῇ τῆς ἀρχῆς. ἀρχῆς δὲ, ὡς αἰτίου. πολλάκις γὰρ τὸν αὐτὸν ἀναστρέφω λόγον, τὸ παχύ σου καὶ ὑλικὸν τῆς διανοίας. εἰ δὲ οὐ πολυπραγμονεῖς τὴν τοῦ υἱοῦ εἴτε γέννησιν χρὴ λέγειν, εἴτε ὑπόστασιν, εἴτε τι ἄλλο κυριώτερον τούτων ἐπινοεῖ τις, νικᾷ γοῦν τὴν ἐμὴν γλῶτταν τὸ νοούμενον καὶ λεγόμενον, μηδὲ τοῦ πνεύματος περιεργάζου τὴν πρόοδον. ἀρκοῦμαι ἀκούειν,

μοι ἀκούειν, ὅτι υἱὸς, καὶ ὅτι ἐκ τοῦ πατρός. καὶ ὅτι ὁ μὲν πατὴρ, ὁ δὲ υἱὸς, καὶ οὐδὲν παρὰ ταῦτα περιεργάζομαι. μὴ ταυτὸ πάθω ταῖς φωναῖς, αἳ τῷ ὑπερφωνεῖσθαι παντελῶς διαπίπτουσιν. ἢ τῇ ὄψει τεινούσῃ πρὸς ἡλιακὴν ἀκτῖνα. ὅσῳ γὰρ ἂν πλεῖον καὶ ἀκριβέστερον ἰδεῖν ἐθέλοι τις, τοσούτῳ τὴν αἴσθησιν παραβλάπτεται. καὶ τὸ ὁπωσοῦν ὁρᾶν ἀποστερεῖται, διὰ τοῦ πλείονος νικῶντος τὴν ὄψιν τοῦ ὁρωμένου, ἐὰν ὅλον ἰδεῖν ἐθελήσῃ, καὶ μὴ ὅσον ὁρᾶν ἀσφαλές. ἀκούεις γέννησιν, τὸ πῶς, μὴ περιεργάζου. ἀκούεις ὅτι τὸ πνεῦμα τὸ προϊὸν ἐκ τοῦ πατρὸς, τὸ ὅπως, μὴ πολυπραγμόνει. εἰ δὲ πολυπραγμονεῖς υἱοῦ γέννησιν, καὶ πνεύματος πρόοδον, κἀγὼ σοῦ πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος, πῶς εἶ χοῦς καὶ εἰκὼν θεοῦ. τί τὸ κινοῦν σε, ἢ τί τὸ κινούμενον. πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται, πῶς ἡ αἴσθησις ἐν τῷ αὐτῷ μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται. πῶς ὁ νοῦς ἐν σοὶ μένει, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ. πῶς λόγῳ νόημα διαδίδοται. καὶ οὔπω τὰ μείζονα λέγω. τίς οὐρανοῦ περιφορὰ, τίς ἀστέρων κίνησις, ἢ τάξις, ἢ μέτρα, ἢ σύνοδος, ἢ ἀπόστασις. τίνες δ᾽ ὅροι θαλάσσης, πόθεν δὲ ἀνέμων ῥεύματα, ἢ ὡρῶν περιτροπαὶ, ἢ ὄμβρων ἐπιχύσεις. εἰ τούτων μηδὲν κατενόησας ὦ ἄνθρωπε, κατανοήσεις δὲ ἴσως ποτὲ, ὅταν ἀπολάβῃς τὸ

τέλειον, ὄψομαι γάρ φησι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, ὡς ὑπονοεῖσθαι τὰ νῦν ὁρώμενα μὴ εἶναι τὴν ἀλήθειαν, ἀλλὰ τῆς ἀληθείας ἰνδάλματα. ἢ σαυτὸν οὐκ ἔγνως, ὅστις εἶ, ὁ περὶ τούτων διαλεγόμενος, ἢ ταῦτα οὐ κατείληφας, ὧν καὶ ἡ αἴσθησις μάρτυς, πῶς θεὸν ἀκριβῶς, ὅ,τι ποτέ καὶ ὅσον ἐστὶν, εἰδέναι ὑπολαμβάνεις; πολλῆς γε τῆς ἀλογίας. ἀλλ᾽ εἴ τι ἐμοὶ πείθῃ, τῷ μὴ θρασεῖ θεολόγῳ, τὸ μὲν κατείληφας, τὸ δὲ καταλαμβάνειν δεήθητι. τὸ μὲν ἀγάπησον ἐν σοὶ μόνον, τὸ δὲ ἐν τοῖς ἄνω θησαυροῖς μενέτω. διὰ πολιτείας ἄνελθε, διὰ καθάρσεως κτῆσαι τὸ καθαρόν. βούλει θεολόγος γενέσθαι ποτὲ καὶ τῆς θεότητος ἄξιος; τὰς ἐντολὰς φύλασσε. διὰ τῶν προσταγμάτων ὅδευσον. πρᾶξις γὰρ, ἐπίβασις θεωρίας. ἐκ τοῦ σώματος τῇ ψυχῇ φιλοπόνησον. ἆρα τίς ἐστιν ἀνθρώπων, ὃς ἀρθῆναι τοσοῦτον δύναται, ὥστε εἰς τὸ παύλου μέτρον ἐλθεῖν; ἀλλ᾽ ὅμως φησὶ βλέπειν δι᾽ ἐσόπτρου καὶ αἰνίγματος, καὶ εἶναι καιρὸν, ὅτε ὄψεται πρόσωπον πρὸς πρόσωπον. ἄλλου μὲν εἶ φιλοσοφώτερος ἐν λόγοις, θεοῦ δὲ πάντως κατώτερος. ἄλλου μὲν τυχὸν συνετώτερος, τῆς δ᾽ ἀληθείας τοσοῦτον λείπῃ, ὅσον τὸ εἶναί σου δεύτερον τοῦ εἶναι θεοῦ. ἔχομεν ἐπαγγελίαν, γνώσεσθαί ποτε ὅσον ἐγνώσμεθα, εἰ μὴ δυνατὸν ἐνταῦθα ἔχειν τελείαν

τὴν τῶν

τὴν τῶν ὄντων γνῶσιν, τί μοι τὸ λειπόμενον; τί τὸ ἐλπιζόμενον; βασιλείαν οὐρανῶν πάντως ἐρεῖς. ἡγοῦμαι δὲ μὴ ἄλλο τι τοῦτο εἶναι, ἢ τὸ τυχεῖν τοῦ καθαρωτάτου τε καὶ τελεωτάτου. τελεώτατον δὲ τῶν ὄντων, γνῶσις θεοῦ. Ἀλλὰ τὸ μὲν κατάσχωμεν, τὸ δὲ καταλάβωμεν, ἕως ἐσμὲν ὑπὲρ γῆς. τὸ δὲ ἐκεῖθεν ταμιευσώμεθα, ἵνα ταύτην σχῶμεν τῆς φιλοσοφίας τὴν ἐπικαρπίαν. ὅλην τῆς ἁγίας τριάδος τὴν

ἔλλαμψιν, ἥτις ἐστὶ, καὶ οἵα, καὶ ὅση, εἰ θέμις
τοῦτο εἰπεῖν, ἐν αὐτῷ χριστῷ τῷ κυρίῳ
ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κρά-
τος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ Θεολόγου, περὶ φιλοπτωχίας.

ἌΝδρες ἀδελφοὶ καὶ συμπένη-
τες, πτωχοὶ γὰρ ἅπαντες, καὶ τῆς
θείας χάριτος ἐπιδεεῖς, κἂν
ἄλλος ἄλλου προέχειν δοκῇ, μι-
κροῖς μέτροις μετρούμενος, δέ-
ξασθε τὸν περὶ φιλοπτωχίας λόγον, μὴ πενι-
χρῶς, ἀλλὰ φιλοτίμως, ἵνα βασιλείαν πλου-
τήσητε. συνεύξασθε δὲ, καὶ ἡμᾶς πλουσίως τοῦ-
τον ὑμῖν χορηγῆσαι, καὶ θρέψαι τῷ λόγῳ τὰς
Isa. 58. ὑμετέρας ψυχὰς, καὶ διαθρύψαι πεινῶσι τὸν
πνευματικὸν ἄρτον. εἴτε ἀπ' οὐρανοῦ τροφὴν
ὕοντας, καθάπερ μωϋσῆς ὁ παλαιὸς ἐκεῖνος,
ps. 77. καὶ ἄρτον ἀγγέλων χαριζομένους, εἴτε ἄρτοις
ὀλίγοις ἐν ἐρημίᾳ τρέφοντας μέχρι κόρου, καὶ
Io. 6. μυριάδας, καθάπερ ἰησοῦς ὕστερον ὁ ἀληθινὸς ἄρ-
τος, καὶ τῆς ἀληθινῆς ζωῆς αἴτιος. ἔστι μὲν οὖν
οὐ πάνυ τι ῥᾴδιον, τὴν ἀρετὴν τὴν νικῶσαν
εὑρεῖν, καὶ ταύτῃ δοῦναι τὰ πρεσβεῖα καὶ τὰ
νικητήρια, ὥσπερ οὐδὲ ἐν λειμῶνι πολυανθεῖ καὶ
εὐώδει, τῶν ἀνθέων τὸ κάλλιστον καὶ εὐωδέστα-
τον, ἄλλοτε ἄλλου τὴν ὄσφρησιν καὶ τὴν ὄψιν
πρὸς ἑαυτὸ μεθέλκοντος, καὶ πρῶτον δρέπε-
σθαι πείθοντος. ὡς δ' οὖν ἐμὲ, περὶ τούτων διε-
λέσθαι,



λέγεσθαι, σκεπτέον οὕτως. Καλὸν πίστις, ἐλπίς, Ad cor. 13.
ἀγάπη, τὰ τρία ταῦτα. καὶ μάρτυς τῆς πί-
στεως ἀβραὰμ δικαιωθεὶς ἐκ πίστεως. τῆς ἐλπί- Gen. 15.
δος, ἐνώς, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τὸν
κύριον καὶ πάντες οἱ δίκαιοι διὰ τὴν ἐλπίδα κα-
κοπαθοῦντες. τῆς ἀγάπης, ὁ θεῖος ἀπόστολος, τολ- Ad Ro. 9.
24: μήσας τι καὶ καθ' ἑαυτοῦ διὰ τὸν ἰσραὴλ φθέγξα-
σθαι. καὶ ὁ θεὸς αὐτὸς ἀγάπη καλούμενος. κα- Io. 4.
λὸν ἡ φιλοξενία. καὶ μάρτυς ἐν μὲν δικαίοις, λὼτ Gen. 19.
ὁ σοδομίτης, καὶ οὐ σοδομίτης τὸν τρόπον. ἐν δὲ
ἁμαρτωλοῖς, ῥαὰβ ἡ πόρνη, καὶ οὐ πόρνη τὴν προαί- Ios. 19. 26.
ρεσιν, διὰ φιλοξενίαν ἐπαινεθεῖσά τε καὶ σωθεῖ-
σα. καλὸν ἡ φιλαδελφία, καὶ μάρτυς ἰησοῦς, οὐκ
ἀδελφὸς ἡμῶν κληθῆναι μόνον, ἀλλὰ καὶ πα-
θεῖν ὑπὲρ ἡμῶν ἀνασχόμενος. καλὸν ἡ φιλαν-
θρωπία, καὶ μάρτυς ὁ αὐτὸς ἰησοῦς, οὐ ποιήσας
μόνον τὸν ἄνθρωπον ἐπ' ἔργοις ἀγαθοῖς, καὶ τὴν εἰκό-
να τῷ χοῒ συζεύξας, ὁδηγὸν τῶν καλλίστων, καὶ
τῶν ἄνω πρόξενον, ἀλλὰ καὶ γενόμενος ὑπὲρ
ἡμῶν ἄνθρωπος. καλὸν ἡ μακροθυμία, καὶ ὁ αὐ-
τὸς μάρτυς, οὐ τὰς λεγεῶνας μόνον τῶν ἀγγέ-
λων παραιτησάμενος κατὰ τῶν ἐπανισταμέ-
νων καὶ τυραννούντων, οὐδὲ τῷ πέτρῳ μόνον ἐπι-
τιμήσας αἰρομένῳ τὴν μάχαιραν, ἀλλὰ καὶ τὸ
ὠτίον ἀποκαταστήσας τῷ πεπληγότι. τὸ δ' αὐτὸ Luc. 23.
καὶ στέφανος ὕστερον ὁ τοῦ χριστοῦ μαθητὴς ὑπὲρ Act. 7.

τὴν λιθαζόντων αὐτὸν προσευχόμενος. καλὸν
Ps. 131. ἡ πραότης, καὶ μαρτυροῦσι μωϋσῆς καὶ δαβίδ,
ταύτῃ πρὸ τῶν ἄλλων μαρτυρηθέντες. καὶ ὁ τού-
των διδάσκαλος οὐκ ἐρίζων οὐδὲ κραυγάζων,
Isa. 55. οὐδὲ ἐν ταῖς πλατείαις φωνὴν προϊέμενος, οὐδὲ
ξυγομαχῶν πρὸς τοὺς ἄγοντας. καλὸν ὁ ζῆλος,
καὶ μαρτυρεῖ φινεὲς τὴν μαδιανῖτιν τῷ ἰσραη-
num. 25. λίτῃ συνεκκεντήσας, ἵνα ἀφέλῃ ὄνειδος ἐξ υἱῶν
ἰσραὴλ, καὶ ὀνομασθεὶς ἐκ τῆς προαιρέσεως. καὶ
Reg. 19. μετ᾽ ἐκεῖνον οἱ λέγοντες, ζηλῶν ἐζήλωκα τῷ θεῷ
κυρίῳ παντοκράτορι. καὶ, ζηλῶ γὰρ ὑμᾶς θεοῦ
Ad cor. 2. 11 ζήλῳ. καὶ, ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί
Ps. 68. με. καὶ οὐ λέγοντες τοῦτο μόνον, ἀλλὰ καὶ πά-
σχοντες. καλὸν ὑποπιασμὸς σώματος, καὶ πειθέ-
ad cor. 2. 1 τω σε παῦλος ἑαυτὸν ἔτι παιδαγωγῶν, καὶ φο-
βῶν διὰ τοῦ ἰσραὴλ τοὺς ἑαυτοῖς θαῤῥοῦντας, καὶ
Matt. 4. ἐφιέντας τῷ σώματι, καὶ ἰησοῦς αὐτὸς νηστεύων
καὶ πειραζόμενος καὶ νικῶν τὸν πειράζοντα.
Matt. 26 καλὸν προσευχὴ καὶ ἀγρυπνία. καὶ πειθέτω
luc. 22. σε ἰησοῦς ἀγρυπνῶν πρὸ τοῦ πάθους καὶ προ-
σευχόμενος. καλὸν ἁγνεία καὶ παρθενία. καὶ
ad cor. 1. 7. πειθέτω σε παῦλος περὶ τούτων νομοθετῶν,
καὶ βραβεύων δικαίως γάμῳ καὶ ἀγαμίᾳ, καὶ
ἰησοῦς αὐτὸς ἐκ παρθένου γεννώμενος, ἵνα καὶ
γέννησιν τιμήσῃ, καὶ προτιμήσῃ παρθενίαν. κα-
Reg. 2. 23 λὸν ἐγκράτεια, καὶ πειθέτω σε δαβὶδ, ἡνίκα τοῦ

ἐν βηθλεὲμ

ἐν βηθλεὲμ ἐκράτησε φρέατος, μὴ πιὼν, ἀλλὰ σπείσας μόνον τοῦ ὕδατος, μὴ δὲ ἀνασχόμενος ἴδιον πληρῶσαι πάθος ἐν ἀλλοτρίῳ αἵματι. καλὸν ἐρημία καὶ ἡσυχία, καὶ διδάσκει με ὁ κάρμηλος ἠλιοῦ, ἡ ἔρημος ἰωάννου, ἰησοῦ τὸ ὄρος, εἰς ὃ πολλάκις ἀναχωρῶν φαίνεται, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγινόμενος. καλὸν ἡ εὐτέλεια, καὶ διδάσκει με ἠλίας ἀναπαυόμενος παρὰ χήρᾳ. ἰωάννης θριξὶ καμήλου σκεπόμενος· πέτρος ἀσσαρίου θέρμοις τρεφόμενος. καλὸν ἡ ταπεινοφροσύνη, καὶ πολλὰ ταύτης, καὶ πολλαχόθεν τὰ ὑποδείγματα. καὶ πρὸ τῶν ἄλλων, ὁ πάντων σωτὴρ καὶ δεσπότης. οὐ ταπεινώσας ἑαυτὸν μόνον μέχρι δούλου μορφῆς, οὐδὲ τὸ πρόσωπον αἰσχύνῃ ὑποθεὶς ἐμπτυσμάτων, καὶ μετὰ ἀνόμων λογισθεὶς, ὁ τὸν κόσμον καθαίρων τῆς ἁμαρτίας, ἀλλὰ καὶ τῶν μαθητῶν νίπτων τοὺς πόδας ἐν δουλικῷ τῷ σχήματι. καλὸν ἡ ἀκτημοσύνη καὶ χρημάτων ὑπεροψία, καὶ μαρτυρεῖ ζακχαῖος, καὶ χριστὸς αὐτός. ὁ μὲν, τῇ εἰσόδῳ χριστοῦ μικροῦ πάντα καρποφορήσας, ὁ δὲ, τῷ πλουσίῳ τὸ τέλειον ἐν τούτῳ περιορίσας. καὶ συντομώτερον ἔτι περὶ τούτων εἰπεῖν, καλὸν θεωρία, καὶ καλὸν πρᾶξις. ἡ μὲν, ἐντεῦθεν ἀπανιστῶσα, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων χωροῦσα, καὶ τὸν νοῦν ἡμῶν πρὸς τὸ συγγενὲς ἐπανάγουσα, ἡ δὲ, χριστὸν

Reg. 3. 19.
Matt. 3. 5.
Reg. 3. 17.
Matt. 3.
Ex hist. clem.
Ad Philipp. 2
Matt. 27.
Jo: 13.
Luc. 19.
Matt. 19.

ὑποδεχομένη καὶ θεραπεύουσα, καὶ τοῖς ἔργοις
τὸ φιλόφρον ἐλέγχουσα. τούτων ἕκαστον μία τις
Io. 4. σωτηρίας ὁδὸς, καὶ πρός τινα τῶν μονῶν πάν-
τως φέρουσα τῶν αἰωνίων καὶ μακαρίων. ἐπει
δὴ ὥσπερ διάφοροι βίων αἱρέσεις, οὕτω καὶ μο-
ναὶ πολλαὶ παρὰ θεῷ κατὰ τὴν ἀξίαν ἑκάστῳ
μεριζόμεναί τε καὶ διαιρούμεναι. καὶ ὁ μὲν τήνδε
κατορθούτω τὴν ἀρετὴν, ὁ δὲ τήνδε, ὁ δὲ πλείους,
ὁ δὲ τὰς πάσας, εἰ οἷόν τε. μόνον ὁδευέτω καὶ ἐ-
φιέσθω τοῦ πρόσω, καὶ κατὰ πόδας ἑπέσθω τῷ
καλῶς ὁδηγοῦντι, καὶ κατευθύνοντι, καὶ διὰ
τῆς στενῆς ὁδοῦ καὶ πύλης ἐπὶ τὸ πλάτος ἄγον-
Matt. 22. τι τῆς ἐκεῖθεν μακαριότητος. εἰ δὲ δεῖ παύ-
λῳ καὶ αὐτῷ χριστῷ πειθόμενον, πρώτην τῶν
Ad Tim. I. ἐντολῶν καὶ μεγίστην, ὡς κεφάλαιον νόμου
καὶ προφητῶν τὴν ἀγάπην ὑπολαμβάνειν, ταύ-
της τὸ κράτιστον εὑρίσκω φιλοπτωχίαν, καὶ τὴν
περὶ τὸ συγγενὲς εὐσπλαγχνίαν τε καὶ συμπά
θειαν. οὐδενὶ γὰρ οὕτω τῶν πάντων, ὡς ἐλέῳ,
ps. 78. θεὸς θεραπεύεται. ὅτι μηδὲ οἰκειότερον ἄλλο οὐ
τοῦ θεῷ, οὗ ἔλεος καὶ ἀλήθεια προπορεύονται,
καὶ ᾧ προσοιστέον τὸν ἔλεον πρὸ τῆς κρίσεως. οὐ
δὲ ἄλλῳ τινὶ μᾶλλον ἢ φιλανθρωπίᾳ τὸ φιλάν-
θρωπον ἀντιδίδοται παρὰ τοῦ δικαίως ἀντιμε-
τροῦντος, καὶ τιθέντος ἐν ζυγῷ καὶ σταθμῷ τὸν
ἔλεον. πᾶσι μὲν δὴ πτωχοῖς ἀνοικτέον τὰ σπλάγ

χνα καὶ τοῖς καθ' ἡντιναοῦν αἰτίαν κακοπαθοῦ-
σι. κατὰ τὴν, χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ
κλαιόντων κελεύουσαν ἐντολήν. καὶ προσενεκτέον Ad Rom. 12.
ἀνθρώπους ὄντας ἀνθρώποις, τὸν ἔρανον τῆς χρηστότη-
τος, εἴτε διὰ χηρείαν χρήζοιεν ταύτης, εἴτε δι' ὀρ-
φανίαν, εἴτε ἀπεξένωσιν πατρίδος, εἴτε ὠμότη-
τα δεσποτῶν, εἴτε ἀρχόντων θράσος, εἴτε φορο-
λόγων ἀπανθρωπίαν, εἴτε λῃστῶν μιαιφονίαν,
εἴτε κλεπτῶν ἀπληστίαν, εἴτε δήμευσιν, εἴτε ναυά-
γιον. πάντες γὰρ ὁμοίως ἐλεεινοὶ, καὶ οὕτω βλέ-
ποντες εἰς τὰς ἡμετέρας χεῖρας, ὡς ἡμεῖς εἰς τὰς
τοῦ θεοῦ, περὶ ὧν ἂν δεώμεθα. καὶ τούτων αὐ-
τῶν οἱ παρ' ἀξίαν κακοπαθοῦντες, τῶν ἐν ἔθει
τοῦ δυστυχεῖν ὄντων ἐλεεινότεροι. ἐξαιρέτως δὲ
τοῖς ἀπὸ τῆς ἱερᾶς νόσου διεφθαρμένοις, καὶ μέ-
χρι σαρκῶν καὶ ὀστέων, καὶ μυελῶν, ὡς ἡ κατά
τινων ἀπειλὴ, βεβρωμένοις καὶ προδεδομένοις
ἀπὸ τοῦ μοχθηροῦ καὶ ταπεινοῦ καὶ ἀπίστου τού-
του σώματος, ᾧ πῶς συνεζύγην, οὐκ οἶδα, καὶ
πῶς εἰκών τέ εἰμι θεοῦ, καὶ τῷ πηλῷ συμφύρο-
μαι. ὃ καὶ εὐεκτοῦν πολεμεῖ, καὶ ἀνιᾷ πολε-
μούμενον. ὃ καὶ ὡς σύνδουλον ἀγαπῶ, καὶ ὡς
ἐχθρὸν ἀποστρέφομαι. ὃ καὶ ὡς δεσμὸν φεύγω,
καὶ ὡς συγκληρονόμον αἰσχύνομαι. τῆξαι φι-
λονεικῶ, καὶ οὐκ ἔχω τίνι συνεργῷ πρὸς τὰ κάλ-
λιστα χρήσομαι, ὡς εἰδὼς εἰς ὃ γέγονα, καὶ ὅτι δεῖ

με πρὸς θεὸν ἀναβιβάσαι διὰ τῶν πράξεων. φεί-
δομαι ὡς συνδούλου, καὶ οὐκ ἔχω πῶς φύγω τὴν
ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ θεοῦ πέσω βαρυνθεὶς
ταῖς πέδαις κατασπώσαις ἢ κατεχούσαις εἰς
ἔδαφος. ἐχθρός ἐστιν εὐμενὴς, καὶ φίλος ἐπίβου-
λος. ὦ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως. ὃ
φοβοῦμαι, περιέπω. καὶ ὃ στέργω, δέδοικα. πρὶν
πολεμῆσαι, καταλλάσσομαι. καὶ πρὶν εἰρη-
νεῦσαι, διΐσταμαι. τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί
τὸ μέγα τοῦτο μυστήριον; ἢ βούλεται μοῖραν ἡ-
μᾶς ὄντας θεοῦ, καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ
διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι,
καταφρονῶμεν τοῦ κτίσαντος ἐν τῇ πρὸς τὸ σῶ-
μα πάλῃ καὶ μάχῃ, πρὸς αὐτὸν ἀεὶ βλέπειν,
καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγω-
γίαν εἶναι τοῦ ἀξιώματος. ἵνα εἰδῶμεν οἱ αὐτοὶ
μέγιστοί τε ὄντες καὶ ταπεινότατοι, ἐπίγειοι καὶ
οὐράνιοι, πρόσκαιροι καὶ ἀθάνατοι, κληρονόμοι
φωτὸς καὶ πυρὸς εἴτ' οὖν σκότους, ὁπότερως
ἂν νεύσωμεν. τοιοῦτον τὸ κρᾶμα ἡμῶν, καὶ διὰ
ταῦτα. ὡς γοῦν ἐμοὶ καταφαίνεται, ἵν' ὅταν
ἐπαιρώμεθα διὰ τὴν εἰκόνα, διὰ τὸν χοῦν συ-
στελλώμεθα. ταῦτα μὲν οὖν ὁ βουλόμενος φι-
λοσοφείτω. καὶ ἡμεῖς γε συμφιλοσοφήσομεν
εὐκαιρότερον. Νῦν δὲ ὅ μοι λέγειν ὁ λόγος ὥρ-
μησε τῶν ἐμῶν περιαλγοῦντι σαρκῶν, καὶ τῆς

ἐμῆς ἀσθενείας ἐν ἀλλοτρίοις πάθεσι, θεραπευτέον ἀδελφοῖς τὸ συγγενὲς καὶ ὁμόδουλον. εἰ γὰρ καὶ ὡς ἐχθροῦ κατηγόρησα διὰ τὸ πάθος, ἀλλὰ καὶ ὡς φίλου περιέχομαι, διὰ τὸν συνδήσαντα. καὶ θεραπευτέον οὐχ ἧττον τὰ τῶν πλησίον, ἢ ἑκάστῳ τὸ ἑαυτοῦ τῶν τε ὑγιαινόντων, καὶ τῶν ὑπὸ τῆς αὐτῆς νόσου δαπανωμένων. πάντες γὰρ ἕν ἐσμεν ἐν κυρίῳ, εἴτε πλούσιος, εἴτε πένης. εἴτε δοῦλος, εἴτε ἐλεύθερος. εἴτε ὑγιαίνων, εἴτε πονήρως ἔχων τοῦ σώματος. καὶ μία κεφαλὴ πάντων, ἐξ οὗ τὰ πάντα, χριστός. καὶ ὅπερ ἐστὶν ἀλλήλοις τὰ μέλη, τοῦτο ἕκαστος ἑκάστῳ, καὶ πᾶσιν ἅπαντες. οὔκουν περιοπτέον, οὐδὲ ἀμελητέον τῶν προεμπεσόντων εἰς τὴν κοινὴν ἀσθένειαν, οὐδὲ ἀγαπητέον μᾶλλον, ὅτι εὖ ἡμῖν ἔχει τὰ σώματα, ἢ πενθητέον, ὅτι ἀθλίως τοῖς ἀδελφοῖς. καὶ ἡγεῖσθαι μίαν ἀσφάλειαν εἶναι τῶν ἡμετέρων σαρκῶν καὶ ψυχῶν τὴν εἰς ἐκείνους φιλανθρωπίαν. σκοπῶμεν δὲ οὕτως. τοῖς μὲν ἄλλοις, οὐ μόνον ἐλεεινὸν τὸ τῆς ἀπορίας, ὃ τάχ' ἂν ἢ χρόνος, ἢ πόνος, ἢ φίλος, ἢ συγγενὴς, ἢ καιροῦ μεταβολὴ λύσειε, τούτοις δὲ, τοῦτο μὲν οὐδενὸς ἧττον, εἰ μὴ καὶ μᾶλλον, ὅσῳ τοῦ πονεῖν καὶ βοηθεῖν ἑαυτοῖς οὐκ ἔχουσιν, ἀλλὰ καὶ τὰ ἀναγκαῖα μετὰ τῶν σαρκῶν ἀφῄρηνται. καὶ μείζων ἀεὶ τῆς ἀσθενείας αὐτοῖς μᾶλλον ὁ φόβος, ἢ ἡ τῆς ὑγείας ἐλ

πίς. ὥστε μικρὸν γοῦν τι βοηθεῖσθαι παρὰ τῆς ἐλπίδος, ἢ μόνον τοῖς ἀτυχοῦσιν ἐστὶ φάρμακον. πρὸς δὲ τῇ πενίᾳ καὶ ἡ νόσος κακὸν δεύτερον, καὶ κακῶν τὸ ἀπευκτότατον καὶ βαρύτατον, καὶ εἰς κατάραν τοῖς πολλοῖς προχειρότατον. καὶ τρίτον, τὸ μὴ προσιτοὺς αὐτοὺς εἶναι, μηδὲ θεατοὺς τοῖς πλείοσιν, ἀλλὰ φευκτοὺς καὶ βδελυκτοὺς, καὶ οἷον ἀποτροπαίους, ὃ καὶ τῆς νόσου τούτοις βαρύτερον. ὅτ' ἂν αἴσθωνται διὰ τὴν συμφορὰν καὶ μισούμενοι. ἐγὼ μὲν οὐδὲ ἀδακρυτὶ φέρω τὸ τούτων πάθος, καὶ τῇ μνήμῃ συγχέομαι. πάσχοιτε δὲ καὶ ὑμεῖς ταυτὸν, ἵνα τοῖς δάκρυσι τὰ δάκρυα φύγητε. καὶ πάσχουσί γε οἶδ' ὅτι τῶν παρόντων, ὅσοι φιλόχριστοι καὶ φιλόπτωχοι, καὶ θεοῦ, καὶ παρὰ θεοῦ τὸ ἐλεεῖν ἔχοντες. μάρτυρες δὲ καὶ ἡμεῖς τοῦ πάθους. πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν, καὶ πᾶσι, πλὴν τῶν εἰδότων, ἄπιστον. ἄνθρωποι νεκροὶ καὶ ζῶντες, ἠκρωτηριασμένοι τοῖς πλείστοις τοῦ σώματος μέρεσι. μήθ' οἵτινές ποτ' ἦσαν, μηδὲ ὅθεν εἰσὶ μικροῦ γνωσκόμενοι. μᾶλλον δὲ τῶν ποτε ἀνθρώπων ἄθλια λείψανα, πατέρας καὶ μητέρας, καὶ ἀδελφοὺς, καὶ τόπους ἑαυτῶν γνωρίσματα λέγοντες. ἐγὼ τοῦ δεῖνος, καὶ ἡ δεῖνά μοι μήτηρ, καὶ τόδε μοι ὄνομα, καὶ σύ μοι φίλος ποτὲ καὶ γνώριμος. καὶ ταῦτα πράττουσιν. οὐ γὰρ ἔ-

χουσι τῷ παλαιῷ χαρακτῆρι γνώσκεσθαι. ἄνθρωποι περικεκομμένοι, καὶ περιῃρημένοι χρήματα, συγγενεῖς, φίλους, αὐτὰ τὰ σώματα. ἄνθρωποι μόνοι τῶν πάντων ἐλεοῦντές τε ἑαυτοὺς, καὶ μισοῦντες ὁμοίως. οὐκ ἔχοντες πότερα μᾶλλον θρηνήσωσι, τὰ μηκέτ' ὄντα τοῦ σώματος, ἢ τὰ μένοντα, ὅσα προανάλωσεν ἡ νόσος, ἢ ὅσα τῇ νόσῳ λείπεται. τὰ μὲν γὰρ ἀνήλωται δυστυχῶς, τὰ δὲ σώζεται δυστυχέστερον. τὰ μὲν οἴχεται πρὸ τῶν τάφων, τὰ δὲ οὐκ ἔστιν ὁ παραδώσων ταφῇ. καὶ γὰρ ὁ λίαν χρηστὸς καὶ φιλάνθρωπος, τούτοις ἐστὶν ἀναλγητότατος. κἀνταῦθα μόνον ἐπιλαθόμεθα σάρκες ὄντες, καὶ τὸ σῶμα τῆς ταπεινώσεως περικείμενοι. καὶ τοσούτῳ ἀποδέομεν θεραπεύειν τὸ συγγενὲς, ὥστε καὶ τὴν ἡμετέρων σωμάτων ἀσφάλειαν τὴν τούτων φυγὴν νομίζομεν. καὶ νεκρῷ μὲν ἤδη προσῆλθέ τις παλαιῷ, καὶ τούτῳ τυχὸν ὀδωδότι, καὶ ζώων ἀλόγων ἤνεγκεν ὀδωδότα σώματα, καὶ βορβόρου πλησθεὶς ἠνέσχετο. τούτους δὲ κατὰ κράτος φεύγομεν. ὢ τῆς ἀπανθρωπίας, ὅτι καὶ τὸν αὐτὸν αὐτοῖς σπῶμεν ἀέρα, μικροῦ δεῖν χαλεπαίνοντες. τί πατρὸς γνησιώτερον, καὶ τί μητρὸς συμπαθέστερον; ἀλλ' ἀπεκλείσθη γε τούτοις καὶ ἡ φύσις. καὶ πατὴρ παῖδα τὸν ἑαυτοῦ, ὃν ἐγέννησεν, ὃν ἀνέθρεψεν, ὃν ὀφθαλμὸν βίου μόνον

ἔχειν ἀπόμοσιν, ὑπὲρ οὗ πολλὰ θεῷ καὶ πολλάκις προσηύξατο, τοῦτον ὀδύρεται μὲν, ἀπελαύνει δέ. τὸ μὲν ἑκὼν, τὸ δὲ τυραννούμενος. καὶ μήτηρ μέμνηται μὲν τῶν ὠδίνων, καὶ τὰ σπλάγχνα σπαράσσεται, καὶ ἀνακαλεῖται λίαν ἐλεεινῶς, καὶ προθεῖσα θρηνεῖ, καθάπερ τεθνηκότα τὸν ζῶντα. τέκνον λέγουσα δυστυχοῦς καὶ ἀθλίας μητρὸς, ὅ μοι συνεμερίσατο πικρῶς ἡ νόσος. τέκνον ἐλεεινὸν, τέκνον οὐ γνωριζόμενον, τέκνον, ὃ κρημνοῖς, καὶ ὄρεσι, καὶ ἐρημίαις ἀνεθρεψάμην. μετὰ θηρίων οἰκήσεις, καὶ σκέπη σοι πέτρα, καὶ τῶν ἀνθρώπων μόνον ὄψονταί σε οἱ εὐσεβέστατοι. καὶ ταῦτα δὴ τὰ τοῦ ἰὼβ ἐλεεινὰ ῥήματα ἐπιφθέγγεται

Job. 3.

ἵνα τί γὰρ ἐπλάσθης ἐν κοιλίᾳ μητρὸς, ἐκ γαστρὸς δὲ ἐξῆλθες, καὶ οὐκ εὐθὺς ἀπώλου, ὡς συνδραμεῖν τῇ γεννήσει τὸν θάνατον; ἵνα τί δὲ οὐκ ἀπῆλθες ἄωρος, πρὶν γεύσασθαι τῶν τοῦ βίου κακῶν; ἵνα τί δέ σοι συνήντησε γόνατα; τί δέ σοι τὸ θηλάσαι μαστοὺς, ἀθλίως ζήσεσθαι μέλλοντι; καὶ ζωὴν θανάτου χαλεπωτέραν; καὶ ταῦτα λέγει, καὶ ἐπαφίησι πηγὰς δακρύων, καὶ περιπτύξασθαι βούλεται μὲν ἡ δυστυχὴς, φοβεῖται δὲ τὰς τοῦ παιδὸς σάρκας, ὡς πολεμίας. πάνδημοι δὲ καταβοήσεις τε καὶ διώξεις, οὐ κατὰ τῶν ἀδικούντων, ἀλλὰ κατὰ τῶν δυστυχούντων γίνονται. καὶ φονέα μὲν ἤδη τις συνῴκισε

τὸ, καὶ μοιχῷ μετέδωκεν, οὐ στέγης μόνον, ἀλλὰ καὶ τραπέζης, καὶ βίου κοινωνὸν τὸν ἱερόσυλον εἵλετο, καὶ τοῖς αὐτὸν τὴν διὰ τεθνηκόσι κακὸν ἐπεσπείσατο, τοῦ δὲ τὸ πάθος ὡς ἔγκλημα μηδὲν λυπήσαντος ἀπεστράφη. καὶ πλέον ἔχει νόσου κακία. καὶ τὸ μὲν ἀπάνθρωπον ὡς ἐλευθέριον ἠσπασάμεθα, τὸ δὲ συμπαθὲς ὡς αἰσχρὸν ἠτιμάσαμεν. ἀπελαύνονται πόλεων, ἀπελαύνονται οἰκιῶν, ἀγορᾶς, συλλόγων, ὁδῶν, πανηγύρεων, συμποσίων, ὢ τοῦ πάθους, αὐτοῦ τοῦ ὕδατος. οὔτε πηγαὶ ῥέουσαι τούτοις κοιναὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους, οὔτε ποταμοὶ πιστεύονται μηδὲν ἐφέλκεσθαι τοῦ μολύσματος. καὶ τὸ παραδοξότατον, οὓς διαιῶσιν, ὡς ἄγη μὲν, ἀπελαύνομεν. ὡς δὲ οὐδὲν λυποῦντας, πάλιν πρὸς ἡμᾶς αὐτοὺς ἐπιστρέφομεν. οὐκ οἴκησιν ἀπονέμοντες, οὐ τὰς ἀναγκαίας τροφὰς, οὐ θεραπείαν τοῖς τραύμασιν, οὐ σκέπη, τὴν νόσον εἰς δύναμιν περιστέλλοντες. διὰ τοῦτο περιπλανῶνται νυκτὸς καὶ ἡμέρας, ἄποροι καὶ γυμνοὶ, καὶ ἀνέστιοι, τὴν νόσον ἐπιδεικνύντες, τὰ ἀρχαῖα ἐκδιηγούμενοι, τὸν πλάστην ἐπιβοώμενοι, χρώμενοι τοῖς ἀλλήλων μέλεσιν ἀντὶ τῶν λειπόντων, σοφισταὶ μελῳδῶν ἑλκόντων ἔλεον, ἄρτου τι μικρὸν αἰτοῦντες, ἢ ὄψου τὸ βραχύτατον, ἢ ῥάκος τι τρύχινον βοήθημα τῆς αἰσχύνης, ἢ παραμυθίαν τοῖς ἕλκε-

σι. καὶ φιλάνθρωπος οὗτος αὐτοῖς, οὐχ ὅς πρὸς τὴν χρείαν ἤρκεσεν, ἀλλ' ὅς τις μὴ πικρῶς ἀπεπέμψατο. οἱ πολλοὶ δὲ αὐτῶν οὐδὲ ὑπ' αἰσχύνης τὰς πανηγύρεις φεύγουσιν, αὐτὸ μὲν οὖν τοὐναντίον, εἰς ταύτας ὠθοῦνται διὰ τὴν χρείαν, ταύτας δὴ λέγω τὰς πανδήμους καὶ ἱερὰς, ἃς ἡμεῖς ἐπὶ θεραπείᾳ τῶν ψυχῶν ἐξεύρομεν, ἢ κατά τι μυστήριον συνιόντες, ἢ τοῖς μάρτυσι τῆς ἀληθείας πανηγυρίζοντες. ἵν' ὧν τὸν ἀγῶνα τιμῶμεν, μιμώμεθα τὴν εὐσέβειαν. καὶ αἰσχύνονται μὲν τοὺς ἀνθρώπους διὰ τὴν συμφορὰν, ὄντες ἄνθρωποι. καὶ βούλοιντ' ἂν ὄρεσιν, ἢ κρημνοῖς, ἢ ὕλαις, ἢ τὸ τελευταῖον νυκτὶ καὶ σκότῳ περικαλύπτεσθαι, ῥιπτοῦνται δὲ ὅμως εἰς μέσον. φόρτος ἐλεεινὸς καὶ δακρύων ἄξιος. τοῦτο μὲν ἴσως καὶ κατὰ λόγον. ἵνα ἡμῖν ὦσι τῆς ἀσθενείας ἡμῶν ὑπομνήματα, καὶ πείθωσι, μηδενὶ τῶν παρόντων καὶ ὁρωμένων ὡς ἑστῶτι προστίθεσθαι. ῥιπτοῦνται δὲ οἱ μὲν ἐπιθυμίᾳ φωνῆς ἀνθρωπίνης, οἱ δὲ προσόψεως, οἱ δὲ, ἵνα βραχέα ζωῆς ἐφόδια παρὰ τῶν τρυφώντων συλλέξωνται. πάντες δὲ, ἵνα τι ῥάους γένωνται, τοὺς ἑαυτῶν θρήνους δημοσιεύσαντες. τίς οὐ κατακλᾶται, τούτων τοῖς ὀδυρμοῖς οἰκτρὰν ξυναυλίαν ἁρμοζομένων; τίς ἀκοὴ φέρει τὸ ἄκουσμα; τίς ὄψις χωρεῖ τὸ θέαμα; οἱ μὲν κεῖνται μετ' ἀλλήλων κακῶς

κῶς ἀπὸ τῆς νόσου συνεζυγμένοι, καὶ ἄλλος ἄλλό τι τῆς συμφορᾶς πρὸς τὸ ἐλεεινὸν ἐρανίζοντες, καὶ ἔστιν ἀλλήλοις προσθήκη τοῦ πάθους, ἐλεεινοὶ τῆς ἀῤῥωστίας, τῆς συμπαθείας ἐλεεινότεροι. περιΐστανται δὲ αὐτοῖς θέατρον συμμιγὲς συναλγούντων μὲν, ἀλλὰ πρόσκαιρα. οἱ δὲ καλινδοῦνται πρὸς ποσὶ τῶν ἀνθρώπων, ἡλίῳ καὶ κόνει, ἔστι δ᾽ ὅτε καὶ κρυμοῖς ἀγρίοις, καὶ ὄμβροις, καὶ ταραχαῖς ἀνέμων ταλαιπωρούμενοι, παρὰ τοσοῦτον καὶ συμπατούμενοι, παρόσον καὶ ψαύειν αὐτῶν βδελυσσόμεθα. ἀντᾴδει δὲ τοῖς ἱεροῖς ἔνδον μέλεσιν ὁ τῶν αἰτήσεων ὀδυρμὸς, καὶ ταῖς μυστικαῖς φωναῖς θρῆνος ἐλεεινὸς ἀντεγείρεται. τί δεῖ πάντων αὐτῶν προτιθέναι τὴν συμφορὰν ἀνθρώποις πανηγυρίζουσιν, ἴσως ἂν καὶ ὑμῖν κινήσαιμι θρῆνον, ἃ πάντα ἐκτραγῳδεῖν ἐπιμελῶς, καὶ νικήσει τὴν ἑορτὴν τὸ πάθος. λέγω γὰρ οὖν ταῦτα, ἐπεὶ μηδέπω δύναμαι πείθειν ὑμᾶς ὡς ἔστι τι καὶ ἡδονῆς λύπη τιμιωτέρα, καὶ κατήφεια πανηγύρεως, καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινούμενον. οὗτοι μὲν οὖν ταῦτα, καὶ πολλῷ γε ὧν εἶπον ἀθλιώτερα οἱ κατὰ θεὸν ἡμῶν ἀδελφοί. κἂν μὴ βούλησθε, οἱ τὴν αὐτὴν ἡμῖν λαχόντες φύσιν, οἱ ἐκ τοῦ αὐτοῦ πηλοῦ διηρτισμένοι, ἐξ οὗ πρῶτον γεγόναμεν. οἱ νεύροις καὶ ὀστέοις ἐνηρμένοι παραπλη

σίως ἡμῖν. οἱ δέρμα καὶ κρέας ἐνδεδυμένοι πᾶ-
Job. 10. σιν ὁμοίως, ὥς που φησὶν ὁ θεῖος ἰὼβ ἐμφιλοσο-
φῶν τοῖς πάθεσι, καὶ διαπτύων ἡμῶν τὸ φαι-
νόμενον. μᾶλλον δὲ, εἰ χρὴ τὸ μεῖζον εἰπεῖν, οἱ τὸ κα-
τ' εἰκόνα καὶ λαχόντες ὁμοίως ἡμῖν, καὶ φυλάσ-
σοντες ἴσως ὑπὲρ ἡμᾶς, εἰ καὶ τὰ σώματα διε-
φθάρησαν. οἱ τὸν αὐτὸν ἐνδεδυμένοι χριστὸν κα-
τὰ τὸν ἔσω ἄνθρωπον, καὶ τὸν αὐτὸν ἡμῖν πιστευ-
θέντες ἀῤῥαβῶνα τοῦ πνεύματος. οἱ τῶν αὐτῶν
ἡμῖν μεταλαχόντες νόμων, λογίων, διαθηκῶν,
συνάξεων, μυστηρίων, ἐλπίδων. ὑπὲρ ὧν χριστὸς
ὁμοίως ἀπέθανεν, ὁ πάντων αἴρων τὴν ἁμαρτίαν
τοῦ κόσμου. οἱ συγκληρονόμοι τῆς ἄνω ζωῆς, κἂν εἰ
παραπολὺ τῆς ἐνταῦθα διήμαρτον. οἱ συνθα-
Ro: πτόμενοι χριστῷ καὶ συνανιστάμενοι. εἴπερ συμ-
πάσχουσιν, ἵνα καὶ συνδοξασθῶσι. τί δὲ ἡμεῖς;
οἱ τὸ μέγα καὶ καινὸν ὄνομα κεκληρωμένοι, τὸ, κα-
λεῖσθαι ἀπὸ χριστοῦ τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱε-
1 Pet. 2. ράτευμα, ὁ περιούσιος λαὸς καὶ ἐξαίρετος, ὁ ζη-
λωτὴς καλῶν ἔργων, καὶ σωτηρίων, οἱ χριστοῦ
μαθηταὶ τοῦ πράου καὶ φιλανθρώπου, καὶ τὰς
ἀσθενείας ἡμῶν βαστάσαντος, τοῦ ταπεινώσαν-
τος ἑαυτὸν μέχρι τοῦ ἡμετέρου φυράματος, τοῦ δι' ἡ-
μᾶς πτωχεύσαντος τὴν σάρκα ταύτην καὶ τὸ
γεῶδες σκῆνος, καὶ ὀδυνηθέντος, καὶ μαλακισθέν-
τος ὑπὲρ ἡμῶν, ἵνα ἡμεῖς πλουτήσωμεν τὴν
θεότητα,

θεότητα, τί οὖν ἡμεῖς, οἱ τοσοῦτον εὐσπλαγχνίας καὶ συμπαθείας λαβόντες ὑπόδειγμα, τί διανοησόμεθα περὶ τούτων; καὶ τί ποιήσομεν; περιοψόμεθα; παραδραμούμεθα; καταλείψομεν ὡς νεκρούς, ὡς βδελυγμένους, ὡς ἑρπετῶν καὶ θηρίων τὰ πονηρότατα; μηδαμῶς ἀδελφοί. οὔτε πρὸς ἡμῶν ταῦτα τῶν Χριστοῦ θρεμμάτων τοῦ ἀγαθοῦ ποιμένος, τοῦ τὸ πλανώμενον ἐπιστρέφοντος, καὶ τὸ ἀπολωλὸς ἐκζητοῦντος, (Ezech. 34.) καὶ τὸ ἀσθενὲς ἐνισχύοντος, οὔτε πρὸς τῆς ἀνθρωπίνης φύσεως, ἣ τὸ συμπαθὲς ἐνομοθέτησεν, ἐκ τῆς ἴσης ἀσθενείας μαθοῦσα τὸ εὐσεβὲς καὶ φιλάνθρωπον. ἀλλ᾽ οἱ μὲν ὕπαιθροι ταλαιπωρήσουσιν, ἡμεῖς δὲ οἰκήσομεν οἰκίας ὑπερλάμπρους, λίθοις παντοίοις διηνθισμένας, καὶ χρυσῷ καὶ ἀργύρῳ καταστραπτούσας, καὶ ψηφίδος λεπτῆς διαθέσει, καὶ ποικιλίᾳ γραφῆς ὀφθαλμῶν ἀπατηλοῖς δελεάσμασι, καὶ τὰς μὲν οἰκήσομεν, τὰς δὲ οἰκοδομήσομεν, καὶ τίσιν; οὐδὲ κληρονόμοις ἴσως ἡμῶν, ἀλλὰ ξένοις καὶ ἀλλοτρίοις, καὶ τούτων ἴσως οὐδὲ τοῖς ἀγαπῶσιν ἡμᾶς, ἀλλὰ τοῖς ἀπεχθεστάτοις καὶ φθονερωτάτοις, ὃ κακῶν ἔσχατον. καὶ οἱ μὲν ῥιγώσουσιν ἐν τρυχίνοις καὶ διεσπασμένοις ῥάκεσι, μᾶλλον δὲ οὐδὲ τούτων τυχὸν εὐπορήσουσιν, ἡμεῖς δὲ θρύψομεν ἡμᾶς αὐτοὺς ἐσθῆτι μαλακῇ καὶ περιρρεού-

σῃ, καὶ τοῖς ἐκ λίνου καὶ σηρῶν ἀβρίοις ὑφάσμασι, καὶ τοῖς μὲν ἀσχημονήσομεν μᾶλλον, ἢ περ ἐμπρέψομεν. οὕτω γὰρ ἐγὼ καλῶ πᾶν τὸ περιττὸν καὶ περίεργον. τὰ δὲ ἔνδον ἡμῖν ἀποκείσεται φροντὶς ἄχρηστος καὶ ἀνόνητος, σητῶν δαπάνη καὶ χρόνου τοῦ τὰ πάντα καταναλίσκοντος, καὶ οἱ μὲν οὐδὲ τῆς ἀναγκαίας τροφῆς εὐπορήσουσιν. ὢ τῆς ἐμῆς τρυφῆς, καὶ τῆς ἐκείνων ταλαιπωρίας. ἀλλὰ κείσονται πρὸ τῶν ἡμετέρων θυρῶν ἐκλυόμενοι καὶ λιμώττοντες, οὐδὲ τὰς πρὸς τὴν αἴτησιν ἀφορμὰς παρὰ τοῦ σώματος ἔχοντες. ἐστερημένοι, φωνῶν μὲν, ὡς τὸ ὀδύρεσθαι, χειρῶν δὲ, ὡς τὸ προτείνειν ἐφ᾽ ἱκεσίᾳ, ποδῶν δὲ, ὡς τὸ προσιέναι τοῖς ἔχουσιν, ἀναπνοῶν δὲ, ὡς εὐτονίαν τῆς θρηνῳδίας. τὸ βαρύτατον τῶν κακῶν κουφότατον κρίνοντες, τοῖς ὀφθαλμοῖς μόνον εὐχαριστοῦντες, ὅτι μὴ τὴν ἑαυτῶν λώβην βλέπουσιν. καὶ οἱ μὲν οὕτως. ὑμεῖς δὲ ἀνακεισόμεθα λαμπροὶ λαμπρῶς ἐπὶ στιβάδος ὑψηλῆς τε καὶ μετεώρου, καὶ τῶν περιττῶν καὶ ἀψαύστων ἐπιβλημάτων, κἂν φωνῆς ἀκούσωμεν τῶν αἰτήσεων δυσχεραίνοντες. δεῖ δὲ ἡμῖν τὸ μὲν ἔδαφος εὐωδεῖν ἄνθεσι πολλάκις, καὶ τῆς ὥρας ἔξω, τὴν δὲ τράπεζαν κατεῤῥαίνεσθαι μύροις, καὶ μύρων τοῖς εὐωδεστάτοις τε καὶ πολυτελεστάτοις, ἵνα καὶ μᾶλλον ἐκθηλυνώμεθα. παῖδας δὲ πα-

ἑστάναι τοὺς μὲν ἐν κόσμῳ καὶ ἐφεξῆς, ἀνέτους
τὰς κόμας καὶ θηλυδρίας, καὶ τὴν κατὰ πρό-
σωπον κουρὰν περιειργασμένους πλεῖον, ἢ ὅσον
συμφέρει. λίχνοις ὀφθαλμοῖς κεκοσμημένους.
τοὺς δὲ τὰς κύλικας ἐπ' ἄκρων δακτύλων ἔχον-
τας ὡς οἷόν τε εὐπρεπέστατά τε ὁμοῦ καὶ ἀσφα-
λέστατα. τοὺς δὲ ὑπὲρ κεφαλῆς ἄνεμον ταῖς
ῥιπίσι σοφιζομένους, καὶ ταῖς ἐκ χειρῶν αὔ-
ραις τὸ πλῆθος τῶν σαρκῶν ἀναψύχοντας.
καὶ τὰ ἐπὶ τούτοις. πλήθειν μὲν κρεῶν τὴν τρά-
πεζαν, πάντων χορηγούντων ἡμῖν τῶν στοιχείων
πλουσίως, ἀέρος, γῆς, ὕδατος, καὶ στενοχωρεῖσθαι
τοῖς μαγείρων καὶ ὀψοποιῶν μαγγανεύμασιν.
ἀγῶνα δὲ εἶναι πᾶσιν, ὅστις ὡς μάλιστα τὴν λί-
χνον ἡμῖν καὶ ἀχάριστον κολακεύσει γαστέρα. τὸ
βαρὺ φορτίον καὶ ἀρχέκακον, τὸ ἀπληστότα-
τον θηρίον καὶ ἀπιστότατον, τὴν καταργουμέ-
νην αὐτίκα σὺν τοῖς καταργουμένοις βρώμασι.
καὶ τοῖς μὲν, πολύτι κόρος καὶ ὕδατος, ἡμῖν δὲ,
καὶ μέχρι μέθης οἱ τοῦ οἴνου κρατῆρες, μᾶλλον
δὲ καὶ ὑπὲρ τὴν μέθην τοῖς γε ἀκολαστοτέροις.
καὶ τὸν μὲν ἀποπεμψόμεθα τῶν οἴνων, τὸν δὲ ἐγ-
κρινοῦμεν ὡς ἀνθοσμίαν. περὶ δὲ τοῦ φιλοσο-
φήσομεν. ζημία δὲ, εἰ μὴ προσέσται τῷ ἐγχω-
ρίῳ καὶ τῶν ὀνομαζομένων ξένων τις, ὥσπερ τύ-
ραννος. δεῖ γὰρ ἡμᾶς ἁβροὺς καὶ τῆς χρείας πε-

ειπλοτέρους ἢ εἶναι, ἢ νομίζεσθαι, ὥσπερ αἰσχυνομένους, εἰ μὴ κακοὶ νομιζοίμεθα, καὶ δοῦλοι γαστρὸς, καὶ τῶν ὑπὸ γαστέρα. τί ταῦτα ὦ φίλοι καὶ ἀδελφοί; τί νοσοῦμεν καὶ αὐτοὶ τὰς ψυχὰς νόσον, πολὺ τῆς τῶν σωμάτων χαλεπωτέραν; ὅσῳ τὴν μὲν ἀκούσιον οἶδα, τὴν δὲ ἐρχομένην ἐκ προαιρέσεως. καὶ τὴν μὲν τῇ ζωῇ ταύτῃ συγκαταλυομένην, τὴν δὲ συναποιοῦσαν ἡμῖν μεθισταμένοις. καὶ τὴν μὲν ἐλεουμένην, τὴν δὲ μισουμένην, τοῖς γε νοῦν ἔχουσι. τί μὴ βοηθοῦμεν τῇ φύσει καιρὸν ἔχοντες; τί μὴ περιστέλλομεν σαρκὸς ὄντες, τῆς σαρκὸς τὴν ταπείνωσιν; τί τρυφῶμεν ἐν τοῖς τῶν ἀδελφῶν δυστυχήμασι; μή μοι γένοιτο μήτε πλουτεῖν, τούτων ἀπορουμένων, μήτε εὐεκτεῖν, εἰ μὴ βοηθείην τοῖς τούτων τραύμασι. μὴ τροφῆς ἱκανῶς ἔχειν, μὴ σκέπης, μὴ ὑπὸ στέγην ἀναπαύεσθαι, εἰ μὴ καὶ ἄρτον ὀρέξαιμι, καὶ μεταδοίην ἐσθῆτος εἰς δύναμιν, καὶ ὑπὸ στέγην ἀναπαύσαιμι. ἀλλ' ἤτοι πάντα ἀποθετέον χριστῷ, ἵνα γνησίως ἀκολουθήσωμεν αὐτῷ τὸν σταυρὸν ἀράμενοι, καὶ ἀναπτῶμεν ὡς κοῦφοι πρὸς τὸν ἄνω κόσμον καὶ εὐσταλεῖς, ὑπὸ μηδενὸς καθελκόμενοι, καὶ κερδήσωμεν ἀντὶ πάντων χριστὸν, διὰ ταπείνωσιν ὑψωθέντες, καὶ διὰ πενίαν πλουτήσαντες. ἢ χριστῷ τὰ ὄντα συμμεριστέον, ἵνα πως καὶ τὸ ἔχειν

διὰ τὸ καλῶς ἔχειν ἀγαθῇ, καὶ τὸ κοινωνεῖν τοῖς
μὴ ἔχουσιν. ἢ δὲ καὶ σπείραιμι ἐμαυτῷ μόνῳ,
σπείραιμι ἄρα, καὶ ἄλλοι φάγοιεν. καὶ ἵνα
» πάλιν εἴπω τὸ τοῦ ἰὼβ, ἀντὶ πυροῦ, ἐξέλθοι μοι Job. 13.
» κνίδη. ἀντὶ δὲ κριθῆς, βάτος. καύσων δὲ ἄνε-
» μος ὑπολάβοι, καὶ ὑφέλοιτο λαῖλαψ τοὺς ἐμοὺς
» πόνους, ἵνα εἰς κενὸν κοπιάσαιμι. ἢ δὲ καὶ ἀπο-
θήκας οἰκοδομήσαιμι ἐκ τῶν μαμωνᾶ θησαυ- Luc. 16.
ρίζων, καὶ μαμωνᾶ ταύτῃ τῇ νυκτὶ τὴν ψυχὴν
ἀπαιτηθείην, λόγον ὑφέξων, ὧν κακῶς ἐθησαύ-
ρισα. Οὐ σωφρονήσομεν; ὀψέ γ' οὖν. οὐ κα-
ταβαλοῦμεν τὴν ἀναλγησίαν; ἵνα μὴ λέγω μι-
κρολογίαν. οὐ τὰ ἀνθρώπινα λογιούμεθα; οὐκ
ἐν τοῖς ἑτέρων κακοῖς τὰ ἡμέτερα εὖ θησόμε-
θα; φύσει μὲν γὰρ οὐδὲν τῶν ἀνθρωπίνων βέ-
βαιον, οὐδὲ ὁμαλὸν, οὐδὲ αὔταρκες, οὐδὲ ἐπὶ τῶν
αὐτῶν ἱστάμενον. ἀλλὰ κύκλος τις τῶν ἡμετέ-
ρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπὶ
μιᾶς ἡμέρας πολλάκις, ἔστι δ' ὅτε καὶ ὥρας, φέ-
ρων μεταβολάς. καὶ αὔραις μᾶλλον ἔστι πιστεῦσαι
οὐχ ἱσταμέναις, καὶ νηὸς ποντοπορούσης ἴχνεσι, καὶ
νυκτὸς ἀπατηλοῖς ὀνείρασιν, ὧν πρὸς ὀλίγον ἡ χά-
ρις, καὶ οἷς κατὰ ψαμμάθων παῖδες γράφουσι
παίζοντες, ἢ ἀνθρώπων εὐημερίᾳ. σώφρονες
δὲ οἱ διὰ τὸ μὴ πιστεύειν τοῖς παροῦσιν, τὸ μέλλον
ἑαυτοῖς θησαυρίζοντες, καὶ διὰ τὸ τῆς ἀνθρωπί-

νης εὐπραγίας ἄστατον καὶ ἀνώμαλον, τὴν οὐ πί-
πτουσαν ἀγαπῶντες χρηστότητα. ἵνα γοῦν ἓν
γέ τι πάντως κερδαίνωσιν. ἢ τὸ μήποτε πρᾶξαι
κακῶς, ἐπεὶ καὶ τοῖς ἐντεῦθεν χρηστοῖς πολλάκις
δεξιοῦται τὸ θεῖον τοὺς εὐσεβεῖς, χρηστότητι τὸ συμ-
παθὲς προκαλούμενον. ἢ τὸ παῤῥησίαν ἔχειν
ἐν ἑαυτοῖς πρὸς θεὸν, ὡς οὐ διὰ κακίαν, ἀλλὰ διά
τινα οἰκονομίαν κακοπαθήσαντες. ἢ τὸ τελευ-
ταῖον, ὡς ὀφειλομένην ἀπαιτεῖν τὴν παρὰ τῶν
εὖ πραττόντων φιλανθρωπίαν, ἣν τοῖς χρήζουσι
προσήνεγκαν δεξιῶς αὐτοὶ πράττοντες.

" Μὴ καυχάσθω φησὶν ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ,
" μὴ δὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, μὴ δὲ ὁ
" δυνατὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, κἂν εἰς τὸ ἄκρον ὦσιν
" ἐληλακότες, ὁ μὲν σοφίας, ὁ δὲ πλουσίας, ὁ δὲ
" δυνάμεως. ἐγὼ δὲ προσθήσω καὶ ἃ τούτοις ἕπε-
ται. μὴ δὲ ὁ περίβλεπτος, ἐν τῇ δόξῃ. μὴ δὲ
ὁ εὐεκτῶν, ἐν τῇ ὑγιείᾳ. μὴ δὲ ὁ καλὸς, ἐν τῇ ὥρᾳ.
μὴ δὲ ὁ νέος, ἐν τῇ νεότητι. μὴ δὲ ἐν ἄλλῳ μηδενὶ
τῶν ἐνταῦθα ἐπαινουμένων, εἰ δεῖ συνελόντα εἰ-
πεῖν, ὁ ἀπὸ τούτου φυσώμενος. ἀλλ' ἢ ἐν τούτῳ
καυχάσθω ὁ καυχώμενος, μόνον ἐν τῷ συνιεῖν
καὶ ἐκζητεῖν τὸν θεὸν, καὶ συναλγεῖν τοῖς πά-
σχουσι, καὶ πρὸς τὸ μέλλον ἑαυτῷ τι χρηστὸν ἀπο-
τίθεσθαι. τὰ μὲν γὰρ ὄντι ῥευστὰ καὶ πρόσκαι-
ρα, καὶ ὥσπερ ἐν παιδιᾷ ψήφων ἄλλοτε εἰς ἄλλους

μεταῤῥεῖ

μεταρριπτούμενα καὶ μετατιθέμενα. καὶ οὐδὲν οὕτω τοῦ κατέχοντος ἴδιον, ὡς ἢ μὴ χρόνῳ παυθῆναι, ἢ φθόνῳ μετατεθῆναι. τὰ δὲ, ἑστῶτα καὶ μένοντα, καὶ οὔποτε ὑποχωροῦντα, οὐδὲ μεταπίπτοντα, οὐδὲ σφάλλοντα τὰς τῶν πεπιστευκότων ἐλπίδας. ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ μηδὲν τῶν ἐνταῦθα ἀγαθῶν εἶναι πιστὸν τοῖς ἀνθρώποις, μηδὲ πολυχρόνιον. ἀλλ' εἴπερ τι ἄλλο, καὶ τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ, καὶ τῇ πάντα νοῦν ὑπερεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι ἡμᾶς ἐν τοῖς ὁρωμένοις, ἄλλοτε ἄλλως μεταβαλλομένοις καὶ μεταβάλλουσι, καὶ ἄνω καὶ κάτω φερομένοις τε καὶ περιφερομένοις, καὶ πρὶν ληφθῆναι, ἀπιοῦσι καὶ φεύγουσιν. ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωρήσαντες, πρὸς τὸ μέλλον μεθορμισώμεθα. τί γὰρ ἂν ἐποιήσαμεν, ἑστῶτος τοῦ εὖ πράττειν ἡμῖν, ὁπότε οὐ μένοντος, τοσοῦτον αὐτῷ προσδεδέμεθα; καὶ οὕτως ἡμᾶς ἡ περὶ τοῦτο ἡδονὴ καὶ ἀπάτη ἔχει δουλώσασα, ὥστε μηδὲν κρεῖττον, μηδὲ ὑψηλότερον τῶν παρόντων διανοεῖσθαι δύνασθαι. καὶ ταῦτα κατ' εἰκόνα θεοῦ γεγονέναι καὶ ἀκούοντας καὶ πιστεύοντας, τὴν ἄνω τε οὖσαν, καὶ πρὸς ἑαυτὴν ἕλκουσαν. τίς σοφὸς καὶ συνήσει ταῦτα; τίς παραδραμεῖται τὰ παρατρέχοντα; τίς προσθήσεται τοῖς ἐπιμένουσι; τίς περὶ τῶν παρόντων, ὡς ἀπιόν-

τῶν διανοηθήσεται; τίς παρὰ τῶν ἐλπιζομένων,
ὡς ἑσταμένων; τίς διαιρήσει τὰ ὄντα καὶ τὰ φαι
νόμενα, καὶ τοῖς μὲν ἕψεται, τῶν δὲ ὑπερόψε-
ται; τίς γραφὴν καὶ ἀλήθειαν; τίς τὴν κάτω
σκηνὴν, καὶ τὴν ἄνω πόλιν; τίς παροικίαν καὶ
κατοικίαν; τίς σκότος ἀπὸ τοῦ φωτός; τίς ἰλὺν
βυθοῦ καὶ ἁγίαν γῆν; τίς σάρκα καὶ πνεῦμα;
τίς θεὸν καὶ κοσμοκράτορα; τίς θανάτου σκιὰν καὶ
ζωὴν τὴν αἰώνιον; τίς τοῖς παροῦσι τὸ μέλλον
ὠνήσεται; τίς τῷ ῥέοντι πλούτῳ, τὸν μὴ λυό
μενον; τίς τοῖς ὁρωμένοις, τὰ μὴ βλεπόμενα;
Μακάριος μὲν οὖν, ὅστις ταῦτα διακρίνων, καὶ
διαιρῶν τῇ τομῇ τοῦ λόγου τῇ διαιρούσῃ τὸ κρεῖτ-
τον ἀπὸ τοῦ χείρονος, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐ-
τοῦ διατίθεται. ὥσπερ φησὶν ὁ θεῖος δαβίδ. καὶ
τὴν κοιλάδα τοῦ κλαυθμῶνος ταύτην φεύγων,
ὁπόση δύναμις, τὰ ἄνω ζητεῖ. καὶ σταυρούμε-
νος κόσμῳ μετὰ χριστοῦ, χριστῷ συνανίσταται, καὶ
χριστῷ συνανέρχεται, τῆς οὐκέτι μεταπιπτού
σης ζωῆς οὐδ᾽ ἀπατηλῆς κληρονόμος. οὗ μη-
Gen. 3. κέτι δάκνων ὄφις ἐπὶ ὁδοῦ, οὐδὲ τηρῶν πτέρ-
ναν καὶ κεφαλὴν τηρούμενος. τοῖς δὲ λοιποῖς
ἡμῖν καλῶς ὁ αὐτὸς ἐμβοᾷ δεῖν, ὥσπερ τις με
γαλοφωνότατος κῆρυξ ἀπὸ ὑψηλοῦ καὶ πανδή-
μου κηρύγματος. βαρυκαρδίους τε ἀποκαλῶν,
psal. 4. καὶ ἀγαπῶντας ψεῦδος. μὴ σφόδρα προσέχεσθαι

τῶν ἐρωμένων, μὴ δ᾽ ἄλλό τι, ἢ κόρον σίτου καὶ
οἴνου τῶν φθειρομένων, πᾶσαν τὴν ἐντεῦθεν εὐ-
δαιμονίαν ὑπολαμβάνειν. καὶ τάχα που τοῦτο
καὶ ὁ μακάριος ἐννοῶν ἀμῶς, καὶ τῶν χαμαὶ
ἐρχομένων καὶ δοκούντων ἀγαθῶν κατεξανιστά-
» μενος. Ἐγγίσατε φησὶν ὄρεσιν αἰωνίοις, ἀνά- Mich. 2.
» στα, καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυ-
» σις. τοῦτο μὲν οὖν ἤδη καὶ τοῖς ῥήμασιν αὐ-
τοῖς μικροῦ σύμφωνον, οἷς ὁ κύριος καὶ σωτὴρ
ἡμῶν διακελεύεται. τί λέγων, ἐγείρεσθε, ἄγω-
μεν ἐντεῦθεν. οὐ γὰρ τότε μαθητὰς μόνον ἐξ ἐ-
κείνου μόνου τοῦ τόπου μετατεθεὶς ὡς ἂν οἰηθείη
τις, ἀλλ᾽ ἀεὶ καὶ πάντας τοὺς ἑαυτοῦ μαθητὰς
ἀπὸ γῆς, καὶ τῆς περὶ γῆν εἰς οὐρανοὺς ἕλκων καὶ τὰ
οὐράνια. τοιγαροῦν ἀκολουθήσωμεν ἤδη τῷ
λόγῳ, ζητήσωμεν τὴν ἐκεῖθεν ἀνάπαυσιν, ῥίψω-
μεν τὴν ἐντεῦθεν περιουσίαν. ὃ καλόν ἐστι ταύ-
της, τοῦτο μόνον κερδαίνωμεν. κτησώμεθα τὰς
ἑαυτῶν ψυχὰς ἐν ἐλεημοσύναις. μεταδῶμεν τῶν
ὄντων τοῖς πένησιν, ἵνα τὰ ἐκεῖθεν πλουτήσω-
μεν. δὸς μερίδα καὶ τῇ ψυχῇ, μὴ τῇ σαρκὶ μό-
νον. δὸς μερίδα καὶ τῷ θεῷ, μὴ τῷ κόσμῳ μό-
νον. ὕφελέ τι τῆς γαστρὸς, τῷ πνεύματί τι καθιέ-
ρωσον. ἅρπασόν τι τοῦ πυρὸς, ἀπόθου μικρὸν
ἀπὸ τῆς κάτω νεμομένης φλογός. ἅρπασον τοῦ
τυράννου, καταπίστευσον τῷ δεσπότῃ. δὸς μερί- Eccl. ii

δὲ τοῖς ἑπτὰ, τῷ βίῳ τούτῳ. καί γε τοῖς ὀκτὼ, τῷ μετὰ τοῦτον ἡμᾶς ἐκδεξομένῳ. δὸς ὀλίγοις, παρ' οὗ τὸ πλεῖον ἔχεις. δὸς καὶ τὸ πᾶν τῷ τὰ πάντα χαρισαμένῳ οὐδέποτε νικήσεις μεγαλοδωρεὰν θεοῦ, κἂν πάντα προῇ τὰ ὄντα, κἂν τοῖς οὖσι σαυτὸν προσθῇς. καὶ τοῦτο γάρ ἐστι λαβεῖν, τὸ τῷ θεῷ δοθῆναι. ὅσον ἂν εἰσενέγκῃς, πλεῖον ἀεὶ τὸ λειπόμενον. καὶ οὐδὲν δώσεις ἴδιον, ὅτι πάντα παρὰ θεοῦ. καὶ ὥσπερ οὐκ ἔστιν ὑπερβῆναι τὴν ἑαυτοῦ σκιὰν ὑποχωροῦσαν καθόσον προΐεμεν, καὶ τὸ ἴσον ἀεὶ προέχουσαν, οὐδ' ὑπὲρ τὴν κεφαλὴν γενέσθαι σώματος μεγέθους ὑπερκειμένην ἀεὶ τοῦ σώματος, οὕτως οὐδ' οἷς δίδομεν, νικῆσαι θεόν. οὐ γὰρ ἔξω τι τῶν αὐτοῦ δίδομεν, οὐδὲ ὑπὲρ τὴν ἐκείνου φιλοτιμίαν. γνῶθι πόθεν σοι τὸ εἶναι, τὸ ἀναπνεῖν, τὸ φρονεῖν αὐτὸ, τὸ μέγιστον. τὸ γινώσκειν θεὸν, βασιλείαν οὐρανῶν ἐλπίζειν, ἀγγέλων ἰσοτιμίαν, δόξης θεωρίαν, νῦν μὲν, τὴν ἐν ἐσόπτροις τε καὶ αἰνίγμασι, τότε δὲ, τὴν τελεωτέραν τε καὶ καθαρωτέραν. υἱὸν γενέσθαι θεοῦ, συγκληρονόμον χριστοῦ, τολμήσας εἴπω, καὶ θεὸν αὐτόν.

Πόθεν σοι ταῦτα πάντα, καὶ παρὰ τίνος; ἢ, ἵνα τὰ μικρὰ λέγω, καὶ τὰ ὁρώμενα; τίς ἔδωκέ σοι κάλλος οὐρανοῦ βλέπειν, ἡλίου δρόμον, σελήνης κύκλον, ἀστέρων πλῆθος, καὶ τὴν ἐν τού-

τοῖς πᾶσιν, ὥσπερ ἐν λύρᾳ, εὐαρμοστίαν καὶ τάξιν
ὡσαύτως ἔχουσαν; ὡρῶν ἀλλαγάς, μεταβολὰς
καιρῶν, ἐνιαυτῶν περιόδους, ἡμέρας καὶ νυκτὸς
ἰσομοιρίαν, γῆς ἐκφύσεις, ἀέρος χύσιν, πλάτη θα-
λάττης λελυμένης καὶ ἱσταμένης, βάθη ποταμῶν,
ἀνέμων ῥεύματα; τίς ὑετούς, γεωργίαν, τροφάς,
τέχνας, οἰκήσεις, νόμους, πολιτείας, βίον ἥ-
μερον, οἰκείωσιν πρὸς τὸ συγγενές; πόθεν σοι τῶν
ζώων τὰ μὲν ἡμέρωται καὶ ὑπέζευκται, τὰ δὲ
τροφῇ παραδέδοται; τίς σε κύριον καὶ βασι-
λέα κατέστησε πάντων τῶν ἐπὶ τῆς γῆς; τίς, ἵνα
μὴ καθ᾽ ἕκαστον λέγω, πάντα, οἷς προέχει τῶν ἄλ-
λων ἄνθρωπος, ἐδωρήσατο; οὐχ οὗτος, ὃς νῦν
πρὸ πάντων καὶ ἀντὶ πάντων αἰτεῖ παρά σου
τὸ φιλάνθρωπον; εἶτα οὐκ αἰσχυνόμεθα, εἰ το-
σαῦτα παρ᾽ αὐτοῦ, τὰ μὲν λαβόντες, τὰ δ᾽ ἐλ-
πίζοντες, μηδὲ ἓν τοῦτο ἀποδώσομεν τῷ θεῷ, τὸ φι-
λάνθρωπον; ἀλλ᾽ ὁ μὲν τῶν θηρίων ἡμᾶς ἐχώρι-
σεν, καὶ λόγῳ μόνους τῶν ἐπὶ γῆς ἐτίμησεν, ἡμεῖς
δὲ ἡμᾶς αὐτοὺς θηριώσομεν; καὶ τοσοῦτον ἀπὸ
τῆς ψυχῆς διεφθάρμεθα, ἢ μεμήναμεν, ἤ, οὐκ
ἔχω τι λέγειν, ὥστε ὁμοῦ τῇ μάζῃ καὶ τοῖς πιτύ-
ροις, ἃ κακῶς ἴσως ἐμπερεισάμεθα, καὶ τὴν φύ-
σιν εἶναι βελτίους αὐτῶν οἰησόμεθα; καὶ ὥσ-
περ ἦν τὸ παλαιόν, ὅσον ἐπὶ τοῖς μύθοις, ὡς
ἀκούομεν, γένος γιγάντων καὶ τῶν λοιπῶν ἀν-

θρώπων, οὕτω καὶ ἡμεῖς τούτοις ἐσώμεθα ὑψη-
λοί τε καὶ ὑπὲρ ἄνθρωπον; οἷον νεβρὼδ ἐκεῖνος
Gen. 13. ἢ τὸ τῶν ἐνὰκ γένος, ἐκθλίβων πάλαι τὸν ἰσραήλ.
ἢ δι' οὓς ὁ κατακλυσμὸς τὴν γῆν ἐκάθηρεν. καὶ
ὁ μὲν οὐκ αἰσχύνεται πατὴρ ἡμῶν καλεῖσθαι,
θεὸς ὢν καὶ δεσπότης, ἡμεῖς δὲ καὶ τὸ συγγε-
νὲς ἀρνησόμεθα; μηδαμῶς ὦ φίλοι καὶ ἀδελ-
φοί. μὴ γινώμεθα κακοὶ τῶν δοθέντων ἡμῖν οἰ-
κονόμοι, ἵνα μὴ ἀκούσωμεν πέτρου λέγοντος,
Pet.. » Αἰσχύνθητε οἱ κατέχοντες τὰ ἀλλότρια, καὶ μι-
» μήσασθε ἰσότητα θεοῦ, καὶ οὐδεὶς ἔσται πένης.
μὴ κάμνωμεν θησαυρίζοντες καὶ φυλάσσον-
τες, ἄλλων πενίᾳ καμνόντων, μὴ ὀνειδίσῃ καὶ ἀ-
πειλήσῃ πικρῶς ἡμῖν, ἔνθεν μὲν, ὁ θεῖος ἀμὼς
Amos 8. » ἐν τούτοις τοῖς ῥήμασιν. ἄγε νῦν οἱ λέγοντες, πό-
» τε διελεύσεται ὁ μὴν, καὶ ἐμπωλήσωμεν, καὶ
» τὰ σάββατα, καὶ ἀνοίξωμεν θησαυρούς. καὶ
τὰ ἑξῆς τούτοις. δι' ὧν τοῖς μέγα καὶ μικρὸν στά-
θμιον κτωμένοις, τὴν τοῦ θεοῦ μῆνιν ἐπανατείνε-
σθαι. ἔνθεν δ' ὁ μακάριος μιχαίας, τάχα μὲν
καὶ αὐτὴν τὴν τρυφὴν ἐπικόπτων, ὡς τοῦ κόρου
τὴν ὕβριν τίκτοντος, καὶ τὸ κατασπαταλᾶν
ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ τοῖς πρώτοις τῶν
μύρων θρύπτεσθαι, μόσχοις τε ἁπαλοῖς ἐκ βου-
κολίων, καὶ ἐρίφοις ἐκ ποιμνίων πιαίνεσθαι,
καὶ πρὸς τὴν φωνὴν τῶν ὀργάνων ἐπικροτεῖν, καὶ

ἔτι μᾶλλον, τὸ οἴεσθαι, στάσιμόν τι τοῦτον εἶναι καὶ μόνιμον. τάχα δ' οὐχ οὕτως ταῦτα δεινὰ νομίζων, ὡς τὸ μηδὲν πάσχειν ἐπὶ τῇ συντριβῇ τοῦ ἰωσὴφ αὐτοὺς τρυφῶντας. τοῦτο γὰρ τῇ τῆς πλησμονῆς κατηγορίᾳ προστίθησιν. ὃ μὴ πάθωμεν ἡμεῖς, μηδὲ τοσοῦτον τρυφήσωμεν, ὥστε καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας καταφρονεῖν τοῦ τοῖς δυσχεραίνοντος, κἂν μὴ παρὰ πόδας, μηδὲ ὁμοῦ τῇ κακίᾳ τὴν ὀργὴν ἐπάγῃ τοῖς ἁμαρτάνουσιν. μιμησώμεθα νόμον θεοῦ τὸν ἀνωτάτω καὶ πρῶτον, ὃς βρέχει μὲν ἐπὶ δικαίους καὶ ἁμαρτωλούς, ἀνατέλλει δὲ πᾶσιν ὁμοίως τὸν ἥλιον. γῆν δὲ χερσαίοις πᾶσιν ἥπλωσεν ἄνετον, καὶ κρήνας, καὶ ποταμούς, καὶ ὕλας. ἀέρα δὲ πτηναῖς φύσεσι, καὶ ὕδωρ ὅσοις ὁ βίος ἔνυδρος. καὶ τὰς πρώτας τοῦ ζῆν ἀφορμὰς ἀφθόνους ἅπασιν ἐχαρίσατο. οὐ δυναστείᾳ κρατουμένας, οὐ νόμῳ περιγραφομένας, οὐχ ὅροις διειργομένας, ἀλλὰ καὶ κοινὰς τὰς αὐτὰς καὶ πλουσίας, καὶ οὐδὲν παρὰ τοῦτο ἐνδεεστέρας προέθηκεν. τό, τε τῆς φύσεως ὁμότιμον ἰσότητι τῆς δωρεᾶς τιμῶν, καὶ δεικνὺς τὸν πλοῦτον τῆς ἑαυτοῦ χρηστότητος. ἄνθρωποι δὲ χρυσὸν καὶ ἄργυρον, καὶ τῆς ἐσθῆτος, ὅση μαλακὴ καὶ ὑπὲρ τὴν χρείαν, καὶ τῶν λίθων τοὺς διαυγεῖς κατορύξαντες. εἴ τέ τι ἄλλο τοιοῦτο, ἃ πολέμου καὶ στάσεων, καὶ τῆς

πρώτης τυραννίδος ἐστὶ γνωρίσματα. ἔπειτα
αἴρουσι τὴν ὀφρὺν ὑπ' ἀνοίας, καὶ τοῖς ἀτυχοῦ-
σι τῶν συγγενῶν τὸν ἔλεον ἀποκλείουσιν, οὐδὲ
τοῖς περιττοῖς εἰς τὰ ἀναγκαῖα βοηθεῖν θέλοντες.
ὢ τῆς ἀπαιδευσίας, ὢ τῆς σκαιότητος. οὐδ' εἰ
μή τι ἄλλο, ἐκεῖνό γε ἐνθυμούμενοι, ὅτι πενία καὶ
πλοῦτος, ἐλευθερία τε, ἣν φαμὲν, καὶ δουλεία,
καὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ὕστερον ἐπεισῆλ-
θεν τῷ γένει τῶν ἀνθρώπων. ὥσπερ ἀῤῥωστήμα-
τά τινα τῇ κακίᾳ συνεισπεσόντα, κἀκείνης ὄν-
Eccl. 15. » τα ἐπινοήματα. ἀπ' ἀρχῆς δέ φησιν, οὐ γέγο-
» νεν οὕτως, ἀλλ' ὁ πλάσας ἀπ' ἀρχῆς τὸν ἄνθρω-
» πον, ἐλεύθερον ἀφῆκε καὶ αὐτεξούσιον, νόμῳ τῷ
» τῆς ἐντολῆς μόνῳ κρατούμενον καὶ πλούσιον ἐν
» παραδείσου τρυφῇ. τοῦτο καὶ τῷ λοιπῷ γέ-
νει τῶν ἀνθρώπων βουληθείς τε καὶ χαρισάμε-
νος δι' ἑνὸς τοῦ πρώτου σπέρματος. ἐλευθερία δὲ
καὶ πλοῦτος, ἡ τῆς ἐντολῆς μόνη τήρησις ἦν.
πενία δὲ ἀληθὴς καὶ δουλεία, ἡ ταύτης παρά-
βασις. ἀφ' οὗ δὲ φθόνοι καὶ ἔριδες, καὶ ἡ δολερὰ
τοῦ ὄφεως τυραννὶς, ἀεὶ τῷ λίχνῳ τῆς ἡδονῆς ὑ-
ποσύρουσα, καὶ ἐπανιστῶσα τοῖς ἀσθενεστέροις τοὺς
θρασυτέρους, ἐῤῥάγη τὸ συγγενὲς εἰς ὀνομάτων
ἀλλοτριότητας. καὶ τὸ τῆς φύσεως εὐγενὲς
πλεονεξία κατέτεμεν, προσλαβοῦσα καὶ νόμον
τῆς δυναστείας ἐπίκουρον. ἀλλὰ σὺ, βλέπε μοι

τὴν

τὴν πρώτην ἰσονομίαν, μὴ τὴν τελευταίαν διαίρεσιν. μὴ τὸν τοῦ κρατήσαντος νόμον, ἀλλὰ τὸν τοῦ κτίσαντος. βοήθησον κατὰ δύναμιν τῇ φύσει, τὴν ἀρχαίαν ἐλευθερίαν τίμησον, αἰδέσθητι σαυτὸν, συγκάλυψον τῷ γένει τὴν ἀτιμίαν, ἐπάρκεσον τῇ νόσῳ, τὴν ἔνδειαν παραμύθησαι. ὁ εὐρωστῶν, ὁ πλουτῶν τὴν τοῦ νοσοῦντος, τὴν τοῦ πενομένου. ὁ μὴ προσπταίσας, τὴν τοῦ πεσόντος καὶ συντριβέντος. ὁ εὐθυμῶν, τὴν τοῦ ἀθυμοῦντος. ὁ τοῖς δεξιοῖς εὐθυνούμενος, τοῦ τοῖς ἀριστεροῖς κάμνοντος. δός τι τῷ θεῷ χαριστήριον, ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ᾽ οὐ τῶν εὖ παθεῖν δεομένων. ὅτι μὴ βλέπεις εἰς ἀλλοτρίας χεῖρας, ἀλλ᾽ εἰς τὰς σὰς ἕτεροι. πλούτησον μὴ περιουσίαν μόνον, ἀλλὰ καὶ εὐσέβειαν. μὴ τὸ χρυσίον μόνον, ἀλλὰ καὶ τὴν ἀρετήν. μᾶλλον δὲ ταύτην μόνην. γενοῦ τοῦ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρηστότερος. γενοῦ τῷ ἀτυχοῦντι θεὸς, τὸν ἔλεον θεοῦ μιμησάμενος. οὐδὲν γὰρ οὕτως, ὡς τὸ εὖ ποιεῖν, ἄνθρωπος ἔχει θεοῦ. κἂν ὁ μὲν μείζω, ὁ δὲ ἐλάττω εὐεργετεῖ, ἑκάτερος οἶμαι κατὰ τὴν ἑαυτοῦ δύναμιν. ὁ μὲν ἐποίησεν, καὶ λύσας συνάγει πάλιν. σὺ δὲ πεσόντα μὴ παρίδῃς. ὁ μὲν ἠλέησεν εἰς τὰ μέγιστα, δοὺς ἐπὶ πᾶσι νόμον, προφήτας, καὶ πρὸ τούτων, τὸν φυσικὸν νόμον ἄγραφον τῶν πραττομένων ἐξέτασιν, ἐλέγξας, νου-

θετήσας, παιδαγωγήσας, τὸ τελευταῖον, λύτρον ἑαυτὸν παραδοὺς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. χαρισάμενος ἀποστόλους, εὐαγγελιστάς, διδασκάλους, ποιμένας, ἰάσεις, τέρατα, ἐπάνοδον πρὸς ζωὴν, θανάτου κατάλυσιν, τρόπαιον κατὰ τοῦ νικήσαντος, διαθήκην τὴν ἐν σκιᾷ, διαθήκην τὴν ἐν ἀληθείᾳ, πνεύματος ἁγίου μερισμοὺς, τὸ τῆς καινῆς σωτηρίας μυστήριον. σὺ δὲ, εἰ μὲν καὶ τὰ μείζω δυνατὸς εἶ, καὶ οἷς εὐεργετεῖται ψυχὴ, πεποίηκε γάρ σε καὶ ταῦτα πλούσιον ὁ θεὸς εἰ θελήσειας, μὴ δὲ ταῦτα εὖ ποιεῖν ἀπόσχῃ τὸν ἐνδεῆ. μᾶλλον δὲ πρῶτα καὶ μάλιστα τῷ αἰτοῦντι σὲ δίδου, καὶ πρὶν αἰτηθῆναι. ὅλην τὴν ἡμέραν ἐλεῶν καὶ δανείζων τὸν λόγον, καὶ ἀπαίτει φιλοπόνως τὸ δάνειον μετὰ τόκου τῆς τοῦ ὠφελημένου προσθήκης, ἣν ἀεὶ τῷ λόγῳ προστίθησιν ὁ νουνεχῶς αὔξων ἐν ἑαυτῷ κατὰ μικρὸν τὰ τῆς εὐσεβείας σπέρματα. εἰ δὲ μὴ, τά γε δεύτερα καὶ μικρότερα, καὶ ὅσα εἰς δύναμιν ἥκει τὴν σήν. ἐπικούρησον, ὄρεξον τροφὴν, ὄρεξον ῥάκος, προσένεγκε φάρμακον, κατάδησον τραύματα, ἐρώτησόν τι περὶ τῆς συμφορᾶς, περὶ καρτερίας φιλοσόφησον, πρόσελθε, θάρσησον. οὐ μὴ χεῖρόν τι σεαυτοῦ παρὰ τούτων γένῃ, οὐ μὴ μεταλάβοις τοῦ πάθους, κἂν οἱ λίαν ἁβροὶ τοῦτο νομίζωσι, λόγοις ματαίοις ἠπατημένοι. μᾶλλον

δὲ ταύτην

δὲ ταύτην προβάλλονται τῆς ἑαυτῶν εἴτ' εὐλα-
βείας, εἴτε ἀσεβείας ἀπολογίαν, ἢ δὲ τὴν δει-
λίαν, ὡς δή τι μέγα καὶ σοφὸν καταφυγόντες.
τοῦτο πειθέτω μέν σε καὶ οἱ λόγοι, καὶ ἰατρῶν
παῖδες, καὶ οἱ σύνοικοι τούτων θεραπευταί. ὧν
οὐδείς πω τοῖς τοιούτοις προσιὼν ἐκινδύνευσεν.
Σὺ τοίνυν, εἰ καὶ τὸ πρᾶγμα φοβερὸν, καὶ ὑπο-
νοίας ἄξιον ὦ δοῦλε χριστοῦ, καὶ φιλόθεε, καὶ φι-
λάνθρωπε μὴ πάθῃς μηδὲν ἀγεννές. τῇ πίστει
θάρσησον. νικησάτω τὴν δειλίαν ὁ οἶκτος. ὁ τοῦ
θεοῦ φόβος, τὴν ἀπατηλότητα. στήτω πρὸ τῶν
φιλοσάρκων λογισμῶν ἡ εὐσέβεια. μὴ παρί-
δῃς, μὴ παραδράμῃς τὸν ἀδελφὸν, μὴ ἀποστραφῇς
ὡς ἄγος, ὡς μίασμα, ὡς ἄλλο τι τῶν φευκτῶν καὶ
ἀπειρημένων. σόν ἐστι μέλος, καὶ εἰ τῇ συμφορᾷ
κέκαμπται. σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς ὡς
θεῷ, καὶ εἰ λίαν παρατρέχῃς μεγαλοψύχως. Dan. 9.
τάχα γάρ σε τούτοις δυσωπήσω τοῖς ῥήμασι. σοὶ
πρόκειται φιλανθρωπίας ὑπόθεσις. καὶ εἰ ἀλ-
λοτριοῖ σε τοῦ εὖ παθεῖν ὁ ἀλλότριος. πᾶς ὁ
πλέων ἐγγύς ἐστι τοῦ ναυαγίου. καὶ τόσῳ μᾶλλον, ὅσῳ
περ ἂν τολμηρότερον πλέῃ. καὶ πᾶς ὁ σῶμα πε-
ρικείμενος, ἐγγύς ἐστι τῶν τοῦ σώματος κακῶν. καὶ τό-
σῳ μᾶλλον, ὅσῳ περ ἂν ὀρθῶς βαδίζῃ, καὶ μὴ βλέ-
πει τοὺς πρὸ αὐτοῦ κειμένους. ἕως πλῇς ἐξ οὐρίας,
τῷ ναυαγοῦντι δὸς χεῖρα. ἕως εὐεκτεῖς καὶ πλου-

τῆς, τῶν κακοπαθούντων βοήθησον. μὴ ἀναμείνῃς ἐπὶ σεαυτοῦ μαθεῖν, ὅσον ἐστὶ κακὸν ἀπανθρωπία, καὶ οἷον ἀγαθὸν σπλάγχνα τοῖς χρῄζουσιν ἀνοιγόμενα. μὴ βουληθῇς ἐπάραι χεῖρα θεὸν κατὰ τῶν ὑψαυχενούντων, καὶ παρατρεχόντων τοὺς πένητας. ἐν ἀλλοτρίαις συμφοραῖς ταῦτα παιδεύθητι. δός τι καὶ μικρὸν τῷ δεομένῳ. οὐ γὰρ μικρὸν τῷ πάντων ἐπιδεεῖ. ἀλλ' οὐδὲ θεῷ, ἂν ᾖ κατὰ δύναμιν. δὸς ἀντὶ μεγάλου τὴν προθυμίαν. εἰ μηδὲν ἔχῃς, δάκρυσον. μέγα τῷ ἀτυχοῦντι φάρμακον, ἔλεος ἀπὸ ψυχῆς εἰσφερόμενος. καὶ τὸ συναλγεῖν γνησίως, πολύ τι κουφίζει τῆς συμφορᾶς. οὐκ ἔστιν ἀτιμότερός σοι τοῦ κτήνους ὁ ἄνθρωπος ὦ ἄνθρωπε, ὃ πεσὸν εἰς βόθρον, ἢ πλανηθὲν, ἀνεγείρειν σοι καὶ ἐπανάγειν ὁ νόμος διακελεύεται. εἰ μέν τι καὶ ἄλλο κρυπτῶν ἀπορρητότερον καὶ βαθύτερον, οἷα τὰ πολλὰ τοῦ νομικοῦ βάθους καὶ τῆς διπλόης, οὐκ ἐμὸν εἰδέναι, ἀλλὰ τοῦ πάντα ἐρευνῶντος καὶ γινώσκοντος πνεύματος. ὅσα δ' οὖν ἐγὼ καταλαμβάνω, καὶ ὅσον εἰς τὸ ἐμὸν ἥκει λόγον, γυμνάζων ἡμᾶς ἀπὸ τῆς εἰς τὰ μικρὰ φιλανθρωπίας ἐπὶ τὴν τελειοτέραν καὶ μείζονα. πόση γὰρ ὀφειλὴ τοῖς ὁμοφύλοις καὶ ὁμοτίμοις, εἰ καὶ μέχρι τῶν ἀλόγων ἀπαιτουμένη; ταῦτα μὲν οὖν ὁ λόγος καὶ ὁ νόμος, καὶ τῶν ἀνθρώπων οἱ μετριώ-

τατοι,

ται, παρ' οἷς τὸ εὖ ποιεῖν τοῦ πάσχειν τιμιώτερον, καὶ πολὺ σπουδαιότερος καρδίας ἔλεος. τί δ' ἂν εἴποις περὶ τῶν καθ' ἡμᾶς σοφῶν; ἐῶ γὰρ λέγειν τοὺς ἔξωθεν, οἳ συνηγόρους τοῖς πάθεσι θεοὺς εὑρίσκοντες, καὶ τῷ κέρδει, ᾧ τὰ πρῶτα νέμουσι, ἤδη δὲ, καὶ ὃ τούτου χεῖρόν ἐστι, καὶ ἀνθρωποκτονεῖν νομίζουσιν ἔστιν οἷς δαιμόνων, καὶ παρ' οἷς ἔθνεσι. καὶ μέρος εὐσεβείας αὐτοῖς ἡ ἀπανθρωπία, καὶ ταῖς τοιαύταις θυσίαις αὐτοί τε χαίρουσι, καὶ τοὺς θεοὺς αὐτῇ οἴονται, πονηροὶ πονηρῶν ἱερεῖς καὶ μύσται γινόμενοι. ἀλλ' εἰσὶ τῶν ἡμετέρων τινὲς, ὃ καὶ δακρύειν ἄξιον, οἳ τοσοῦτον ἀπέχουσι συναλγεῖν καὶ βοηθεῖν τοῖς κάμνουσιν, ὥστε καὶ προσονειδίζουσι πικρῶς, καὶ ἐπεμβαίνουσι, καὶ φιλοσοφοῦσι κενὰ καὶ μάταια, καὶ φωνοῦσιν ὄντως ἐκ γῆς, καὶ εἰς ἀέρα λαλοῦσι, καὶ οὐκ εἰς ἀκοὰς εὐσυνέτους, καὶ θείοις συνηθισμένας δόγμασι. καὶ τολμῶσι λέγειν, ὅτι παρὰ θεοῦ τὸ ταλαιπωρεῖν ἐκείνοις, παρὰ θεοῦ τὸ εὖ πράττειν ἡμῖν. καὶ τίς εἰμι ἐγὼ δόγμα λύειν θεοῦ; καὶ θεοῦ φανῆναι χρηστότερος; καμνέτωσαν, ταλαιπωρείτωσαν, δυστυχείτωσαν. οὕτως ἔδοξεν. κἀνταῦθα μόνον εἰσὶ φιλόθεοι, οὗ δεῖ φυλάττειν τοὺς ὀβολοὺς, καὶ κατὰ τῶν ἀθλίων νεανιεύεσθαι. ὅτι μὲν οὖν οὐκ ἐκ τοῦ θεοῦ τὸ εὖ πράττειν αὐτοῖς εἶναι νομίζουσι, δηλοῦσι σαφῶς ἐξ

ὧν λέγοισι. τίς γὰρ ἂν οὕτω διανοηθείη περὶ τῶν
δεομένων, θεὸν ἀδεῶς χορηγὸν ὧν κέκτηται. τὴν
γὰρ αὐτὴν ἔστιν ἔχειν τέ τι παρὰ θεοῦ, καὶ κε-
χρῆσθαι κατὰ θεὸν οἷσπερ ἔχουσιν. εἰ δὲ καὶ πα-
ρὰ θεοῦ τὸ κακοπαθεῖν ἐκείνοις, οὔπω δῆλον,
ἕως ἂν καὶ παρ' ἑαυτῆς ἡ ὕλη φέρῃ τὸ ἄτακτον,
ὥσπερ ἐν ῥεύματι. καὶ τίς οἶδεν, εἰ ὁ μὲν διὰ κα-
κίαν κολάζεται, ὁ δὲ ὡς ἐπαινούμενος αἴρεται;
ἀλλὰ μὴ τοὐναντίον, ὁ μὲν διὰ πονηρίαν ὑψοῦται,
ὁ δὲ δι' ἀρετὴν δοκιμάζεται. ὁ μὲν πλεῖον ἐ-
παιρόμενος, ἵνα καὶ πέσῃ χαλεπώτερον, ὅλην
ἐώμενος πρότερον ὥσπερ τινὰ νόσον, ἐκρῆξαι
τὴν ἑαυτοῦ κακίαν, ἵνα καὶ κολασθῇ δικαιότε-
ρον. ὁ δὲ καὶ παρὰ δόξαν πιεζόμενος, ἵνα ὥσπερ
χρυσὸς ἐν καμίνῳ δοκιμασθεὶς, τῆς κακίας, εἴ τι
Job. 25. καὶ μικρὸν ἔχει, τοῦτο ἐκτήξῃ. καθαρὸς γὰρ ἀπὸ
ῥύπου παντελῶς οὐδείς. οὐ καινὸν ἐν γεννητῇ φύ-
σει, ὥσπερ ἠκούσαμεν, εἰ καὶ φανῇ δοκιμώ-
τερος. εὑρίσκω γάρ τι καὶ τοιοῦτο ἐν τῇ θείᾳ γρα-
φῇ μυστήριον. καὶ μακρὸν ἂν εἴη πάσας ἀπαρι-
θμεῖν τοῦ πνεύματος τὰς φωνὰς, αἵ με πρὸς τοῦ-
Ecc. 1 το φέρουσι. ἀλλὰ τίς ἂν ψάμμον θαλασσῶν, καὶ
σταγόνας ὑετοῦ, καὶ βυθοῦ μῆκος ἀναμετρήσαι-
το; τίς δ' ἂν τοῦ θεοῦ, τῆς περὶ πάντα σοφίας
τὸ βάθος ἐξιχνιάσειεν, ὑφ' ἧς καὶ πεποίηκε τὰ
πάντα, καὶ διοικεῖ τρόπον, ὃν αὐτὸς καὶ βού-
λεται

λέγεται καὶ ἐπίσταται; ἀρκεῖ γὰρ, κατὰ τὸν θεῖον ἀπόστολον, θαυμάσαντας μόνον, τὸ ταύτης
» δυσέκφραστον καὶ δυσθεώρητον παρελθεῖν. ὦ Ad Ro. 11
» βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως
» θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ
» ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. καὶ τίς ἔγνω νοῦν
» κυρίου; εἰς δὲ τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς
» ἀφίκετο; φησὶν ὁ ἰώβ. τίς σοφὸς καὶ συνήσει Iob. 11.
ταῦτα, καὶ οὐχὶ τῷ ἀνεφίκτῳ μετρήσει τὸ ὑπὲρ μέτρησιν; ps. 106.
ἄλλος μὲν οὖν εἴη περὶ ταῦτα τολμηρὸς, καὶ γενναῖος, μᾶλλον δὲ εἴη μηδείς. ἐγὼ δὲ ὀκνῶ κακίᾳ δοῦναι πάντως τὴν ἐντεῦθεν κόλασιν, ἢ εὐσεβείᾳ τὴν ἄνεσιν. ἀλλ' ἔστι μὲν ὅτε καὶ πρός τι χρήσιμον ἢ κακίας ἐκκοπτομένης δυσπαθείᾳ τῶν πονηρῶν, ἢ ἀρετῆς ὁδοποιουμένης εὐπαθείᾳ τῶν βελτιόνων. οὐκ ἀεὶ δὲ, οὐδὲ πάντως. ἀλλ' εἶναι τοῦτο μόνον καιροῦ τοῦ μέλλοντος, καθ' ὃν οἱ μὲν τὰ τῆς ἀρετῆς ἆθλα, οἱ δὲ τῆς κακίας τὰ ἐπιτίμια δέξονται. ἀναστήσονται γὰρ οὗτοι φησὶν εἰς Io. 5.
ἀνάστασιν ζωῆς, καὶ οὗτοι εἰς ἀνάστασιν κρίσεως. τὰ δ' ἐντεῦθεν, ἑτέρου τύπου εἶναι καὶ ἀγωγῆς ἑτέρας. πάντα ἐκεῖσε φέρονται. ἐχούσης ὁμαλόν τι παρὰ θεῷ πάντως καὶ τῆς δοκούσης ἡμῖν ἀνωμαλίας. ὥσπερ ἐν σώματι τὰς ἐξοχάς τε καὶ εἰσοχὰς, μεγέθη τε καὶ μικρότητας, καὶ γῆς ἐπαναστάσεις τε καὶ ὑφέσεις. ἐξ ὧν τὸ κάλλος

τῇ πρὸς ἄλληλα σχέσει συνιστάμενόν τε καὶ θεωρούμενον. ἐπεὶ καὶ τεχνίτου τὸ περὶ τὴν ὕλην πως ἄτακτον καὶ ἀνώμαλον, λίαν ἔντεχνόν ἐστιν, ἂν πρός τινος ἔργου κατασκευὴν εὐπρεπίσηται. τότε καὶ ἡμῖν καταλαμβανόμενόν τε καὶ ὁμολογούμενον, ὅταν τὸ ἀποτελεσθὲν κάλλος τοῦ δημιουργήματος θεωρήσωμεν. ἀλλ᾽ οὔτ᾽ ἐκεῖνος ἄτεχνος ἢ ὡς ἡμεῖς, οὔτε ταῦτα διοικεῖται ἀτάκτως, ὅτι μὴ καὶ ἡμῖν ὁ λόγος γνώριμος. ἀλλ᾽ εἴ τινα δεῖ καὶ εἰκόνα λαβεῖν τοῦ ἡμετέρου πάθους, οὐ πόρρω τῶν ναυτιώντων ἐσμὲν, καὶ ἰλιγγιώντων, οἳ στρέφεσθαι τὰ πάντα δοκοῦσιν, αὐτοὶ στρεφόμενοι. ὡς δὲ καὶ οὗτοι περὶ ὧν ὁ λόγος. οὐ γὰρ ἀνέχονται σοφώτερον αὐτῶν εἶναι τὸν θεὸν, ἂν πρός τι τῶν συμβαινόντων ἰλιγγιάσωσιν. ἢ καμεῖν περὶ τὸν λόγον δέον, ὡς τάχ᾽ ἂν τῇ φιλοπονίᾳ δοθησομένης τῆς ἀληθείας, ἢ σοφωτέροις ἑαυτῶν ταῦτα συμφιλοσοφεῖν καὶ πνευματικωτέροις. ἐπειδή περ καὶ τοῦτο χάρισμά ἐστι, καὶ οὐχὶ πάντων ἡ γνῶσις. ἢ καθάρσει βίου ταύτην θηρεύειν, καὶ παρὰ τῆς ὄντως σοφίας σοφίαν ἐπιζητεῖν. οἱ δὲ, ὢ τῆς ἀπαιδευσίας, εὐθὺ τὸ ἑτοιμότερον τρέπονται, καὶ ἀλογίαν τοῦ παντὸς καταψεύδονται, αὐτοὶ τὸν λόγον οὐκ ἐπιστάμενοι. καί εἰσι δι᾽ ἀπαιδευσίαν σοφοὶ, ἢ διὰ σοφίαν, ἵνα οὕτως εἴπω, τὴν περιτ-

τὴν, ἄσοφοι καὶ ἀσύνετοι. Ἐντεῦθεν οἱ μὲν τύχην καὶ τὸ αὐτόματον ἐδογμάτιζον, ὄντως αὐτόματα καὶ ὡς ἔτυχεν ἀναπλασθέντα ἐπινοήματα. οἱ δὲ, ἀστέρων τινὰ δυναστείαν, ἄλογόν τε καὶ ἄλυτον, πλεκόντων ὡς ἂν βούλωνται τὰ ἡμέτερα, μᾶλλον δὲ καὶ αὐτὸ τὸ πλέκειν συνηναγκασμένων, καὶ πλανητῶν τινων καὶ ἀπλανῶν συνόδους καὶ ὑποχωρήσεις, καὶ κυρίαν τοῦ παντὸς κίνησιν. οἱ δὲ, ὅτι ἂν ἕκαστος ἐφαντάσθησαν, τῷ ταλαιπώρῳ γένει τῶν ἀνθρώπων φθονοῦντες, ἐπεισήγαγον. ὅσον αὐτῆς τῆς προνοίας ἀνέφικτόν τε καὶ ἀθεώρητον, εἰς διαφόρους δόξας καὶ προσηγορίας καταμερίσαντες. εἰσὶ δὲ οἱ καὶ πενίαν πολλὴν τῆς προνοίας κατέγνωσαν, τὰ μὲν ὑπὲρ ἡμᾶς ταύτῃ διοικεῖσθαι νομίσαντες. ἄχρι δὲ ἡμῶν τῶν καὶ μάλιστα δεομένων κατάγειν αὐτὴν ἀποκνήσαντες, ὥσπερ δεδοικότες, μὴ τῷ πλείονας εὐεργετεῖσθαι, ἀγαθώτερον ἀποφήνωσι τὸν εὐεργέτην, ἢ ἀποκάμνοι αὐτοῖς, ὁ θεὸς εὖ ποιῶν πλείονας. ἀλλ' οὗτοι μὲν, ὅπερ εἶπον, ἐρρίφθωσαν, ἐπεὶ καὶ καλῶς αὐτοὺς
" προλαβὼν ὁ λόγος ἠμύνατο. ἐματαιώθη Ad No. 8.
" γάρ φησιν, ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες
" εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν
" δόξαν τοῦ ἀφθάρτου θεοῦ. μύθοις τισὶ καὶ σκιαῖς
" τὴν διὰ πάντων πρόνοιαν καθυβρίσαντες.

ἡμεῖς δὲ, μήτε αὐτοὶ ταῦτα στρατευώμεθα, εἴπερ τι μέλει τοῦ λόγου λογικοῖς οὖσιν ἡμῖν, καὶ λόγου θεραπευταῖς. μηδὲ τοὺς οἰομένους ἀποδεχώμεθα, κἂν εὐτροχῶσι τὴν γλῶτταν ἐν τοῖς ἀτόποις λόγοις καὶ δόγμασι, καὶ τῷ καινῷ τέρπωσιν. ἀλλὰ καὶ θεὸν εἶναι πάντων ποιητὴν καὶ δημιουργὸν πιστεύωμεν. πῶς γὰρ ἂν ὑπέστη τὸ πᾶν, μή τινος οὐσιώσαντός τε καὶ συναρμόσαντος; καὶ πρόνοιαν συνεισάγωμεν τὴν τοῦδε τοῦ παντὸς συνεκτικήν τε καὶ συνδετικήν. ἐπεὶ καὶ προνοητὴν εἶναι τούτων, ὧν ποιητὴν εἶναι ἀναγκαῖον. εἰ μὴ μέλλοι τὸ πᾶν τῷ αὐτομάτῳ φερόμενον, ὥσπερ ὑπὸ λαίλαπος ναῦς, αὐτίκα λυθήσεσθαί τε, καὶ διασπασθήσεσθαι διὰ τὴν ἀταξίαν τῆς ὕλης, καὶ πρὸς τὴν ἀρχαίαν σύγχυσίν τε, καὶ ἀκοσμίαν ἐπαναχθήσεσθαι. καὶ ἡμετέροις μάλιστα ἐπιστατεῖν δεξώμεθα τὸν ἡμέτερον, εἴτε ποιητὴν, εἴτε πλάστην βούλει καλεῖν. κἂν διὰ τῶν ἐναντίων ὁ βίος ἡμῶν διεξάγηται. διὰ τοῦτο τυχὸν καὶ ἀγνοουμένων, ἵνα τῷ δυσθεωρήτῳ, τὸν ὑπὲρ πάντα λόγον θαυμάζωμεν. ἐπειδὴ τὸ μὲν ῥᾳδίως ληπτὸν, ἅπαν εὐκαταφρόνητον. τὸ δὲ ὑπὲρ ἡμᾶς, ὅσῳ δυσεφικτότερον, τοσούτῳ θαυμασιώτερον. καὶ γυμνάζει τὸν πόθον ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν. διὰ τοῦτο μήτε ὑγίειαν πάθεσιν θαυμάζωμεν,

μήτε νόσον διαπτύωμεν, μήτε πλούτῳ ῥέοντι προστιθώμεθα καρδίαν πλέον, ἢ καλῶς ἔχει, τῇ ῥοῇ προσκείμενοι, καὶ οἷον τῆς ψυχῆς τι ταύτῃ προσαναλίσκοντες. μήτε πενίας κατεξανιστώμεθα, ὡς ἀποπτύστου πάντη καὶ κατακείτου, καὶ τῆς μισουμένης μερίδος. ἀλλ' εἰδῶμεν καὶ ὑγίειαν περιφρονεῖν ἀσύνετον, ἧς καρπὸς ἁμαρτία, καὶ νόσον τιμᾶν ὁσίαν, αἰδούμενοι τοὺς διὰ πάθους νικήσαντας. μήπου τις καὶ ἰὼβ τοῖς νοσοῦσιν ἐγκέκρυπται, πολύ τι τῶν ὑγιαινόντων αἰδεσιμώτερος, κἂν τὸν ἰχῶρα ξέῃ, κἂν ταλαιπωρῇ νυκτὸς καὶ ἡμέρας αἴθριος, καὶ πληγῇ, καὶ γυναικὶ, καὶ φίλοις στενοχωρούμενος. ὡς δὲ καὶ πλοῦτον ἄδικον ἀποπέμπεσθαι, δι' ὃν κάμνει δικαίως ὁ ἐν τῇ φλογὶ πλούσιος. καὶ προσαιτεῖ ῥανί- luc. 19.
δα μικρὰν ἀναψύξεως. καὶ πενίαν ἐπαινεῖν εὐχάριστον καὶ φιλόσοφον, μεθ' ἧς λάζαρος σώζεται, καὶ πλουτεῖ τὴν ἐν κόλποις ἀβραὰμ ἀνάπαυσιν. ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ ἀναγκαία τυγχάνειν ἡ φιλανθρωπία, καὶ τὸ πρὸς τοὺς δεομένους εὔσπλαγχνον, ἵνα τοὺς οὕτως ἔχοντας περὶ τούτων ἐπιστομίζωμεν, καὶ μὴ λόγοις ματαίοις παραχωρῶμεν, νομοθετοῦντες καθ' ἡμῶν αὐτῶν τὴν ὠμότητα. πάντων δὲ τὴν ἐντολὴν αἰδώμεθα πλέον καὶ τὸ ὑπόδειγμα. τίς ἡ ἐντολὴ, καὶ σκοπεῖτε τὸ ἐπίμονον αὐτῆς, καὶ τὸ γνή-

σιον. οὐ γὰρ ἅπαξ, οὐδὲ δὶς εἰπόντες τι περὶ τῶν
δεομένων, οἱ τοῦ πνεύματος ἀπηλλάγησαν. οὐδὲ
οἱ μὲν, οἱ δὲ οὔ. ἢ μᾶλλον τινὲς, οἱ δὲ ἧττον, ὡς ἂν
μὴ περὶ μεγάλου τινὸς, μηδὲ τῶν σφόδρα κα-
τεπειγόντων, ἀλλὰ καὶ πάντες, καὶ μετὰ σπουδῆς
ἕκαστος, ἢ πρῶτον, ἢ ἐν πρώτοις τοῦτο διακελευό-
μενοι. καὶ ποτὲ μὲν προτρέποντες, ποτὲ δὲ ἀπει-
λοῦντες, ποτὲ δὲ ὀνειδίζοντες, ἔστι δ᾽ ὅτε καὶ τοὺς
κατορθοῦντας ἀποδεχόμενοι. ὡς ἂν τῷ συνε-
χεῖ τῆς ὑπομνήσεως τὴν ἐντολὴν ἐνεργήσω-
ps. 11 » σιν. ἕνεκεν μὲν τῆς ταλαιπωρίας τῶν πτω-
» χῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστή-
» σομαι φησὶν λέγει κύριος. τίς οὐ δέδοικεν ἀνι-
ps. 9. » στάμενον κύριον; καὶ, ἀνάστηθι κύριε ὁ θεός μου,
» ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων.
ἀπευξώμεθα τὴν τοιαύτην ὕψωσιν, καὶ μὴ βουλη-
θῶμεν ἰδεῖν ἐπαιρομένην χεῖρα κατὰ τῶν ἀ-
πειθούντων. ἔτι δὲ μᾶλλον, ἐπαφιεμένην
ps. 11. » τοῖς σκληροτέροις. καὶ, οὐκ ἐπελάθετο τῆς κραυ-
» γῆς τῶν πενήτων. καὶ, οὐκ εἰς τέλος ἐπιλησθήσε-
» ται ὁ πτωχός. καὶ, ὀφθαλμοὶ μὲν αὐτοῦ εἰς τὸν
» πένητα ἐπιβλέπουσιν. ὃ τοῦ βλεφάρου κρεῖτ-
ps. 10. » τον καὶ κυριώτερον. τὰ βλέφαρα δ᾽ αὐτοῦ ἐξετά-
» ζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἡ ἐλάσσων ὡς ἂν εἴ-
ποι τις ἐπισκοπὴ καὶ δευτέρα. τάχα ἂν εἴποι τις
ὑπὲρ τῶν ἀδικουμένων ταῦτα πτωχῶν καὶ πε-

νήτων. οὐ διαφθείρομαι. ἀλλὰ σέ γε καὶ τοῦτο
ἐγκεντριζέτω πρὸς τὸ φιλάνθρωπον. ὧν γὰρ
ἀδικουμένων τοσοῦτος ὁ λόγος, τούτων καὶ εὖ πα
σχόντων δηλαδὴ πλείων ἡ χάρις. εἰ γὰρ ὁ ἀτιμά Pro. 17.
ζων πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν, τι
μᾷ τὸν ποιητὴν ὁ περιέπων τὸ ποίημα. πάλιν
» δ' ὅταν ἀκούσης, πένης καὶ πλούσιος συνήντη Pro. 22.
» σαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ κύριος ἐποίησεν,
μὴ τὸν μὲν πένητα, τὸν δὲ πλούσιον ὑπολάβης, ἵ-
να καὶ μᾶλλον κατεξαναστῆς τοῦ πένητος. οὐ γὰρ
» δῆλον, εἰ θεόθεν ἡ τοιαύτη διαίρεσις. πλάσ-
» μα δὲ θεοῦ φησὶν ὁμοίως ἀμφότεροι, κἂν εἰ τὰ
» ἔξωθεν ἄνισα. τοῦτό σε δυσωπείτω πρὸς τὸ
συμπαθὲς καὶ φιλάδελφον. ἵνα ὅταν ὑπ' ἐκεί-
νων ἐπαρθῆς, ὑπὸ τούτου συσταλῆς, καὶ γένῃ
» σεαυτοῦ μετριώτερος. τί ἔτι, ὁ ἐλεῶν πτωχὸν, Pro. 19.
» θεῷ δανείζει φησίν. τίς οὐ δέχεται τοιούτους
» χρεώστην ἀποδώσοντα ἐν καιρῷ μετὰ τῆς ἐπικαρ
» πίας τὸ δάνειον; ἐλεημοσύναις καὶ πίστεσιν ἀπο Pro. 15.
» καθαίρονται ἁμαρτίαι. καθαρθῶμεν οὖν ἐλεή
σαντες, ῥύψωμεν τῇ καλῇ πόᾳ τὰ τῶν ψυχῶν
ῥύπη τε καὶ μολύσματα. καὶ λευκανθῶμεν, Isa. 1.
οἱ μὲν ὡς ἔριον, οἱ δὲ ὡς χιὼν κατὰ τὴν ἀναλογίαν
τῆς εὐσπλαγχνίας. εἴπω τι καὶ φοβερώτε-
ρον. εἰ μὲν οὐδέν ἐστι σοὶ σύντριμμα, οὐδὲ μώλωψ, Isa. 53.
οὐδὲ πληγὴ φλεγμαίνουσα, οὐδὲ λέπρα τις ψυ

χῆς ἢ ἀφῆς σημασίας, ἢ πληγῆς, ἃ μικρῶς
μὲν ὁ νόμος ἐκάθηρεν, δεῖται δὲ Χριστοῦ θεραπεύ-
σοντος, ἀλλὰ σύγε τὸν ὑπὲρ ἡμῶν τραυματι-
σθέντα καὶ μαλακισθέντα αἰδέσθητι. αἰδέσθητι
δέ, ἂν φανῇ τῷ Χριστοῦ μέλει χρηστὸς καὶ φιλάν-
luc. 10. θρωπος. εἰ δὲ τοσοῦτον σε κατετραυμάτισε τυ-
χὸν ὁ τῶν ἡμετέρων ψυχῶν λῃστὴς καὶ τύραννος,
ἢ ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καταβαίνοντα, ἢ
καὶ ἄλλοθί που λαβὼν ἄοπλόν τε καὶ ἀπαρά-
σκευον, ὥστ' ἂν εἰκότως εἰπεῖν ἐκεῖνα, προσώζε-
ps. 37. σαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προ-
σώπου τῆς ἀφροσύνης μου. εἰ μὲν οὕτως ἔχῃς, ὡς
μηδὲ τὴν θεραπείαν ἐπιζητεῖν, μηδὲ τὸν τρόπον
εἰδέναι τῆς σῆς ἰάσεως, φεῦ τῆς πληγῆς ὄντως,
καὶ τῆς εἰς βάθος ταλαιπωρίας. εἰ δὲ μήπω
παντελῶς ἀπέγνωσαι, μηδ' ἀνιάτως ἔχῃς, πρό-
σελθε τῷ θεραπευτῇ, δεήθητι, θεράπευσον τὰ
τραύματα διὰ τῶν τραυμάτων, κτῆσαι τῷ ὁ-
μοίῳ τὸ ὅμοιον, μᾶλλον δὲ τοῖς ἐλάττοσι τὰ μεί-
ps. 34. » ζονα θεραπεύθητι. εἰπὲ τῇ ψυχῇ σου, σωτηρία
» σου εἰμὶ ἐγώ. καὶ ἡ πίστις σου σέσωκέ σε, καὶ ἰδοὺ
Matt. 9. » ὑγιὴς γέγονας. καὶ πάντα τὰ τῆς φιλανθρω-
Io. 5. πίας ῥήματα, μόνον ἂν ἴδῃ σε τοῖς ἀλγοῦσι φι-
Matt. 5 » λάνθρωπον. μακάριοι φησὶν οἱ ἐλεήμονες, ὅτι
» αὐτοὶ ἐλεηθήσονται. οὐ φαυλότερος ἐν τοῖς μακα-
ps. 40. » ρισμοῖς ὁ ἔλεος. καὶ μακάριος ὁ συνιὼν ἐπὶ πτω-

» χὸν καὶ πένητα. καὶ χρηστὸς ἀνὴρ ὁ οἰκτείρων ps. 3.
» καὶ κιχρῶν. καὶ ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δα- ps. 36
» νείζει ὁ δίκαιος. Ἁρπάσωμεν τὸν μακαρισμόν,
συνιέντες κληθῶμεν, χρηστοὶ γενώμεθα. μὴ δια- Pro. 3.
κοψάτω σου μηδὲ νὺξ τὸν ἔλεον. μὴ εἴπῃς ἐπα-
νελθὼν ἐπάνηκε καὶ αὔριον δώσω. μηδὲν μέ-
σον γινέσθω τῆς ὁρμῆς καὶ τῆς εὐποιΐας. τοῦτο
μόνον οὐκ ἐπιδέχεται ἀναβολὴν, ἡ φιλανθρω-
πία. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτω- Isa. 58.
χοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. καὶ ταῦτα
μετὰ προθυμίας. ὁ γὰρ ἐλεῶν φησιν, ἐν ἱλαρό- ad Ro. 12
τητι, καὶ διπλασιάζεταί σοι τὸ ἀγαθὸν τῇ ἑτοι-
μότητι. τὸ γὰρ ἐκ λύπης ἢ ἐξ ἀνάγκης ἄχαρί τε
καὶ ἀκαλλώπιστον. πανηγυριστέον δὲ, οὐ θρηνη- Isa. 58.
τέον τὴν εὐεργεσίαν. ἐὰν ἀφέλῃς σύνδεσμον φησί,
καὶ χειροτονίαν, μικρολογίαν δὴ λέγω, τοῦτο καὶ
δοκιμασίαν, εἴτ' οὖν ἀμφιβολίαν, καὶ ῥῆμα γογ-
γυσμοῦ, τί γενήσεται, ὢ μέγα τι καὶ θαυμάσιον,
οἷον καὶ ὅσος ὁ τούτου μισθός. ῥαγήσεται πρώϊ-
μον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνα-
τελεῖ. τίς οὖν οὐκ ἐφίεται φωτὸς καὶ ἰάσεως;
αἰδοῦμαι δὲ καὶ τὸ χριστοῦ γλωσσόκομον, ὃ πρὸς Io. 13.
πτωχοτροφίαν ἡμᾶς παρακαλεῖ. καὶ τὴν παύ-
λου καὶ πέτρου συμφωνίαν, ὅτι τὸ εὐαγγέλιον διε- Ad Gal. 2
λόμενοι τοὺς πτωχοὺς κοινωνοὺς ἐποιήσαντο. καὶ
τὴν τοῦ νέου τελείωσιν, ἐν τῷ τὰ ὄντα δοῦναι πτω Matt. 19.

χοῖς ἐμαθεῖν τι καὶ νομοθετηθεῖσιν. οἴει μὴ ἀνάγ-
κην εἶναί σοι τὴν φιλανθρωπίαν, ἀλλ' αἵρεσιν; μη-
δὲ νόμον, ἀλλὰ παραίνεσιν; σφόδρα καὶ αὐτὸς ἐ-
βουλόμην τοῦτο, καὶ ὑπελάμβανον. ἀλλὰ φοβεῖ
με ἡ ἀριστερὰ χεὶρ καὶ οἱ ἔριφοι, καὶ ἃ παρὰ τοῦ στή-
σαντος ὀνειδίζονται. οὐχ ὅτι διηρπάκασιν, οὐδ' ὅτι
ἱεροσυλήκασιν, ἢ μεμοιχεύκασιν, ἢ ἄλλο τι τῶν ἀπηγο-
ρευμένων πεποιήκασι ταύτην τὴν τάξιν κατα-
κριθέντες, ἀλλ' ὅτι μὴ χριστὸν διὰ τῶν δεομένων τε-
θεραπεύκασιν. εἴ τι οὖν ἐμοὶ πείθεσθε δοῦλοι χρι-
στοῦ καὶ ἀδελφοὶ καὶ συγκληρονόμοι, ἕως ἔτι καιρός,
χριστὸν ἐπισκεψώμεθα, χριστὸν θεραπεύσωμεν, χρι-
στὸν θρέψωμεν, χριστὸν ἐνδύσωμεν, χριστὸν συναγά-
γωμεν, χριστὸν τιμήσωμεν. μὴ τραπέζῃ μόνον ὥς τι-
νες, μηδὲ μύροις ὡς ἡ μαρία, μηδὲ τάφῳ μόνον,
ὡς ἰωσὴφ ὁ ἀριμαθαῖος, μηδὲ τοῖς περὶ τὴν τα-
φὴν ὡς νικόδημος ὁ ἐξ ἡμισείας φιλόχριστος, μηδὲ
Matt. 9. χρυσῷ καὶ λιβάνῳ καὶ σμύρνῃ, ὡς οἱ μάγοι πρὸ τῶν εἰ-
Osee. 6. ρημένων, ἀλλ' ἐπειδὴ ἔλεον θέλει καὶ οὐ θυσίαν ὁ
πάντων δεσπότης, καὶ ὑπὲρ μυριάδας ἀρνῶν πιό-
νων ἡ εὐσπλαγχνία, ταύτην εἰσφέρωμεν αὐτῷ
διὰ τῶν δεομένων, καὶ χαμαὶ σήμερον ἐρριμμέ-
νων. ἵνα ὅταν ἐνθένδε ἀπαλλαγῶμεν, δέξωνται
Luc. 16. ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς. ἐν αὐτῷ χριστῷ τῷ
κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου, εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανὸν λόγος, ἐξ ἀγροῦ μετὰ μίαν τῆς μνείας ἡμέραν ἐπανήκοντος.

M ικροῦ κυπριανὸς διέφυγεν ἡμᾶς, ὢ τῆς ζημίας, καὶ ὑμεῖς ἠνέσχεσθε, οἱ πάντων μᾶλλον τὸν ἄνδρα θαυμάζοντες, καὶ ταῖς δι' ἔτους τιμῶντες ἐκεῖνον τιμαῖς τε καὶ πανηγύρεσι. κυπριανόν, οὗ καὶ τοῖς τἆλλα ἐπιλήσμοσι μεμνῆσθαι τῶν ἀναγκαίων. εἴπερ τῶν ἀρίστων μάλιστα μνημονευτέον, καὶ ὧν τὸ μεμνῆσθαι ὅσιόν τε ὁμοῦ καὶ ὠφέλιμον. ἀλλ' ἀποδῶμεν σὺν τόκῳ τὸ χρέος, ἂν ἄρα τοσοῦτον εὐποροῦντες φανῶμεν, ἀλλὰ μὴ πάντα ὦμεν ἐνδεεῖς τε καὶ πένητες. ἂν δὲ καὶ λίαν πένητες, οἶδ' ὅτι συγγνώσεται ἡμῖν καὶ τῆς ὑπερημερίας, καὶ τῆς πενίας. ἐπεὶ καὶ πάντα μεγαλόψυχος ὁ ἀνὴρ καὶ φιλόσοφος. μόνον ἂν ὅτι μὴ διέφυγεν ἡμᾶς εὐχαριστήσωμεν. εὐχαριστήσωμεν δέ, καὶ γὰρ ἄξιον. ἀρκτέον δὲ οὕτως. ὡς εἰς καλὸν ὑμῖν ἐπανήκομεν, καὶ καλοῖς μέτροις θεοῦ, τοῦ πάντα ἐν σταθμῷ καὶ μέτρῳ διορίζοντός τε καὶ διευθύνοντος. ἐκ τῆς ἡσυχίας ἐπὶ τὸν λόγον. ἐκ τῆς φιλομάρτυρος ἐπὶ μαρ-

τυρας. ἐκ τῆς σωματικῆς ἀνέσεως, ἀλλ' εἰς τὴν πνευματικὴν ἑστίασιν. ἐπεποθοῦμεν ὑμᾶς ὦ τέκνα, καὶ ἀντιποθούμεθα τοῖς ἴσοις μέτροις, πείθομαι γάρ. ὁρᾶτε πατρὸς εὐγνωμοσύνην, καὶ τὸ ἐμαυτοῦ λέγω, καὶ τὸ ὑμέτερον μαρτυρῶ. καὶ τοσοῦτον διαζευχθέντες ἀλλήλων, ὅσον τὸν πόθον γνωρίσαι, καὶ δοκιμάσαι τῇ ἀποστάσει, καθάπερ οἱ ζωγράφοι τοὺς πίνακας, πάλιν συνήλθομεν, ὡς μέγα μνήμης ἐμπύρευμα καὶ βραχεῖα συνήθεια τοῖς τε ἀγαπητικοῖς τὸν τρόπον, καὶ θεοῦ μιμουμένοις φιλανθρωπίαν. πῶς δὲ οὐκ ἐμέλλομεν οἱ χριστοῦ μαθηταί, τοῦ κενωθέντος δι' ἡμᾶς μέχρι δούλου μορφῆς, καὶ ξένους ὄντας τῶν οὐρανίων, πρὸς ἑαυτὸν συναγαγόντος, ἀνθέξεσθαί τε καὶ περιέξεσθαι ἀλλήλων, καὶ τηρήσειν τὴν ἑνότητα τοῦ πνεύματος, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἣ νόμου καὶ προφητῶν ἐστὶ μυστήριον, εἴτ' οὖν κεφάλαιον. ἓν μὲν δὴ τοῦτο τῆς εὐεργεσίας καὶ πρῶτον, τὸ ὡς τάχιστα προσδραμεῖν ἀλλήλοις καὶ περιπτύξασθαι. οὐδὲ γὰρ φέρει τὴν ἀναβολὴν ὁ ζῆλος, καὶ βίος ὅλος ἡμέρα μία, τοῖς πόθῳ κάμνουσι. δεύτερον δέ, ὃ καὶ μέγιστον, τὸ μὴ κατόπιν ἑορτῆς δραμεῖν, μηδὲ μαρτύρων μυσταγωγίας ἀπολειφθῆναι, καὶ τῆς ἐντεῦθεν ἐγγινομένης ἡμῖν τρυφῆς τε καὶ ἀναψύξεως. ἐγὼ γὰρ τἆλλα μὲν ὁμολογῶ παντὸς εἶναι νωθέ-

στρος, καὶ πάντα πόθον ἀπεσεισάμην, ἀφ᾽ οὗ Χριστῷ συνεταξάμην, καὶ οὐδὲν αἱρεῖ με τῶν ὅσα τὸ πρὶν τὰ τοῖς ἄλλοις καὶ περισπούδαστα. οὐ πλοῦτος ὁ κάτω συρόμενος καὶ περιστρεπόμενος, οὐ γαστρὸς ἡδοναὶ, καὶ κόρος πατὴρ ὕβρεως, οὐκ ἐσθὴς μαλακή τε καὶ περιῤῥέουσα. οὐ λίθων διαυγεῖαι καὶ χάριτες, οὐκ ἀκοὴ γοητεύουσα, οὐκ ὄσφρησις ἐκθηλύνουσα, οὐ κρότοι δήμων καὶ θεάτρων ἐκμαίνοντες, ὧν πάλαι τοῖς βουλομένοις παρεχωρήσαμεν, οὐχ ὅσα τῆς πρώτης γενέσεως ἡμῶν ἑξῆς ἀπολώλαμεν ἔκγονα, ἀλλὰ καὶ παλλὴν συνήθειαν καταγινώσκω τὴν κρατεῖαν τοῦ τούτοις ἀνεχομένων, καὶ τὸ τῆς ψυχῆς εὐγενὲς διαφθείρειν, τῇ περὶ ταῦτα μικροπρεπείᾳ, καὶ ὡς ἑστῶσι πρός τι θεμένων τοῖς φεύγουσιν. ἐκείνου δὲ λίαν ἀπλήστως ἔχω καὶ περιέχομαι, καὶ τοῦ πάθους ἐμαυτὸν ἀποδέχομαι. μαρτύρων τιμαῖς ἐπιτέρπομαι, καὶ ἀθλητῶν αἵμασιν ἐπαγάλλομαι. καὶ ἄλλων μὲν οἱ ἆθλοι καὶ τὸ κρατεῖν, ἐμοὶ δὲ οἱ στέφανοι. τοσοῦτον προαρπάζω τὴν εὐκοσμίαν, καὶ οὕτως οἰκειοῦμαι τὰ κατορθώματα. πᾶσι μὲν δὴ μάρτυσι πανηγυριστέον, καὶ πᾶσιν ἀνοικτέον ἑτοίμως καὶ γλῶσσαν, καὶ ἀκοὴν, καὶ διάνοιαν, καὶ λέγοντάς τε προθύμως περὶ αὐτῶν καὶ ἀκούοντας, καὶ πάντα ἐλάττω νομίζοντας τῆς ἐκείνων ἀθλήσεως. καὶ γὰρ οὕτως ἔχει.

Πολλῶν ὄντων ἡμῖν εἰς ὁδηγίαν τοῦ κρείττονος, καὶ πολλῶν τῶν πρὸς ἀρετὴν παιδευμάτων, λόγου, νόμου, προφητῶν, ἀποστόλων, αὐτῶν τῶν τοῦ χριστοῦ παθημάτων, τοῦ πρωτοτύπου μάρτυρος ἡμῶν τὸν σταυρὸν ἀνελθόντος, καὶ ἐμὲ συναναγαγόντος, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν, καὶ τὸν ὄφιν θριαμβεύσῃ, καὶ τὸ ξύλον ἁγιάσῃ, καὶ τὴν ἡδονὴν νικήσῃ, καὶ τὸν ἀδὰμ ἀνασώσῃ, καὶ τὴν εἰκόνα πεσοῦσαν ἀνακαλέσηται, τοσούτων ὄντων ἡμῖν καὶ τοιούτων, οὐδὲν ἔλαττον ἡμῖν εἰς παιδαγωγίαν οἱ μάρτυρες. ὁλοκαυτώματα λογικὰ, θύματα τέλεια, προσφοραὶ δεκταὶ, τῆς ἀληθείας κηρύγματα, τῆς ψευδοῦς στηλιτεύματα, νόμου συμπλήρωσις, τοῦ γε πνευματικῶς νοουμένου. πλάνης κατάλυσις, κακίας διωγμὸς, ἁμαρτίας κατακλυσμὸς, κόσμου καθάρσιον. οὐδέ μοι κυπριανὲ τὸ τιμιώτατόν μοι καὶ πρᾶγμα καὶ ὄνομα, πλέον ἢ κατὰ τοὺς ἄλλους μάρτυρας, φθόνος γὰρ οὐδεὶς παρὰ μαρτύρων μάρτυσι, καὶ σοῦ διαφερόντως ἥττημαί τε τῆς ἀρετῆς, καὶ τῇ μνήμῃ κουφίζομαι. καὶ ὥσπερ αἰθέριος ὑφ' ἡδονῆς γίνομαι, καί τινα τρόπον σύνειμί τε τῇ μαρτυρίᾳ, καὶ κοινωνῶ τῆς ἀθλήσεως, καὶ ὅλος πρός σε μετανίσταμαι. τάχα μὲν διὰ τὴν τῶν λόγων οἰκείωσιν, οἷς τοσοῦτον τῶν ἄλλων ἐκράτεις, ὅσον τὰ λογικὰ τῆς ἀλόγου φύσεως. συνεισέρχεται γὰρ οὐκ

οἶδ' ὅπως

οἶδ' ὅπως φίλτρον τοῖς κατά τι συναπτομένοις, οὐχ ἧττον τοῖς λοιποῖς πράγμασιν, ἢ τοῖς περὶ ἀγχιστείαν αἵματος. τάχα δὲ διὰ τὸ τῆς μεταβολῆς ἀθρόον τε καὶ παράδοξον, ὃ κρεῖττον λόγου καὶ παραδείγματος. ἐπεὶ γλυκὺ μὲν ἥλιος μετὰ νέφος, ᾧ τέως συνεκαλύπτετο, γλύκιον δὲ τὸ ἔαρ, ὅτι μετὰ χειμῶνος κατήφειαν, ἡδίων δὲ μειδιῶσα γαλήνη, καὶ θάλασσα ἡπλωμένη, καὶ ταῖς ἀκταῖς προσπαίζουσα, μετά τινα πνευμάτων στάσιν, καὶ ὠδίνοντα κύματα. οὗτος Κυπριανὸς ὦ ἄνδρες, ἵνα οἱ μὲν εἰδότες ἡδίους γένησθε τῇ ὑπομνήσει, οἱ δὲ ἀγνοοῦντες μάθητε τὸ κάλλιστον τῶν ἡμετέρων διηγημάτων, καὶ τὴν κοινὴν χριστιανῶν φιλοτιμίαν. οὗτος ἐκεῖνος, τὸ μέγα ποτὲ Καρχηδονίων ὄνομα, νῦν δὲ τῆς οἰκουμένης ἁπάσης, ὁ πλούτῳ περιφανὴς, καὶ δυναστείᾳ περίβλεπτος, καὶ γένει γνώριμος, εἴγε μέγιστον εἰς εὐγενείας ἀπόδειξιν, συγκλήτου βουλῆς μετουσία, καὶ προεδρία, τὸ τῆς νεότητος ἄνθος, τὸ τῆς φύσεως ἄγαλμα, τὸ τῶν λόγων κράτος, τῶν τε κατὰ φιλοσοφίαν, καὶ ὅσοι τῆς ἄλλης παιδεύσεως, καὶ τούτων ὃ βούλει μέρος. ὡς μᾶλλον μὲν τὸ ποικίλον ἢ τὸ ἄκρον, ἐν ἑκάστῳ θαυμάζεσθαι, μᾶλλον δὲ τὸ εὐδόκιμον ἐν ἑκάστῳ, τῆς περὶ πάντα φιλομαθείας. ἢ ἵνα διέλω σαφέστερον. τῶν μὲν τῷ ποικίλῳ, τῶν δὲ τῷ ἄκρῳ, ἔστι δὲ ὧν ἀμφοτέ-

ροις, πᾶσι δὲ πάντων ἐκράτει. τῶν μὲν οὖν λόγων καὶ οἱ λόγοι μάρτυρες, οὓς πολλοὺς καὶ λαμπροὺς ἐκεῖνος ὑπὲρ ἡμῶν κατεβάλετο, ἐπειδήγε μετήνεγκε θεοῦ φιλανθρωπία τὴν παίδευσιν, τοῦ ποιοῦντος τὰ πάντα καὶ μετασκευάζοντος πρὸς τὸ βέλτιον, καὶ τῷ λόγῳ τὴν ἀλογίαν ὑπέκλινεν. τὸ δὲ ἐντεῦθεν, οὐκ οἶδ' ὅπως χρήσωμαι τῷ λόγῳ, καὶ τίς γένωμαι. πῶς μὲν μὴ μακρὸν ἀποτείνω λόγον, καὶ παντελῶς ἔξω τοῦ καιροῦ, πάντων τῶν κυπριανοῦ μεμνημένος. πῶς δὲ μὴ τὰ μέγιστα ζημιώσω τοὺς παρόντας, τοῖς σιωπωμένοις. ἵν' οὖν μέσην βαδίσω τοῦ καιροῦ, καὶ τοῦ πόθου τῶν ἀκουόντων, οὕτω μοι δοκεῖ ποιητέον εἶναι. τὰ μὲν ἄλλα παρεῖναι τοῖς εἰδόσιν, ἐκδιδάσκειν τοὺς ἀγνοοῦντας, εἴπερ εἰσί τινες, ἵν' ἀμφότεροι εὐεργετῶνται ὁμοίως, καὶ οἱ διδάσκοντες τὰ ἐκείνου, καὶ οἱ μανθάνοντες. ἐπειδὴ καὶ τὸ μεμνῆσθαι τοῦ ἀνδρὸς, ἁγιασμὸς, καὶ μέγιστον εἰς παράκλησιν ἀρετῆς ὁ λόγος. ἑνὸς δὲ ἢ δύο τῶν ἐκείνου διὰ βραχέων ἐπιμνησθῆναι, καὶ τούτων ὅσα μηδὲ βουλομένῳ παρελθεῖν δυνατόν. μνησθήσομαι δὲ τοῦ προτέρου βίου καὶ ἥτις αὐτῷ γέγονε σωτηρίας ὁδὸς, καὶ τίς ἡ κλῆσις, καὶ ἡ πρὸς τὸ κρεῖττον μετάθεσις. ἐκεῖνο μέν γε λίαν ἀγεννὲς καὶ μικρόψυχον, οἴεσθαι καθυβρίζεσθαι τὸν ἀθλητὴν, τῇ μνήμῃ τῶν σκαιοτέ-

ρων.

ρων. ἐπεὶ οὕτω καὶ παῦλος ἡμῖν οὐκ ἐπαινετὸς ὁ μέγας, καὶ ματθαῖος ὁ τελώνης ἐν τοῖς κακίστοις, καὶ κυπριανὸς αὐτός. ὁ μὲν τῶν προτέρων ἑαυτοῦ διωγμῶν μεμνημένος, καὶ τῆς τοῦ ζήλου μεταθέσεως, ἵν᾽ ἐκ τοῦ παραλλήλου μᾶλλον δοξάσῃ τὸν εὐεργέτην. ὁ δὲ τὸν τελώνην ἑαυτῷ προστιθεὶς ἐν τῇ τῶν μαθητῶν ἀπαριθμήσει, ὥσπερ ἄλλο τι τῶν τιμίων ἐπίσημον. ὁ δὲ καὶ μακρῷ λόγῳ στηλιτεύων τὴν προτέραν ἑαυτοῦ κακίαν, ἵνα καὶ τῷ θεῷ καρποφορήσῃ τὴν ἐξαγόρευσιν, καὶ τοῖς ἄλλοις ὁδὸς γένηται τῆς χρηστοτέρας ἐλπίδος, τῶν ἀπὸ κακίας ἐπιστρεφόντων. τίς οὖν ἡ κακία, καὶ σκοπεῖτε, ὅση καὶ ἡλίκη τὸ μέγεθος. Δαιμόνων ἦν θεραπευτὴς, ὁ χριστοῦ μαθητὴς ὕστερον. καὶ διώκτης πικρότατος, ὁ μέγας τῆς ἀληθείας ἀγωνιστής. καὶ λόγῳ καὶ ἔργῳ ταράσσων τὴν ἡμετέραν ὁδὸν, διὰ τὸ ἐν ἀμφοτέροις κράτος, ὁ κράτιστος ἀμφότερα μετὰ ταῦτα χριστιανοῖς. ὅθεν κακὸν καὶ γοητεία τούτοις προστιθεμένη, τὴν ἐκείνου τὸ γνωριμώτατον, ὅσῳ δεινότερον καὶ ἀπληστία σώματος, ἢ καὶ τοὺς τἄλλα σοφοὺς ἐκμαίνειν δύναται, καὶ χεῖρον φρονεῖν βιάζεται, καθάπερ ὑβριστὴς πῶλος τὸν λογισμὸν συναρπάζουσα. ἥκει δὲ ἡμῖν ἐπ᾽ αὐτὸ τὸ κεφάλαιον ὁ λόγος. καὶ μὴ πρὸς τὰ πρῶτα τις ὁρῶν κυπριανοῦ, ταῖς ἡδοναῖς ἐφιέτω. τοῖς δὲ

πλουταίοις σωφρονιζέσθω. Παρθένος τις ἦν
κάλλει περίβλεπτος, τῶν εὐπατριδῶν καὶ κόσ-
μίων, εὐπρεπὴς μὲν τὴν ὥραν τοῦ σώματος, ζηλω-
τὴ δὲ τὸν τρόπον. τήν τε γὰρ μορφὴν ἀξιέραστος
ἦν, καὶ ψυχῆς ἀρετὴν ἀξιάγαστος. ταῦτα γὰρ
ἡ φήμη διήγγελλεν, καὶ τὸν νεανίαν ἐξέπληττεν
ὁρῶντα μὲν κάλλος ἐξαίσιον, ἀκούοντα δὲ τρό-
πον ἐφάμιλλον. ἀκούετε παρθένοι καὶ συναγάλ
λεσθε. μᾶλλον δὲ καὶ τὴν ὑπὸ ζυγὸν, ὅσαι σώ-
φρονές τε καὶ φιλοσώφρονες. κοινὸν γὰρ ἀμ-
φοτέραις καλλώπισμα τὸ διήγημα. καὶ ἡ παρ
θένος καλὴ τῷ εἴδει σφόδρα. προσαδέτω ταύ-
» τῃ μεθ' ἡμῶν ὁ θεῖος δαβὶδ, πᾶσα ἡ δόξα λέγων
» τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. νύμφη χριστοῦ
» γνησία κάλλος ἀπόθετον, ἄγαλμα ἔμψυχον, ἀνά
» θημα ἄσυλον, τέμενος ἀνεπίβατον, κῆπος κε-
» κλεισμένος, πηγὴ ἐσφραγισμένη. προσαδέτω
γάρ τι καὶ σολομῶν, μόνῃ χριστῷ τηρουμένη. ταύ
της ὁ μέγας ἥλω κυπριανὸς, οὐκ οἶδ' ὅθεν καὶ ὅ-
πως, τῆς πάντα ἀσφαλοῦς καὶ κοσμίας. ψαύου
σι γὰρ ὀφθαλμοὶ λίχνοι καὶ τῶν ἀψαύστων, τὸ προ-
χειρότατον ὀργάνων καὶ ἀπληστότατον. καὶ οὐχ
ἥλω μόνον, ἀλλὰ καὶ ἐπείρα. ὢ τῆς εὐηθείας, ὃς
ταύτην συλήσειν ἤλπιζε, μᾶλλον δὲ τῆς ἀναι-
σχυντίας, τοῦ τὰ τοιαῦτα τολμῶντός τε καὶ
τολμᾶν πείθοντος. ἐκεῖνος καὶ εἰς τὸν παρά-

-λεισεν ἀπ' ἀρχῆς παρέδυ κατὰ τοῦ πρώτου
πλάσματος, καὶ μέσος ἀγγέλων ἵσταται, τὸν
ἰὼβ ἐξαιτήσων, καὶ τὸ τελευταῖον κατ' αὐτοῦ
τολμᾷ τοῦ δεσπότου, καταλύσοντος αὐτὸν καὶ
θανατώσοντος, καὶ πεῖραν προσάγει τῷ ἀπει-
ράστῳ, ἐπειδὴ δεύτερον ἀδὰμ εἶδεν τὸν θεὸν, τὸ φαι-
νόμενον, ὡς καὶ τοῦτον καταπαλαίσων. ἠγνόει
γὰρ ὅτι προσπεσεῖται θεότητι, προσδραμὼν
ἀνθρωπότητι. τί οὖν θαυμαστὸν, εἰ καὶ διὰ κυπρια-
νοῦ πειρᾶται τῆς ἁγίας ψυχῆς, καὶ τοῦ ἀνεπά-
φου σώματος; πλὴν ὁ μὲν ἐπείρα, καὶ προαγω-
γῷ χρῆται οὐ γυναίῳ τινὶ παλαιῷ τῶν πρὸς
ταῦτα ἐπιτηδείων, ἀλλὰ δαιμόνων τινὶ τῶν φι-
λοσωμάτων καὶ φιληδόνων. ἐπειδὴ ταχεῖαι
πρὸς τὴν τῶν τοιούτων ὑπηρεσίαν αἱ ἀποστάτι-
καὶ δυνάμεις καὶ φθονεραὶ, πολλοὺς κοινωνοὺς ζη-
τοῦσαι τοῦ πτώματος. καὶ ὁ μισθὸς τῆς προαγω-
γίας, θυσίαι τε καὶ σπονδαὶ, καὶ ἡ δι' αἱμάτων
καὶ κνίσσης οἰκείωσις, τοιούτους γὰρ ἔδει μισθοὺς
εἶναι τοῖς τὰ τοιαῦτα χαριζομένοις. ἡ δὲ ὡς
ᾔσθετο τοῦ κακοῦ, καὶ τὴν ἐπιβουλὴν ἔγνω. τα-
χύτεραι γὰρ αἱ καθαραὶ ψυχαὶ καὶ θεοφιλεῖς πρὸς
θήραν, τοῦ ἐνεργοῦντος, κἂν ὅτι μάλιστα πει-
στικὸς ᾖ καὶ ποικίλος τὴν ἐπιχείρησιν, τί ποιεῖ, καὶ
τί ἀντιτεχνᾶται τῷ δημιουργῷ τῆς κακίας;
πάντων ἀπογνοῦσα τῶν ἄλλων, ἐπὶ τὸν θεὸν

καταφεύγει, καὶ προστάτην ποιεῖται κατὰ τοῦ μισητοῦ πόθου τὸν ἑαυτῆς νυμφίον, ὃς καὶ σωσάνναν ἐρρύσατο, καὶ θέκλαν διέσωσεν. τὴν μὲν ἀπὸ πικρῶν πρεσβυτέρων, τὴν δὲ ἀπὸ τυράννου μνηστῆρος, καὶ τυραννικωτέρου πατρός. τίνα τοῦτον; χριστόν. ὃς καὶ πνεύμασιν ἐπιτιμᾷ, καὶ κουφίζει βαπτιζομένους, καὶ πεζεύει πέλαγος, καὶ λεγεῶνα πνευμάτων τῷ βυθῷ δίδωσι, καὶ ῥύεται μὲν ἐκ λάκκου δίκαιον λέουσι προτεθέντα βοράν, καὶ χειρῶν ἐκτάσει τὸν θῆρα νικήσαντα. ῥύεται δὲ ὑπὸ κήτους καταποθέντα φυγάδα προφήτην, κἀν τοῖς σπλάγχνοις τὴν πίστιν διασωσάμενον. σώζει δὲ ἀσυνείους ἐν φλογὶ παῖδας, ἀγγέλῳ τὴν φλόγα καταψύξας, καὶ τοῖς τρισὶ παραζεύξας τὸν τέταρτον. ταῦτα καὶ πλείω τούτων ἐπιφημίζουσα, καὶ τὴν παρθένον μαρίαν ἱκετεύουσα βοηθῆσαι παρθένῳ κινδυνευούσῃ, τὸ τῆς νηστείας καὶ χαμευνίας προβάλλεται φάρμακον. ὁμοῦ μὲν τὸ κάλλος μαραίνουσα, ὡς ἐπίβουλον. ἵν᾽ ὑποσπάσῃ τῆς φλογὸς τὴν ὕλην, καὶ δαπανήσῃ τὸ τῶν παθῶν ὑπέκκαυμα. ὁμοῦ δὲ τὸν θεὸν ἱλεουμένη διὰ τῆς ταπεινώσεως. οὐδενὶ γὰρ οὕτω τῶν πάντων, ὡς κακοπαθείᾳ θεραπεύεται θεὸς, καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται. ποθεῖτε τὰ ἑξῆς οἶδ᾽ ὅτι τοῦ διηγήματος, ἀγωνιᾶτε γοῦν ὑπὲρ

τῆς παρθένου, καὶ τοῦ ἐραστοῦ δὲ οὐχ ἧττον, μὴ εἰς κακὸν ἀμφοτέροις ὁ πόθος ἔληξεν. ἀλλὰ θαρσεῖτε. πίστεως γὰρ ὁ πόθος πρόξενος γίνεται. καὶ παρθένον ἑαυτῷ μνηστεύων ὁ ἐραστὴς, ὑπὸ χριστοῦ μνηστεύεται. καὶ ἡ μὲν τῶν πόθων φλὸξ ἀποσβέννυται, ἡ δὲ τῆς ἀληθείας ἀνάπτεται. πῶς καὶ τίνα τρόπον; ἐνταῦθά μοι τὸ τοῦ διηγήματος ἥδιστον. νικᾷ ἡ παρθένος, νικᾶται ὁ δαίμων. ὁ πειραστὴς πρόσεισι τῷ ἐραστῇ, καταμηνύει τὴν ἧτταν, περιφρονεῖται, δυσχεραίνει τῆς ὑπεροψίας, ἀμύνεται τὸν ὑπερόπτην. ἡ ἄμυνα δὲ τίς; εἰς ἑαυτὸν εἰσοικίζεται τὸν τέως θεραπευτὴν, ἵνα κακῷ τὸ κακὸν ἐκκρουσθῇ, καὶ λύσσα λύσσης ἴαμα γίνηται. τῆς παρθένου μὲν ἀποκρούεται, καθάπερ τι μηχάνημα τείχους ὀχυροῦ καὶ γενναίου, λόγου φυγὰς καὶ δεήσεως. τῷ περιεμφανεῖ δὲ προσπαλαίει. ὢ τοῦ θαύματος, πρὸς τὸν βαλόντα πάλιν ἀναστραφεὶς, καὶ συμπνίγων ὥσπερ ἕνα σαοὺλ δεύτερον. τί οὖν ὁ ἄφρων ἐραστὴς, καὶ σώφρων ἐπίληπτος; ζητεῖ τοῦ κακοῦ τὴν λύσιν, εὑρίσκει. ἀμήχανον γὰρ ἅπαν τὸ πιεζόμενον. τίς ἡ λύσις; ἐπὶ τὸν τῆς παρθένου καταφεύγει θεὸν, ὥσπερ σαοὺλ ἐπὶ τὴν κινύραν τοῦ δαβὶδ, καὶ τὰ κρούσματα. πρόσεισι τῷ ταύτης ποιμένι. καθαίρεται, ὥσπερ τοῦ πόθου διὰ τῆς πληγῆς, οὕτω τοῦ πονηροῦ πνεύματος διὰ τῆς

εἰς χριστὸν πίστεως. μετατίθεται τὸν πόθον, ὠθεῖ πολὺ μὲν ἀπιστούμενος καὶ ἀποπεμπόμενος. καὶ γοῦν ἐδόκει τὸ πρᾶγμα τῶν ἀπίστων εἶναι καὶ θαυμασίων, κυπριανὸν ἐν χριστιανοῖς ἀριθμηθῆναί ποτε, ὃ καὶ πάντες ἄνθρωποι. μετατίθεται δ' οὖν. καὶ ἀπόδειξις τῆς μεταβολῆς ἐναργής. προτίθησι δημοσίᾳ τὰς γοητικὰς βίβλους, θριαμβεύει τοῦ πονηροῦ θησαυροῦ τὴν ἀσθένειαν, κηρύσσει τὴν ἄνοιαν, λαμπρὰν δὲ αὐτῶν αἴρει τὴν φλόγα, πυρὶ δαπανᾷ τὴν μακρὰν ἀπάτην, ἣ μιᾷ φλογὶ σαρκὸς οὐκ ἐπήμωσεν. ἀφίσταται τῶν δαιμόνων, οἰκειοῦται θεῷ. ὢ τῆς χάριτος, ὅση. θεὸν εὑρίσκει πονηρῷ πόθῳ καὶ πνεύματι, πρόβατον ἱερὸν τῆς ἱερᾶς γίνεται ποίμνης. ὡς δὲ ἐστώ τινος ἤκουε, καὶ νεωκόρος, πολλὰ δεηθεὶς, ἵνα φιλοσοφήσῃ τὸ ταπεινὸν, εἰς κάθαρσιν τῆς προτέρας ἀλαζονείας. εἶτα ποιμὴν, καὶ ποιμένων ὅτι κράτιστος τε καὶ δοκιμώτατος. οὐ γὰρ τῆς καρχηδονίων προκαθέζεται μόνον ἐκκλησίας, οὐδὲ τῆς ἐξ ἐκείνου καὶ δι' ἐκεῖνον περιβοήτου μέχρι νῦν ἀφρικῆς, ἀλλὰ καὶ πάσης τῆς ἑσπερίου, σχεδὸν δὲ καὶ τῆς ἑῴας αὐτῆς, νοτίου τε καὶ βορείου λήξεως, ἐφ' ὅσα ἐκεῖνος ἦλθε τῷ θαύματι. οὕτω κυπριανὸς ἡμέτερος γίνεται. ταῦτα ὁ τῶν σημείων καὶ τεράτων θεός. ταῦτα ὁ τὸν ἰωσὴφ ἀγαγὼν εἰς αἴγυπτον ὤνιον, διὰ ἀδελφῶν ἐπη-

ρείας, καὶ ἐν γυναικὶ δοκιμάσας, καὶ ἐν σιτοδο-
σίᾳ δοξάσας, καὶ ἐν ἐνυπνίοις σοφίσας, ἵν' ἐπὶ
ξένης πιστευθῇ, καὶ ὑπὸ φαραὼ τιμηθῇ. καὶ
πατὴρ γίνεται πολλῶν μυριάδων, δι' ἃς αἴγυ-
πτος βασανίζεται, θάλασσα τέμνεται, ἄρτος
ὕεται, ἥλιος ἵσταται, γῆ τῆς ἐπαγγελίας κλη-
ροδοτεῖται. οἶδε γὰρ πόῤῥωθεν καταβάλλεσθαι
τῶν μεγάλων πραγμάτων ἡ σοφία τὰς ὑποθέ-
σεις, καὶ διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖ-
σθαι, ἵνα καὶ μᾶλλον θαυμάζηται. ἀπόχρη καὶ
ταῦτα τῶν κυπριανοῦ καλῶν, εἰς μέτρον εὐφη-
μίας τελεωτάτης. νῦν δὲ τοσαῦτα ἐστι τὰ λει-
πόμενα καὶ τοιαῦτα, ὥστε εἰ καὶ μηδὲν αὐτῷ τῶν
προειρημένων ὑπῆρχεν εἰς ἔπαινον, ἐξαρκεῖν τοῖς
ἑξῆς νικᾶν ἅπαντας. ἵνα γοῦν τὰ ἐν μέσῳ συν-
τέμω, τὴν τῶν χρημάτων περιφρόνησιν, τὴν τοῦ
τύφου κατάλυσιν, τὴν τοῦ σώματος παιδαγω-
γίαν καὶ καθαρότητα τῶν προτέρων ὁρμῶν
ἀντίπαλον, τὸ περὶ τὴν ἐσθῆτα φιλόσοφον, τὸ
περὶ τὰς ἐντεύξεις ὑψηλόν τε ὁμοῦ καὶ φιλάν-
θρωπον, ὡς ἴσον ἀπέχειν εὐτελείας καὶ αὐθαδείας,
τὰς χαμευνίας, τὰς ἀγρυπνίας, ὅς καίτοι τῶν
τοιούτων ὀψιμαθὴς ὤν, κατὰ πολὺ τῶν προειλη-
φότων ἐκράτει. τὴν περὶ λόγους φιλοτιμίαν,
ἐξ ὧν ἦθος ἅπαν ἐπαίδευσε, καὶ δογμάτων ἀ-
παιδευσίαν ἐκάθηρε, καὶ ἀνδρῶν βίους ἐκόσμη-

σε, καὶ τῆς ἀρχικῆς καὶ βασιλικῆς τριάδος τὴν θεότητα τεμνομένην, ἔστι δὲ ὑφ' ὧν καὶ συναλειφομένην, εἰς τὸ ἀρχαῖον ἐπανήγαγεν, ἐν ὅροις μείνας εὐσεβοῦς ἑνώσεώς τε καὶ συναριθμήσεως. ἵνα ταῦτα συνέλω διὰ τὴν ἀμετρίαν, τῇ τοῦ βίου καταλύσει συγκαταλύσω τὸν λόγον.

Ἐμαίνετο καθ' ἡμῶν Δέκιος, καὶ πάσας ἰδέας κολάσεων ἐπενόει, καὶ τὰ μὲν ἤδη παρῆν τῶν δεινῶν, τὰ δὲ ἔμελλεν. ἴσον δὲ ἀγώνισμα ποιεῖται καὶ χριστιανοὺς ἑλεῖν, καὶ τοὺς πρὸ αὐτοῦ διώκτας ὑπερβαλεῖν. μᾶλλον δὲ ἢ χριστιανοὺς πάντας, ἢ Κυπριανὸν μόνον ἑλεῖν τε καὶ παραστήσασθαι. ὅσῳ γὰρ εὐσεβείᾳ τε καὶ δόξῃ διαφέρειν τὸν ἄνδρα ἐγίνωσκε, τοσούτῳ καὶ τὴν νίκην ἑαυτῷ περιφανεστέραν ἑώρα καὶ λαμπροτέραν, εἰ τούτου κρατήσειεν. ἐκείνως μὲν χριστιανῶν μόνον ὑπάρχειν κρατεῖν. οὕτω δὲ καὶ φιλοσοφίας αὐτῆς καὶ λόγων, καὶ τὴν γλῶσσαν περιελεῖν πρότερον, εἶτα ἀφώνους ἀπαγαγεῖν καὶ ἀλόγους τοὺς ὑπ' ἐκείνης φερομένους, ἀρίστης εἶναι στρατηγίας ἐνόμιζεν. οὐκ ὀρθῶς μὲν οὐδὲ εὐσεβῶς ταῦτα διανοούμενος, οὐ μὴν παντάπασιν ἀλογίστως, πρός γε τὴν ἑαυτοῦ βούλησιν καὶ ἐπιχείρησιν. ἔδειξε δὲ τὸ ἔργον. ἐπειδὴ γὰρ ἅπασαν προσβολήν τε καὶ πεῖραν, ἀνδρικῶς τε καὶ γενναίως ἀποσεισάμενος, ὥσπερ τις πέτρα παράλιος, κυμάτων ἐπι-

δρομάς, τέλος ἐξορίαν ὑπ' αὐτοῦ κατακρίνεται, οὐ τὸ καθ' ἑαυτὸν ἔστερξεν ὁ γεννάδας, οὐδὲ ἠγάπα σωζόμενος, οὐδὲ ἀσφάλειαν τῷ σώματι μᾶλλον τὴν ἀτιμίαν ἐνόμιζεν, ἢ ψυχῆς κίνδυνον τὴν ἡσυχίαν, καὶ τὸ περιορᾶν τοὺς ἄλλους τῷ καιρῷ κινδυνεύοντας, οὐκ ὄντος τοῦ παιδοτριβοῦντος, καὶ πρὸς τὸν ἀγῶνα θαῤῥύνοντος. οὐ γὰρ μικρὸν δύνασθαι καὶ λόγον εἰς ἀνδρίας προσθήκην τοῖς ἀποδυομένοις, πρὸς τὸ τῆς ἀρετῆς στάδιον. διὰ τοῦτο τῷ σώματι μὲν ἀπῆν, τῷ πνεύματι δὲ παρῆν, καὶ τοῖς ἀθλοῦσι συνηγωνίζετο. καὶ τῇ γλώσσῃ μὲν βοηθεῖν οὐκ εἶχεν, βοηθεῖ δὲ τῷ γράμματι. πῶς; ἀλείπτης ὑπερόριος γίνεται, τοὺς προτρεπτικοὺς συγγράφων, καὶ λογογραφῶν τὴν εὐσέβειαν. καὶ πλείους ἐκεῖνος σχεδὸν ἐξ ἐπιστολῶν ποιεῖται μάρτυρας μόνος, ἢ πάντες δι' ἑαυτὸν οἱ παρόντες τοῖς τότε κάμνουσι. πείθει γὰρ μὴ πατρίδα, μὴ γένος, μὴ περιουσίαν, μὴ δυναστείαν, μὴ ἄλλο τι τῶν χαμαὶ κειμένων ἔμπροσθεν ἄγειν τῆς ἀληθείας, καὶ τῶν ἐκεῖθεν ἀποκειμένων ἄθλων τῆς ἀρετῆς, τοῖς ὑπὲρ τοῦ καλοῦ κινδυνεύουσι. καὶ ταύτην εἶναι πραγματειῶν ἀρίστην, αἵματος ὀλίγου βασιλείαν οὐρανῶν ὠνήσασθαι, καὶ δόξης ἀϊδιότητα τῶν προσκαίρων ἀντιλαβεῖν ἀγαθῶν. μίαν μὲν γὰρ εἶναι πατρίδα τοῖς ὑψηλοῖς τὴν νοουμένην ἱερουσαλήμ, οὐ τὰς μικροῖς ὁρίοις

ἐνταῦθα διειλημμένας, καὶ πολλοὺς ἀμείβουσας οἰκήτορας. μίαν δὲ γένους λαμπρότητα, τὴν τῆς εἰκόνος τήρησιν, καὶ πρὸς τὸ ἀρχέτυπον ἐξομοίωσιν, ὅσον ἐφικτὸν τοῖς σαρκὸς δεσμίοις, καὶ βραχεῖαν ἀπόῤῥοιαν τοῦ καλοῦ δέξασθαι δυναμένοις. μίαν δὲ δυναστείαν, τὸ κατὰ τοῦ πονηροῦ κράτος, καὶ τὸ τῆς ψυχῆς ἀνάλωτον καὶ ἀήττητον, ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν, ἡνίκα κακία πρὸς ἀρετὴν ἀγωνίζηται, καὶ κόσμος πρὸς κόσμον, ὁ λυόμενος πρὸς τὸν ἑστῶτα, καὶ πικρὸς ἀγωνοθέτης, πρὸς γενναίους ἀγωνιστὰς, καὶ βελίαρ πρὸς χριστὸν παρατάσσηται. διὰ ταῦτα καταφρονεῖν μὲν ξιφῶν ἀνέπειθε, ψυχρὸν δὲ νομίζειν τὸ πῦρ, ἡμέρους δὲ οἴεσθαι θηρῶν τοὺς ἀγριωτάτους, λιμὸν δὲ ὑπολαμβάνειν τὴν ἀνωτάτω τρυφήν. δάκρυα δὲ τῶν οἰκείων καὶ θρήνους καὶ οἰμωγὰς παρατρέχειν, ὡς τοῦ πονηροῦ δελεάσματα, καὶ κωλύματα τῆς θείας ὁδοιπορίας. ταῦτα γὰρ εἶναι ἀνδρικῶν ψυχῶν καὶ γενναίων, καὶ λογισμοῦ σώφρονος, καὶ τὸ παράδειγμα ἐγγύθεν, αὐτὸς ὁ ταῦτα λέγων καὶ γράφων, πάντα ἡγησάμενος σκύβαλα, ἵνα χριστὸν κερδήσῃ. οὕτω διανοούμενος κυπριανὸς, καὶ οὕτως ὁπλίζων τοῖς λόγοις πρὸς τὸν ἀγῶνα, πολλοὺς ἀθλητὰς ἀπειργάζετο. καὶ τίνα μισθὸν τούτων κομίζεται; ὡς δαψιλῆ καὶ φιλότιμον. μάρτυς ἐστὶ

πᾶσιν,

πᾶσιν, οἷς προέπεμψε, γίνεται, ξίφει τὴν κεφαλὴν τμηθεὶς, καὶ ταῖς πολλαῖς βασάνοις, ταύτην ἐπιτίθησι τὴν κορωνίδα. οὕτω χριστῷ προσάγεται, οὕτω πρὸς χριστὸν μετατίθεται, ὁ πολὺς ἐν ἀσεβείᾳ, καὶ πλείων ἐν εὐσεβείᾳ. κυπριανὸς ὁ μέγας καὶ διώκτης καὶ στεφανίτης. ὁ τὴν μεταβολὴν οὐχ ἧττον, ἢ τὴν ἀρετὴν θαυμάσιος. οὐ γὰρ οὕτω μέγα, τύπον ἀγαθοῦ διασώσασθαι, ὡς τὸ καινοτομῆσαι θεοσέβειαν. τὸ μὲν γὰρ τῆς συνηθείας, τὸ δὲ τῆς εὐβουλίας. καὶ τὸ μὲν τῶν πολλοῖς ὑπαρχόντων, τοῦ δὲ ὀλίγα τὰ παραδείγματα. ἀλλ' οἷον δὴ κἀκεῖνο τῶν ἐκείνου θαυμάτων, μικρὸν ἔτι τῷ λόγῳ προσκαρτερήσωμεν, ἵνα τῷ ἀθλητῇ χαρισώμεθα. Τοιαύτη μὲν ἡ τοῦ ἀνδρὸς πολιτεία, τοιοῦτος δὲ ὁ τῆς ἀθλήσεως τρόπος. ἐπεὶ δὲ καταλύει τὸν βίον, εἰ θέμις τοῦτο εἰπεῖν, ἀλλὰ μὴ πρὸς θεὸν ἐκδημίαν ὀνομάσαι τὸ ἐκείνου πρᾶγμα, ἢ πόθου πλήρωσιν, ἢ δεσμῶν λύσιν, ἢ βάρους διάζευξιν, θαυματουργεῖταί τι κἀνταῦθα τῶν προειληφότων ἄξιον. τὸ μὲν ὄνομα πολὺ παρὰ πᾶσι κυπριανοῦ καὶ οὐ χριστιανοῖς μόνον, ἀλλὰ καὶ τοῖς τὴν ἐναντίαν ἡμῖν τεταγμένοις. πᾶσι γὰρ ὁμοίως τὸ καλὸν αἰδέσιμον, τὸ σῶμα δὲ ἀφανὲς ἦν, καὶ ὁ θησαυρὸς παρά τινι γυναίῳ τῶν θερμῶν εἰς εὐσέβειαν, καὶ τοῦτο ᾔδει μακρὸν, οὐκ οἶδ' ὅτι τιμῶντος τοῦ θεοῦ τὴν

φιλόθεον, καὶ διὰ τοῦτο περιεχομένην τοῦ μάρτυρος, εἴτε τὸν πόθον ἡμῶν γυμνάζοντος, εἰ μὴ φέροιμεν ζημιούμενοι, καὶ τῶν ἁγίων λειψάνων ἀποστερούμενοι. ἐπεὶ δὲ οὐκ ἠνέσχετο, τὸ πάντων ἀγαθὸν, ἴδιον ποιῆσαί τινος ὁ τῶν μαρτύρων θεὸς, οὐδὲ τὸ κοινὸν ζημιῶσαι τῇ πρὸς ἐκείνην χάριτι, δημοσιεύει τὸ σῶμα δι' ἀποκαλύψεως. καὶ ταύτην γυναικί τινι τῶν ἀξίων τὴν τιμὴν κατατιθέμενος, ἵν' ἁγιασθῶσι καὶ γυναῖκες, ὥσπερ χριστὸν καὶ τεκοῦσαι πρότερον, καὶ τοῖς μαθηταῖς ἀπαγγείλασαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. οὕτω καὶ νῦν κυπριανὸν, ἡ μὲν παραδείξασα, ἡ δὲ παραδοῦσα τὸ κοινὸν ὄφελος. τοῦτο τῶν ἐκείνου καλῶν τὸ τελευταῖον. οὕτως εἰς μέσον ἔρχεται ὁ τοῦ μὴ λαθεῖν ἄξιος, καὶ οὐ συγχωρεῖται φιλοσοφῆσαι τὴν ἑαυτοῦ κλοπὴν, ἐπειδὴ καὶ τῶν ὧδε τοῖς σώμασι τιμῶν, κρείσσων ἐκεῖνος καὶ ὑψηλότερος. τὰ μὲν οὖν παρ' ἡμῶν τοσαῦτα, καὶ οὐκ οἶδ' ὅτι δεῖ πλείονα λέγειν. οὐδὲ γὰρ εἰ μακρὸν ἀποτείναιμεν λόγον, εἴποιμεν ἄν τι τῶν ἐκείνῳ προσόντων ἄξιον, καὶ ὧν ἕκαστος περὶ τοῦ ἀνδρὸς ὑπείληφεν. καὶ ταῦτα ὅσον ἀφοσιώσασθαι τὴν ὀφειλομένην ἐκείνῳ τιμὴν διήλθομεν. τὰ δὲ λοιπὰ παρ' ὑμῶν αὐτῶν προσθετέον, ἵνα τι καὶ αὐτοὶ τῷ μάρτυρι προσενέγκητε, τὴν τῶν δαιμόνων καθαίρεσιν, τὴν τῶν νό-

σων κατάλυσιν, τὴν τοῦ μέλλοντος πρόγνωσιν. ἃ πάντα δύναται κυπριανοῦ καὶ ἡ κόνις μετὰ τῆς πίστεως, ὡς ἴσασιν οἱ πεπειραμένοι, καὶ τὸ θαῦμα μέχρις ἡμῶν παραπέμψαντες, καὶ τῷ μέλλοντι παραδώσοντες χρόνῳ. μᾶλλον δὲ τὰ μείζω τούτων προεισενέγκατε, καὶ οἷα τοὺς ἐκεῖνον γνησίως τιμῶντας εἰκός. σώματος κένωσιν, ψυχῆς ἀνάβασιν, κακίας ἀποφυγὴν, ἀρετῆς ἐπίδοσιν. αἱ παρθένοι τὴν ἀσαρκίαν, αἱ γυναῖκες τὴν εὐκοσμίαν, ἀρετῆς μᾶλλον ἢ σώματος. οἱ νέοι, τὴν κατὰ τῶν παθῶν ἀνδρίαν. οἱ πρεσβῦται, τὴν εὐβουλίαν. οἱ ἐν δυναστείᾳ, τὴν εὐνομίαν. οἱ ἐν στρατηγίᾳ τὴν ἡμερότητα. οἱ ἐν λόγοις, τὸ εὔλογον. εἴ πού τι καὶ τῶν ἡμετέρων. οἱ ἱερεῖς, τὴν μυσταγωγίαν. οἱ τοῦ λαοῦ, τὴν εὐπείθειαν. οἱ ἐν πένθει, τὴν παράκλησιν. οἱ ἐν εὐημερίᾳ, τὸν φόβον. οἱ πλούσιοι, τὴν μετάδοσιν. οἱ πένητες, τὴν εὐχαριστίαν. πάντες τὴν κατὰ τοῦ πονηροῦ καὶ πικροῦ διώκτου παράταξιν. ἵνα μὴ φαινόμενος βάλλῃ, μὴ τοξεύῃ κρυπτόμενος, μὴ ὡς σκότος πολεμῇ, μὴ ὡς ἄγγελος φωτὸς παίζῃ, καὶ κλέπτῃ πρὸς τὸ τῆς ἀπωλείας βάραθρον. δεινὸν ὀφθαλμοῖς ἁλῶναι, καὶ γλώσσῃ τρωθῆναι, καὶ ἀκοῇ δελεασθῆναι, καὶ διὰ θυμοῦ ζέοντος ἐμπρησθῆναι, καὶ γεύσει κατενεχθῆναι, καὶ ἁφῇ μαλακισθῆναι, καὶ τοῖς ὅπλοις τῆς σωτηρίας, ὅπλοις

θανάτου χρήσασθαι. δέον τῷ θυρεῷ φραξαμέ-
νους τῆς πίστεως, στῆναι πρὸς τὰς μεθοδείας τοῦ
πονηροῦ, καὶ μετὰ χριστοῦ νικήσαντας, καὶ μετὰ τῶν
μαρτύρων ἀθλήσαντας, τῆς μεγάλης ἐκείνης ἀκοῦ-
» σαι φωνῆς. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου,
» κληρονομήσατε τὴν ἐπηγγελμένην ὑμῖν βασι-
λείαν, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία,
καὶ χορευόντων χορείαν τὴν ἀκατάλυτον. ἔνθα
ἦχος ἑορταζόντων, καὶ φωνὴ ἀγαλλιάσεως, καὶ
θεότητος ἔλλαμψις τελεωτέρα τε καὶ καθαρω-
τέρα, ἧς νῦν ἐν αἰνίγμασι καὶ σκιαῖς ἡ ἀπόλαυσις.

Τούτοις κυπριανὸς χαίρει μᾶλλον τιμώμενος,
ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις. ταῦτα καὶ παρὼν
ἐφιλοσόφει τῷ λόγῳ, ἅμα δὲ τῷ βίῳ, καὶ ἀπὼν
πᾶσι διακελεύεται διὰ τῆς ἡμετέρας φωνῆς·
ἣν μηδαμῶς ἀτιμάσητε, εἴπερ τι μέλει τῆς ἐκεί-
νου καρτερίας ὑμῖν, καὶ τῶν ἐκείνου ὑπὲρ τῆς
ἀληθείας ἀγωνισμάτων, κἀμοῦ τοῦ ταῦτα πρεσ-
βεύοντος. αὗταί σοι τῶν ἐμῶν λόγων αἱ ἀπαρ-
χαὶ ὦ θεία καὶ ἱερὰ κεφαλή. τοῦτό σοι καὶ τῶν
λόγων γέρας καὶ τῆς ἀθλήσεως, οὐ κότινος ὀλυμ-
πικὸς, οὔτε μῆλα δελφικὰ παίγνια, οὐδὲ ἰσθμια-
κὴ πίτυς, οὐδὲ νεμεαίας σέλινα, δι' ὧν ἔφηβοι δυσ-
τυχεῖς ἐτιμήθησαν, ἀλλὰ λόγος τὸ πάντων οἰ-
κειότατον τοῖς λόγου θεραπευταῖς, ὃ δὲ καὶ τῶν
σῶν ἄθλων καὶ λόγων ἄξιον, τοῦ λόγου τὸ δῶρον.

σὺ δὲ

σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν ἵλεως, καὶ τὸν ἡμέτερον διεξάγοις λόγον καὶ βίον, καὶ τὸ ἱερὸν τοῦτο ποίμνιον ποιμαίνοις, ἢ συμποιμαίνοις, τά τε ἄλλα εὐθύνων ὡς οἷόν τε πρὸς τὸ βέλτιστον, καὶ τοὺς βαρεῖς λύκους ἀποπεμπόμενος, τοὺς θηρευτὰς τῶν συλλαβῶν καὶ τῶν λέξεων, καὶ τὴν τῆς ἁγίας τριάδος ἔλλαμψιν, ἧς σὺ νῦν παραστάτης, τελεωτέραν τε καὶ λαμπροτέραν ἡμῖν χαριζόμενος. ἣν προσκυνοῦμεν, ἣν δοξάζομεν, ᾗ συμπολιτευόμεθα προσκυνοῦντες πατέρα ἐν υἱῷ, υἱὸν ἐν ἁγίῳ πνεύματι. ᾗ καὶ παρασταίημεν ὕστερον, εἰλικρινεῖς καὶ ἀπρόσκοποι, ἧς καὶ μεταλάβοιμεν τέλειοι τελείως, ἐν αὐτῷ χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου εἰς τοὺς μακκαβαίους λόγος.

Τί δὲ οἱ μακκαβαῖοι; τούτων γὰρ ἡ παροῦσα πανήγυρις, οὐ παρὰ πολλοῖς μὲν τιμωμένων, ὅτι μὴ μετὰ χριστὸν ἡ ἄθλησις. πᾶσι δὲ τιμᾶσθαι ἀξίων, ὅτι περὶ τῶν πατρίων ἡ καρτερία. καὶ οἱ πρὸ τῶν χριστοῦ παθῶν μαρτυρήσαντες, τί ποτε δράσειν ἔμελλον

μετὰ χριστὸν διωκόμενοι, καὶ τὸν ἐκείνου ὑπὲρ ἡμῶν μιμούμενοι θάνατον; οἱ γὰρ χωρὶς ὑποδείγματος τοιοῦτοι, τοσοῦτοι τὴν ἀρετήν, πῶς οὐκ ἂν ὤφθησαν γενναιότεροι μετὰ τοῦ ὑποδείγματος κινδυνεύοντες; καὶ ἅμα μυστικός τις καὶ ἀπόῤῥητος οὗτος ὁ λόγος, σφόδρα πιθανός, ἔμοιγ' οἶμαι, καὶ πᾶσι τοῖς φιλοθέοις, μηδένα τῶν πρὸ τῆς χριστοῦ παρουσίας τελειωθέντων, δίχα τῆς εἰς χριστὸν πίστεως τούτου τυχεῖν. ὁ γὰρ λόγος, ἐπαῤῥησιάσθη μὲν ὕστερον καιροῖς ἰδίοις, ἐγνωρίσθη δὲ καὶ πρότερον τοῖς καθαροῖς τὴν διάνοιαν, ὡς ἐκ πολλῶν δῆλον τῶν πρὸ ἐκείνου τετιμημένων. οὐκ οὖν ὅτι πρὸ τοῦ σταυροῦ τοιοῦτοι, περιοπτέοι, ἀλλ' ὅτι καὶ μετὰ τὸν σταυρὸν ἐπαινετοί, καὶ τῆς ἐκ τῶν λόγων τιμῆς ἄξιοι. οὐχ ἵνα προσθήκην ἢ δόξαν λάβωσιν, τίνα γάρ, ὧν ἡ πρᾶξις ἔχει τὸ ἔνδοξον; ἀλλ' ἵνα δοξασθῶσιν οἱ εὐφημοῦντες, καὶ ζηλώσωσι τὴν ἀρετὴν οἱ ἀκούοντες, ὥσπερ κέντρῳ τῇ μνήμῃ πρὸς τὰ ἴσα διανιστάμενοι. οὗτοι, τίνες μὲν ὄντες καὶ ὅθεν, καὶ ἐξ οἵας ὁρμώμενοι τὸ ἀπαρχῆς ἀγωγῆς καὶ παιδεύσεως, εἰς τοσοῦτον ἀρετῆς καὶ δόξης προεληλύθασιν, ὥς τε καὶ ταῖς ἐτησίοις ταύταις τιμᾶσθαι πομπαῖς τε καὶ πανηγύρεσι, καὶ μείζονα τῶν ὁρωμένων τὴν περὶ αὐτῶν δόξαν ἐναποκεῖσθαι ταῖς ἁπάντων ψυχαῖς. ἡ περὶ αὐτῶν βίβλος δηλώσει τοῖς

σει τοῖς φιλομαθέσι καὶ φιλοπόνοις, ἣ περὶ τοῦ αὐτοκράτορα εἶναι τῶν παθῶν τὸν λογισμὸν, φιλοσοφοῦσα, καὶ κύριον τῆς ἐπ' ἄμφω ῥοπῆς, ἀρετήν τε φημὶ καὶ κακίαν. ἄλλοις τε γὰρ οὐκ ὀλίγοις ἐχρήσατο μαρτυρίοις, καὶ δὴ καὶ τοῖς τούτων ἀθλήμασιν, ἐμοὶ δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει. ἐλεάζαρ ἐνταῦθα τῶν πρὸ χριστοῦ παθόντων ἡ ἀπαρχὴ, ὥσπερ τῶν μετὰ χριστὸν στέφανος, ἀνὴρ ἱερεὺς καὶ πρεσβύτης, πολιὸς τὴν τρίχα, πολιὸς τὴν φρόνησιν. πρότερον μὲν καὶ προθυόμενος τοῦ λαοῦ, καὶ προσευχόμενος, νῦν δὲ καὶ τελεώτατον θῦμα προσάγων ἑαυτὸν τῷ θεῷ, παντὸς τοῦ λαοῦ καθάρσιον. προοίμιον ἀθλήσεως δεξιὸν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις. προσάγων δὲ καὶ τοὺς ἑπτὰ παῖδας, τὰ τῆς ἑαυτοῦ παιδείας ἀποτελέσματα, θυσίαν ζῶσαν ἁγίαν, εὐάρεστον τῷ θεῷ, πάσης νομικῆς ἱερουργίας λαμπροτέραν τε καὶ καθαρωτέραν. τὰ γοῦν τῶν παίδων, τῷ πατρὶ λογίζεσθαι, τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων. παῖδες ἐκεῖ γενναῖοι καὶ μεγαλόψυχοι, μητρὸς εὐγενοῦς, εὐγενῆ βλαστήματα. φιλότιμοι τῆς ἀληθείας ἀγωνισταί. τῶν ἀντιόχου καιρῶν ὑψηλότεροι. τοῦ μωσέως νόμου μαθηταὶ γνήσιοι. τῶν πατρίων ἐθῶν ἀκριβεῖς φύλακες. ἀριθμὸς τῶν παρ' ἑβραίοις ἐπαινουμένων, τῷ τῆς ἑβδο-

ματικῆς ἀναπαύσεως μυστηρίῳ τιμώμενος. ἓν
πνέοντες, πρὸς ἓν βλέποντες, μίαν ζωῆς ὁδὸν
εἰδότες, τὸν ὑπὲρ τοῦ θεοῦ θάνατον. οὐχ ἧττον
ἀδελφοὶ τὰς ψυχάς, ἢ τὰ σώματα. ζηλοτυποῦν-
τες ἀλλήλους τῆς τελευτῆς. ὢ τοῦ θαύματος.
προαρπάζοντες ὥσπερ θησαυροὺς τὰς βασά-
νους, ὑπὲρ τοῦ παιδαγωγοῦ νόμου προκινδυνεύοντες.
οὐ τὰς προκειμένας τῶν βασάνων μᾶλλον φο-
βούμενοι, ἢ τὰς λειπομένας ἐπιζητοῦντες. ἓν
τοῦτο φοβούμενοι μόνον, μὴ ἀπείπῃ κολάζων ὁ
τύραννος, καὶ ἀπέλθωσί τινες αὐτῶν ἀστεφά-
νωτοι, καὶ διαζευχθῶσι τῶν ἀδελφῶν ἄκοντες,
καὶ τὴν κακὴν νίκην νικήσωσι, τὸ μὴ παθεῖν κιν-
δυνεύσαντες. μήτηρ ἐκεῖ νεανικὴ καὶ γενναία, φι-
λόπαις ὁμοῦ καὶ φιλόθεος, καὶ τὰ μητρῷα σπλάγ-
χνα σπαρασσομένη παρὰ τὸ εἰκὸς τῆς φύσεως. οὐ
γὰρ πάσχοντας ἠλέει τοὺς παῖδας, ἀλλ' ἠγωνία
τὸ μὴ παθεῖν, οὐδὲ τοὺς ἀπελθόντας ἐπόθει μᾶλ-
λον, ἢ προστεθῆναι τοὺς ὑπολειφθέντας ηὔχετο,
καὶ τούτων ἦν αὐτῇ πλείων ὁ λόγος, ἢ τῶν με-
ταστάντων. τῶν μὲν γὰρ ἀμφίβολος ἡ πάλη,
τῶν δὲ ἀσφαλὴς ἡ κατάλυσις. καὶ τοὺς μὲν ἤδη
θεῷ παρετίθετο, τοὺς δὲ ὅπως λάβῃ θεὸς ἐφρόν-
τιζεν. ὢ ψυχῆς ἀνδρείας, ἐν γυναικείῳ τῷ σώ-
ματι. ὢ θαυμασίας ἐπιδόσεως καὶ μεγαλοψύ-
χου. ὢ τῆς ἀβραμιαίου θυσίας ἐκείνης, εἰ μή τι

τολμητέον,

τολμητέον, καὶ μείζων. ὁ μὲν γὰρ ἕνα προσάγει προθύμως, εἰ καὶ τὸν μονογενῆ, καὶ τὸν ἐκ τῆς ἐπαγγελίας, καὶ εἰς ὃν ἡ ἐπαγγελία, καὶ τὸ μεῖζον, ὅτε μὴ τοῦ γένους μόνον, ἀλλὰ καὶ τῶν τοιούτων θυμάτων, ἀπαρχὴ καὶ ῥίζα καθίσταται. ἡ δὲ, δῆμον ὅλον παίδων καθιέρωσε τῷ θεῷ, νικήσασα καὶ μητέρας καὶ ἱερέας τοῖς θύμασι προθύμοις εἰς σφαγὴν, ὁλοκαυτώμασι λογικοῖς, ἱερείοις ἐπειγομένοις. ἡ μαστοὺς παρεδείκνυ, καὶ ἀναστροφῆς ὑπεμίμνησκε, καὶ προέτεινε τὴν πολιὰν, καὶ τὸ γῆρας ἀνθ' ἱκετηρίας προυβάλλετο. οὐ σωτηρίαν ζητοῦσα, τὸ δὲ παθεῖν ἐπείγουσα, καὶ κινδυνεύειν ἡγουμένη τὴν ἀναβολὴν, οὐ τὸν θάνατον. ἣν οὐδὲν ἔκαμψεν, οὐδὲ ἐμαλάκισεν, οὐδὲ ἀτολμοτέραν ἐποίησεν οὐκ ἀρθρέμβολα προτεινόμενα, οὐ τροχοὶ προβαλλόμενοι, οὐ τροχαντῆρες, οὐ καταπέλται, οὐκ ἀκμαὶ σιδηρῶν ὀνύχων, οὐ θῆρες ζέοντες, οὐ ξίφη θηγόμενα, οὐ λέβητες ζέοντες, οὐ πῦρ ἐγειρόμενον, οὐ τύραννος ἀπειλῶν, οὐ δῆμος, οὐ δορυφόρος κατεπείγων, οὐ γένος ὁρώμενον, οὐ μέλη διασπώμενα, οὐ σάρκες ξαινόμεναι, οὐχ αἵματος ὀχετοὶ ῥέοντες, οὐ νεότης δαπανωμένη, οὐ τὰ παρόντα δεινὰ, οὐ τὰ προσδοκώμενα χαλεπά. καὶ ὃ τοῖς ἄλλοις βαρύτατόν ἐστιν ἐν τοῖς τοιούτοις, ἡ τοῦ κινδύνου παρέκτασις, τοῦτο ἐκείνῃ τὸ κουφότατον ἦν. ἐνετρύ-

φαγοὺρ τῷ θεάματι, καὶ γάρ πως καὶ τριβὴν ἐνεποίει τοῖς πάθεσιν, οὐ τὸ ποικίλον τῶν προσαγομένων βασάνων μόνον, ὧν πασῶν ὡς οὐδὲ εἷς μιᾶς κατεφρόνουν. ἀλλὰ καὶ οἱ τοῦ διώκτου λόγοι πολυειδεῖς ὄντες, ὑβρίζοντος, ἀπειλοῦντος, θωπεύοντος, τί γὰρ οὐ κινοῦντος πρὸς τὸ τυχεῖν ὧν ἤλπιζε, καὶ μέντοι καὶ τῶν παίδων αἱ πρὸς τὸν τύραννον ἀποκρίσεις, τοσοῦτον ἔχουσαι τὸ σοφὸν ὁμοῦ καὶ γενναῖον, ὥστε μικρὰ μὲν εἶναι πρὸς τὴν ἐκείνων καρτερίαν, ἅπαντα τὰ τῶν ἄλλων καλὰ εἰς ἓν συναχθέντα, μικρὰν δὲ τὴν καρτερίαν πρὸς τὴν ἐκείνων ἐν λόγοις σύνεσιν, ὥστε τῶν αὐτῶν εἶναι μόνων, πάσχειν τε οὕτω καὶ φιλοσοφεῖν ἐν ταῖς ἀποκρίσεσι, πρὸς τὰς τοῦ διώκοντος ἀπειλὰς, καὶ τοὺς προτεινομένους φόβους, ὧν οὐδενὸς ἡττῶντο οἱ γενναῖοι παῖδες, καὶ ἡ γενναιοτέρα τεκοῦσα. πάντων δὲ ἑαυτὴν ὑπεράνω θεῖσα, καὶ τῷ φίλτρῳ τὸν θυμὸν μίξασα, καλὸν ἐντάφιον δίδωσι τοῖς παισὶν ἑαυτὴν, ἐπαπελθοῦσα τοῖς προαπελθοῦσι. καὶ τοῦτο πῶς; ἑκουσίως ἐπὶ τοὺς κινδύνους χωρήσασα, ὡς ἂν μὴ δὲ σῶμα ψαύσειεν ἄναγνον ἁγνοῦ καὶ γενναίου σώματος. καὶ μεθ᾽ οἵων τῶν ἐπιταφίων; καλοὶ μὲν γὰρ καὶ οἱ τῶν παίδων πρὸς τὸν τύραννον λόγοι καὶ καλῶν κάλλιστοι. πῶς γὰρ οὔ; μεθ᾽ ὧν παρετάξαντο, καὶ οἷς τὸν τύραννον ἔβαλ-

λον. καλλίους δὲ οἱ τῆς μητρὸς, καὶ παρακλητικοὶ πρότερον, καὶ ὕστερον ἐπιτάφιοι. τίνες οὖν οἱ τῶν παίδων λόγοι; καλὸν γὰρ ἀπομνημονεῦσαι καὶ τούτων ὑμῖν, ἵν' ἔχητέ τινα τύπον, ὥσπερ ἀθλήσεως, οὕτω καὶ λόγων μαρτυρικῶν, ἐν τοῖς τοιούτοις καιροῖς. ἄλλου μὲν ἄλλοι, καὶ ὡς ἕκαστον οἱ τοῦ διώκοντος λόγοι, ἢ τῶν κινδύνων ἡ τάξις, ἢ τῆς ψυχῆς τὸ φιλότιμον ὥπλιζεν, ὡς δ' ἐν τύπῳ περιλαβεῖν, ἦσαν τοιοῦτοι. ἡμῖν αὐτίοχε καὶ πάντες οἱ παρεστηκότες, εἷς μὲν βασιλεὺς ὁ θεὸς, παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέψομεν. εἷς δὲ νομοθέτης μωσῆς, ὃν οὐ προδώσομεν, οὐδὲ καθυβρίσομεν, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνους, καὶ τὰ πολλὰ θαύματα, οὐδ' ἂν ἡμῖν ἄλλος αὐτίοχος ἀπειλῇ, σοῦ χαλεπώτερος. μία δὲ ἀσφάλεια, τῆς ἐντολῆς ἡ τήρησις, καὶ τὸ μὴ ῥαγῆναι τὸν νόμον, ᾧ τετειχίσμεθα. μία δὲ δόξα, τὸ δόξης ἁπάσης ὑπεριδεῖν ἐπὶ τηλικούτοις. εἷς δὲ πλοῦτος, τὰ ἐλπιζόμενα. φοβερὸν δὲ οὐδὲν, ἢ τὸ φοβηθῆναί τι πλὴν θεοῦ. μετὰ τούτων παρατετάγμεθα τῶν λογισμῶν. καὶ οὕτως ὡπλίσμεθα. πρὸς τοιούτους σοι νεανίας ὁ λόγος. ἡδὺ μὲν καὶ ὁ κόσμος οὗτος, καὶ τὸ πατρῷον ἔδαφος, καὶ φίλοι, καὶ συγγενεῖς, καὶ ἡλικιῶται, καὶ ὁ ναὸς οὗτος τὸ μέγα καὶ περιβόητον ὄνομα, καὶ πανη-

γέρας πατρικὸν, καὶ μυστήρια, καὶ πάντα οἷς
ἡμεῖς τῶν ἄλλων διαφέρειν δοκοῦμεν, οὔπω δὲ
ἡδίω θεοῦ, καὶ τῶν ὑπὲρ τοῦ καλοῦ κινδύνων.
μὴ τοῦτο νομίσῃς. κόσμος τε γὰρ ἄλλος ἡμῖν, πο
λὺ τῶν ὁρωμένων ὑψηλότερός τε καὶ μονιμώ
τερος. πατρίς τε ἡ ἄνω ἱερουσαλὴμ, ἣν οὐδεὶς
ἀντίοχος πολιορκήσει, οὐδὲ προσδοκήσει παρα
στήσεσθαι, ἡ κρατερὰ καὶ ἀνάλωτος. συγγένεια δὲ,
ἡ ἔμπνευσις, καὶ οἱ κατ᾽ ἀρετὴν γεννηθέντες. φί-
λοι δὲ, προφῆται καὶ πατριάρχαι, παρ᾽ ὧν
ἡμῖν καὶ ὁ τύπος τῆς εὐσεβείας. ἡλικιῶται δὲ,
οἱ σήμερον ἡμῖν συγκινδυνεύοντες, καὶ τὴν καρ
τερίαν ὁμόχρονοι. ναοῦ δὲ, οὐρανὸς μεγαλοπρε-
πέστερος. πανηγύρεις δὲ, ἀγγέλων χοροστασία. καὶ
μυστήριον ἓν, μέγα, καὶ μέγιστον, καὶ τοῖς πολλοῖς ἀ-
πόκρυφον, ὁ θεὸς, πρὸς ὃν βλέπει καὶ τὰ τῇδε μυ
στήρια. παῦσαι τοίνυν ὑπισχνούμενος ἡμῖν τὰ
μικρὰ, καὶ τῶν μηδενὸς ἄξια. οὐ γὰρ τιμησόμε-
θα τοῖς ἀτίμοις, οὐδὲ κερδανοῦμεν ἐπιζήμια, οὐχ
οὕτως ἀθλίως ἐμπορευσόμεθα. παῦσαι καὶ ἀπει-
λῶν, ἢ ἀνταπειλήσομεν, ἐλέγξειν σου τὴν ἀ-
σθένειαν, καὶ πρὸς τούτῳ, τὰ ἡμέτερα κολαστή-
ρια. ἔχομεν καὶ ἡμεῖς πῦρ, ᾧ τοὺς διώκτας κο-
λάζομεν. οἴει πρὸς ἔθνη καὶ πόλεις εἶναί σοι τὸν
ἀγῶνα, καὶ βασιλέων τοὺς ἀνανδροτάτους, ὧν οἱ μὲν
κρατήσουσιν, οἱ δὲ ἴσως ἡττηθήσονται, οὐδέ τι περὶ

τηλικοῦτος αὐτοῖς ὁ κίνδυνος. πρὸς νόμον θεοῦ
παράταξη, πρὸς πλάκας θεοῦ ἀρρήκτους, πρὸς
πάτρια καὶ λόγῳ καὶ χρόνῳ τετιμημένα. πρὸς ἀδελ-
φοὺς ἑπτά, μιᾷ ψυχῇ συνδεδεμένους, ἑπτὰ τρο-
παίους σε στηλιτεύσοντας. ὧν κρατῆσαι μὲν οὐ μέ-
γα, ἡττηθῆναι δέ, καὶ λίαν αἰσχρόν. ἐκείνων ἐσμὲν καὶ
γένος καὶ μαθηταί, οὓς στῦλος πυρὸς καὶ νεφέ-
λης ὡδήγει, οἷς θάλασσα διΐστατο, καὶ ποταμὸς
ἵστατο, καὶ ἥλιος ἀνεκόπτετο, καὶ ἄρτος ὕετο, καὶ
χειρῶν ἔκτασις ἐτροποῦτο μυριάδας, δι' εὐ-
χῶν βάλλουσα. ὧν θῆρες ἡττῶντο, καὶ πῦρ οὐχ
ἥπτετο, καὶ βασιλεῖς ἀπήεσαν τὸ γενναῖον θαυμά-
ζοντες. εἴπωμέν τι καὶ τῶν σοὶ γνωρίμων, Ἐλεα-
ζάρου μύσται ἡμεῖς, οὗ τὴν ἀνδρίαν ἔγνως.
προηγωνίσατο πατήρ, ἐπαγωνισῶνται παῖ-
δες. ἀπῆλθεν ὁ ἱερεύς, ἐπακολουθήσει τὰ θύ-
ματα. ἀλλὰ δεδίττῃ, πρὸς πλείω παρεσκευάσ-
μεθα. τί καὶ δράσεις ἡμᾶς ὑπερήφανε ταῖς ἀ-
πειλαῖς; τί καὶ πεισόμεθα; οὐδὲν ἰσχυρότερον
τῶν πάντα παθεῖν ἑτοίμων. ὦ δήμιοι τί μέλ-
λετε; τί δὲ ἀναδύεσθε; τί τὸ πρόσταγμα τὸ χρη-
στὸν ἀναμένετε; ποῦ τὰ ξίφη; ποῦ δεσμά; ζητῶ
τὸ τάχος. πλεῖον ἀναπτέσθω τὸ πῦρ, οἱ θῆρες
ἐνεργείσθωσαν, αἱ στρέβλαι προενεργείσθωσαν. πάν-
τα ἔστω βασιλικὰ καὶ πολυτελέστερα. ἐγὼ πρω-
τότοκός εἰμι, πρῶτόν με καθιέρωσον. ἐγὼ τε-

λυταῖος, ἡ τάξις ἀναμειφθήτω. ἔστω τις καὶ τῶν μέσων ἐν πρώτοις, ἵνα τι μιμηθῶμεν ἰσομοιρίᾳ. φείδῃ δὲ, προσδοκᾷς τι τυχὸν καὶ τῶν ἐναντίων. πάλιν καὶ πολλάκις ἐροῦμεν τὸν αὐτὸν λόγον. οὐ μιαροφαγήσομεν, οὐκ ἐνδώσομεν. θᾶττον σὺ σεβασθήσῃ τὰ ἡμέτερα, ἢ τοῖς σοῖς ἡμεῖς εἴξομεν. κεφάλαιον τοῦ λόγου. ἢ καινότερα ἐπινόησον κολαστήρια, ἢ τὰ παρόντα ἴσθι καταφρονούμενα. ταῦτα μὲν πρὸς τὸν τύραννον. ἃ δὲ ἀλλήλοις διεκελεύοντο, ὥσπερ παράταξιν παροξύνοντες, ἃ δὲ παρεῖχον ὁρᾶν, ὡς καλά τε καὶ ἱερὰ, καὶ παντὸς ἄλλου θεάματος καὶ ἀκούσματος ἡδίω τοῖς φιλοθέοις. ἐγὼ γοῦν αὐτὸς ἡδονῆς ἐμπίπλαμαι μνημονεύων, καὶ μετ' αὐτῶν ἀθλούντων εἰμὶ τῇ διανοίᾳ, καὶ τῷ διηγήματι καλλωπίζομαι. περιέβαλλον ἀλλήλους, περιεπτύσσοντο, πανήγυρις ἦν, ὡς ἐπ' ἄθλοις τετελεσμένοις. ἴωμεν ἀδελφοὶ πρὸς τοὺς κινδύνους, ἐβόων, ἴωμεν. ἐπειγώμεθα, ἕως ζέει καθ' ἡμῶν ὁ τύραννος, μή τι μαλακισθῇ, καὶ ζημιωθῶμεν τὴν σωτηρίαν. πανδαισία πρόκειται, μὴ ἀπολειφθῶμεν. καλὸν μὲν καὶ συνοικοῦντες ἀλλήλοις ἀδελφοὶ, καὶ συμποσιάζοντες, καὶ συνασπίζοντες, κάλλιον δὲ ὑπὲρ ἀρετῆς συγκινδυνεύοντες. εἰ μὲν οἷόν τε ἦν καὶ τοῖς σώμασιν ἂν ἠγωνισάμεθα ὑπὲρ τῶν πατρίων, ἔστι καὶ οὕτως

τὴν ἐπαινετὴν ὁ θάνατος. ἐπεὶ δὲ οὐ τούτου καιρὸς, αὐτὰ τὰ σώματα εἰσενέγκωμεν. τί γὰρ, κἂν μὴ νῦν ἀποθάνωμεν, οὐ τεθνηξόμεθα πάντως; οὐ τῇ γενέσει τὰ ὀφειλόμενα λειτουργήσομεν; ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, σοφισώμεθα τὴν διάλυσιν, τὸ κοινὸν, ἴδιον ποιησώμεθα, θανάτῳ ζωὴν ὠνησώμεθα. μήτις οὖν ἡμῶν ἔστω φιλόψυχος, μηδὲ ἄτολμος. ἀπογνώτω καὶ τῶν ἄλλων ὁ τύραννος, ἡμῶν ἐντυχών. τοῖς μὲν κινδύνοις τὴν τάξιν αὐτὸς ἐπιθήσει, ἡμεῖς δὲ ἐπιθήσωμεν τέλος τοῖς διωκομένοις. μηδὲν περὶ τούτου διαφερώμεθα, τῇ ζέσει τῆς προθυμίας. καὶ ὁ πρῶτος ἔσται τοῖς ἄλλοις ὁδὸς, καὶ ὁ τελευταῖος σφραγὶς ἀθλήσεως. ἡμῖν δὲ τοῦτο ἐμπεπήχθω πᾶσιν ὁμοίως, πανοικεσίᾳ στεφανωθῆναι, καὶ μή τινα λαβεῖν μερίδα ἐξ ἡμῶν τὸν διώκτην, ἵν᾽ ὡς πᾶσιν ἐγκαυχήσηται τῷ ἑνὶ, φλεγμαίνων τῇ πονηρίᾳ. φανῶμεν ἀλλήλων ἀδελφοὶ, καὶ τῇ γενέσει καὶ τῇ μεταστάσει, καὶ πάντες ὡς εἷς κίνδυνον δύσωμεν, καὶ ἀντὶ πάντων ἕκαστος. ἐλεάζαρ ὑπεδέξατο, μήτηρ ἐπακολουθησάτω, ἱερουσαλὴμ θάψον τοὺς ἑαυτῆς νεκροὺς μεγαλοπρεπῶς, ἄν τι τοῖς τάφοις ὑπολειφθῇ. διηγοῦ τὰ ἡμέτερα καὶ τοῖς ὕστερον, δείκνυ καὶ τοῖς σοῖς δράσταις, τὸ τῆς μιᾶς γαστρὸς εὐσεβὲς πολυάνδριον. οἱ μὲν δὴ ταῦτα καὶ εἶπον

τες καὶ πράξαντες, καὶ ὡς συνῳδὸν ᾄδοντες ἀλλή-
λοις θήξαντες, ἐν τάξει τῆς ἡλικίας, καὶ ἰσό-
τητι τῆς προθυμίας διεκαρτέρουν. ἡδονὴ καὶ
θαῦμα τοῖς ὁμοφύλοις, φόβος καὶ κατάπλη-
ξις τοῖς διώκουσιν. οἱ κατὰ παντὸς τοῦ ἔθνους στρα-
τεύσαντες, ἀδελφῶν ἑπτὰ συμψυχίας ὑπὲρ
εὐσεβείας ἀγωνιζομένων τοσοῦτον ἡττήθησαν, ὥς
τε μηδὲ περὶ τῶν ἄλλων ἔχειν ἔτι χρηστὰς τὰς ἐλ-
πίδας. ἡ δὲ γενναία μήτηρ, καὶ ὄντως ἐκείνων,
τῶν τε τεκόντων καὶ τιούντων τὴν ἀρετήν, τὸ μέ-
γα τοῦ νόμου θρέμμα, καὶ μεγαλόψυχον, τέως μὲν
χαρᾷ καὶ φόβῳ σύμμικτος ἦν, καὶ δύο παθῶν
ἐν μεταιχμίῳ. χαρᾷ, διὰ τὴν ἀνδρίαν καὶ τὰ
ὁρώμενα. φόβῳ, διὰ τὸ μέλλον καὶ τὴν ὑπερβολὴν
τῶν κολάσεων, καὶ ὡς νεοσσοὺς ὄρνις ὄφεως προ-
σερπύζοντος, ἤ τινος ἄλλου τῶν ἐπιβούλων, πε-
ριΐπτατο, παρέψυχεν, ἦν τε βολῇ, συνηγωνί-
ζετο. τί μὲν οὐ λέγουσα, τί δὲ οὐ πράττουσα τῶν
πρὸς νίκην ἐπαλειφόντων. ἥρπαζε τὰς ῥανί-
δας τοῦ αἵματος, ὑπεδέχετο τὰ λακίσματα τῶν
μελῶν, προσεκύνει τὰ λείψανα. τὸν μὲν συνέ-
λεγε, τὸν δὲ παρεδίδου, τὸν δὲ παρεσκεύαζεν.
ἐπεφώνει πᾶσιν. εὖγε ὦ παῖδες, εὖγε ἀριστεῖς
ἐμοί, εὖγε ἀσώματοι χορὸν ἐν σώμασιν, εὖγε προ-
στάται τοῦ νόμου, καὶ τῆς ἐμῆς πολιᾶς, καὶ τῆς
θρεψαμένης ὑμᾶς πόλεως, καὶ εἰς τόδε ἀρετῆς
προαγαγούσης.

προσαναχθύσης. ἔτι μικρόν, καὶ νενικήκαμεν. κεκμήκασιν οἱ βασανισταί, ὅπερ φοβοῦμαι μόνον. ἔτι μικρόν, καὶ μακαρία μὲν ἐν μητράσιν ἐγώ. μακάριοι δὲ ὑμεῖς ἐν νέοις. ἀλλὰ ποθεῖτε τὴν μητέρα, οὐκ ἀπολείψομαι ὑμῶν. ὅπερ ὑμῖν ὑπισχνοῦμαι. οὐχ οὕτως ἐγὼ μισότεκνος.

Ἐπεὶ δὲ τελειωθέντας εἶδεν, καὶ τὸ ἀσφαλὲς εἶχεν ἐκ τῆς συμπληρώσεως, διάρασα τὴν κεφαλὴν μάλα φαιδρῶς, ὥσπερ τις ὀλυμπιονίκης, ἐν ὑψηλῷ τῷ φρονήματι, καὶ τὰς χεῖρας ἐκτείνασα, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ, εὐχαριστῶ σοί φησι πάτερ ἅγιε, καὶ σοὶ παιδευτὰ νόμε, καὶ σοὶ πάτερ ἡμῶν καὶ προαγωνιστὰ τῶν τέκνων τῶν σῶν ἐλεάζαρ, ὅτι τὸν τῶν ἐμῶν ὠδίνων καρπὸν παρεδέξασθε, καὶ ὅτι μήτηρ ἐγενόμην πασῶν μητέρων ἱερωτέρα. οὐδὲν ὑπελειπόμην κόσμῳ, πάντα θεῷ παραδέδωκα, τὸν ἐμὸν θησαυρόν, τὰς ἐμὰς γηροκόμους ἐλπίδας. ὡς μεγαλοπρεπῶς τετίμημαι, ὡς ὑπερβαλλόντως γεγηροκόμημαι. ἀπέχω τὰ τροφεῖα ὦ παῖδες, εἶδον ὑπὲρ ἀρετῆς ἀγωνιζομένους ὑμᾶς, πάντας στεφανίτας ἐθεασάμην, ὡς εὐεργέτας ὁρῶ τοὺς βασανιστάς. μικροῦ καὶ τῷ τυράννῳ χάριτας ὁμολογῶ τῆς τάξεως, ὅτι με τελευταίαν ἐταμιεύσατο τοῖς κινδύνοις, ἵνα τὸν ἐμὸν τόκον πρότερον θεατείσασα, καὶ καθε-

καστον τῶν παίδων ἀθλήσαντα, οὕτως ἐπανελθεῖν σὺν ἀσφαλείᾳ τελείᾳ, τελείοις θύμασιν. οὐ περιράξομαι κόμην, οὐ διαῤῥήξω χιτῶνα, οὐ ξανῶ σάρκας ὄνυξιν, οὐκ ἐγερῶ θρῆνον, οὐ καλέσω τὰς συνθρηνούσας, οὐ συγκλείσω ἐμαυτὴν σκότος, ἵνα καὶ ἀὴρ συνθρηνήσῃ μοι, οὐκ ἀναμενῶ παρακλήτορας, οὐκ ἄρτον πένθιμον παραθήσομαι. ταῦτα γὰρ τῶν ἀγεννῶν μητέρων, αἳ σαρκῶν μόνον εἰσὶ μητέρες. αἷς οἴχονται παῖδες, αὐτὸ σεμνοῦ τινος διηγήματος. ἐμοὶ δὲ οὐ τεθνήκατε φίλτατοι παίδων, ἀλλ᾽ ἐκαρποφορήθητε. οὐκ ἐκλελοίπατε, ἀλλὰ μετεληλύθατε. οὐ κατεξάνθητε, ἀλλὰ συνεπάγητε. οὐ θηρίον ἥρπασεν ὑμᾶς, οὐ κῦμα ἐπέκλυσεν, οὐ λῃστὴς διέφθειρεν, οὐ νόσος διέλυσεν, οὐ πόλεμος παρανάλωσεν, οὐκ ἄλλο οὐδὲν, ἢ μικρὸν, ἢ μεῖζον τῶν ἀνθρωπίνων. ἐθρήνησα ἂν καὶ μάλα σφοδρῶς, εἰ τούτων ὑμῖν τι συνέπεσεν. ἐφάνην ἂν τότε τοῖς δάκρυσιν, ὡς νῦν τῷ μὴ δακρῦσαι, φιλότεκνος. ἔτι καὶ ταῦτα μικρά. ὄντως ἂν ὑμᾶς ἀπεκλαυσάμην, εἰ κακῶς ἐσώθητε, εἰ τῶν βασάνων ἡττήθητε, εἴ τινος ὑμῶν ἐκράτησεν, ὡς ἡττήθησαν νῦν οἱ διώκοντες. τὰ δὲ νῦν, εὐφημία, χαρὰ, δόξα, χοροστασίαι, φαιδρότητες τοῖς ὑπολειφθεῖσιν. ἐγὼ γὰρ ὑμῖν ἐπισπένδομαι, μετὰ Φινεὲς ταχθησόμεθα, μετὰ Ἄννης δοξασθησόμεθα. πλὴν

ὅσον

ὅσον, ὁ μὲν εἷς, ἡμεῖς δὲ τοσοῦτοι ζηλωταὶ πορνο-
κτόνοι, οὐ σωμάτων πορνείαν, ἀλλὰ ψυχῶν ἐκ-
κεντήσαντες. καὶ ἡ μὲν ἕνα θεόσδοτον, ἀρτι-
γεννῆ καὶ στεῖρον, ἐγὼ δὲ ἄνδρας ἑπτὰ, καὶ κυ-
ρίως ἑκόντας θεῷ καθιέρωσα. συμπληρούτω
μοι καὶ Ἱερεμίας τὸν ἐπιτάφιον, οὐ θρηνῶν,
» ἀλλ' εὐφημῶν τελευτὴν ὁσίαν. ὑπὲρ χιόνα ἐ-
» λάμψατε, ὑπὲρ γάλα ἐτυρώθητε, ὑπὲρ λίθον
» σάπφειρον τὸ σύνταγμα ὑμῶν, θεῷ καὶ γεγεν-
νημένων καὶ δεδομένων. τί ἔτι; πρόσθες ὦ τύ-
ραννε κἀμὲ τοῖς παισὶν, εἴ τις καὶ παρ' ἐχθροῖς
χάρις, ἵν' ᾖ σοι σεμνότερον τὸ ἀγώνισμα. εἴθε μὲν
καὶ διὰ πασῶν ἦλθον τῶν κολάσεων, ἵνα ἀνα-
μίξω τοὺς ἐμοὺς ἰχῶρας τοῖς ἐκείνων ἰχῶρσι,
καὶ ταῖς σαρξὶ, τὰς γηραιὰς σάρκας. ἀγαπῶ
διὰ τοὺς παῖδας καὶ τὰ κολαστήρια. εἰ δὲ μὴ τοῦτο,
ἀλλὰ τήν γε κόνιν, τῇ κόνει. καὶ τάφος εἷς ἡμᾶς
ὑποδέξηται. μὴ φθονήσῃς τελευτῆς ὁμοτίμου,
τοῖς ὁμοτίμοις τὴν ἀρετήν. χαίρετε ὦ μητέρες,
χαίρετε ὦ παῖδες. οὕτως ἐκτρέφετε τοὺς ἐξ ὑ-
μῶν προελθόντας, οὕτως ἐκτρέφεσθε. καλὸν τὸ
ὑπόδειγμα δεδώκαμεν ὑμῖν, πρὸς τὸν ἀγῶνα τὸν
καλὸν ἀγωνίζεσθαι. ταῦτα ἔλεγε, καὶ προ-
σετίθει τοῖς παισὶν ἑαυτήν. τίνα τρόπον; ὡς ἐπὶ
νυμφῶνα τὴν πυρκαϊὰν δραμοῦσα, ταύτην γὰρ
κατεκείθη, καὶ οὐδὲ τοὺς ἄγοντας ἀναμείνασα, ἵνα

μὴ δὲ σῶμα ψαύσειεν ἄναγνον, ἁγνοῦ καὶ γενναίου σώματος. οὕτως ἀπέλαυσε τῆς ἱερωσύνης ἐλεάζαρ, μυηθεὶς καὶ μυήσας τὰ ἐπουράνια. καὶ οὐ τοῖς ἔξωθεν ῥαντισμοῖς τὸν ἰσραὴλ ἁγιάσας, ἀλλ᾽ οἰκείοις αἵμασι. καὶ ποιήσας τὴν τελευτὴν τελευταῖον μυστήριον. οὕτω τῆς νεότητος οἱ παῖδες, οὐ ταῖς ἡδοναῖς δουλεύσαντες, ἀλλὰ τῶν παθῶν κυριεύσαντες, καὶ τὸ σῶμα καταγνίσαντες, καὶ πρὸς ἀπαθῆ ζωὴν μεταθέμενοι, οὕτως ἀπέλαυσε τῆς πολυτεκνίας ἡ μήτηρ, οὕτω καὶ ζῶσιν ἐκαλλωπίσατο, καὶ ἀπελθοῦσι συνανεπαύσατο, οὓς ἐγέννησε κόσμῳ, θεῷ παραστήσασα, καὶ τὰς ἑαυτῆς ὠδῖνας, τοῖς ἄθλοις ἀπαριθμήσασα, καὶ τοῦ τόκου τὴν ἀκολουθίαν, τοῖς θανάτοις γνωρίσασα. ἀπὸ γὰρ τοῦ πρώτου τῶν παίδων μέχρι τοῦ τελευταίου τὰ τῆς ἀθλήσεως. καὶ ὥσπερ ἐν κυμάτων ἐπαναστάσεσιν, ἄλλος ἐπ᾽ ἄλλῳ τὴν ἀρετὴν ἐπεδείκνυτο, καὶ τὸ πάσχειν ἦν ὁ προθυμότερος, τοῖς τοῦ προειληφότος κινδύνοις στομούμενος. ὥστε ἀγαπᾶν τὸν τύραννον, ὅτι μὴ πλειόνων ἐγεγόνει μήτηρ. μᾶλλον γὰρ ἂν ἀπῆλθε κατῃσχυμμένος καὶ ἡττημένος. καὶ τότε πρῶτον ἔγνω, μὴ πάντα τοῖς ὅπλοις ἰσχύων, ὁπότε παισὶν ἀόπλοις προσέβαλεν, ἐν μόνῳ τῇ εὐσεβείᾳ καθωπλισμένοις, καὶ τῷ πάντα πάσχειν προθυμοτέροις, ἢ δρᾶν ἐκεῖνος παρεσκευάζετο.

ρον. ὑπὲρ τὴν ἰεφθάε θυσίας ἀσφαλεστέρους, καὶ μεγαλοπρεπεστέρους. οὐ γὰρ ἀναγκαίαν ἐποίει τὴν ἐπίδοσιν, ὥσπερ ἐκεῖ ἐπαγγελίας θερμότης, καὶ νίκης ἔρως ἀπεγνωσμένης. ἀλλ᾽ ἑκούσιος ἱερουργία, καὶ μισθὸν ἔχουσα μόνα τὰ ἐλπιζόμενα. ὑπὲρ τὴν δανιὴλ ἄθλων οὐκ ἀτιμότερον, παραδοθέντος εἰς βορὰν λέουσι, καὶ τῇ τῶν χειρῶν ἐκτάσει τοῦ θηρὸς νικήσαντος. ὑπὲρ τῶν ἐν ἀσσυρίᾳ νεανίσκων οὐ δεύτερον, οὓς ἄγγελος ἀνέψυξεν ἐν πυρὶ, τὸν πάτριον νόμον μὴ καταλύσαντας, μηδὲ τροφὴν προσιεμένους βέβηλον καὶ ἀνίερον. ὑπὲρ τὴν ὕστερον ὑπὲρ χριστοῦ θαυμάτων εἰς φιλοτιμίαν οὐκ ἔλαττον. οἱ μὲν γὰρ, ὃ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, τῷ χριστοῦ κατηκολούθησαν αἵματι, καὶ θεὸς ἦν ὁδηγὸς τῶν τοιούτων ἄθλων, τοσαύτην ὑπὲρ ἡμῶν εἰσενεγκὼν εἰσφορὰν, καὶ οὔπω παράδοξον. τοῖς δὲ, οὐ πολλὰ οὐδὲ τοιαῦτα τὰ τῆς ἀρετῆς ὑποδείγματα. τούτων τὴν καρτερίαν ἐθαύμασε μὲν ἡ ἰουδαία πᾶσα, καὶ ὡς αὐτὴ στεφανωθεῖσα ἠγάλλετο, καὶ διανίστατο. καὶ γὰρ ἦν ἀγὼν οὗτος, καὶ ἀγώνων μέγιστος τῶν πώποτε προκατασχόντων τὴν πόλιν. ἢ καταλυθῆναι τὸν νόμον κατὰ τὴν ἡμέραν ἐκείνην, ἢ δοξασθῆναι. καὶ ὡς ἐπὶ ξυροῦ τὰ πράγματα εἱστήκει τότε παντὶ τῷ τῶν ἑβραίων γένει, τὰ τῆς ἐκείνων ἀθλήσεως. ἠγάσθη δὲ καὶ αὐ-

τίοχος, οὕτω μεταβαλὼν εἰς θαῦμα τὴν ἀπειλήν, ἴσασι γὰρ θαυμάζειν ἀνδρῶν ἀρετὴν καὶ πολέμιοι, ὅταν τοῦ θυμοῦ λήξαντες, ἡ πρᾶξις ἐφ᾽ ἑαυτῆς δοκιμάζηται. ὥστε καὶ ἀπῆλθεν ἄπρακτος, πολλὰ μὲν τὸν πατέρα σέλευκον ἐπαινέσας τῆς εἰς τὸ ἔθνος τιμῆς, καὶ τῆς εἰς τὸ ἱερὸν μεγαλοψυχίας. πολλὰ δὲ σίμωνα τὸν ἐπαγαγόντα μεμψάμενος, ὡς καὶ τῆς ἀπανθρωπίας αἴτιον, καὶ τῆς ἀδοξίας. τούτοις μιμώμεθα καὶ ἱερεῖς, καὶ μητέρες καὶ παῖδες. οἱ μὲν, εἰς τὴν ἐλεαζάρου τιμὴν τοῦ πνευματικοῦ πατρὸς, καὶ λόγῳ καὶ ἔργῳ τὸ βέλτιστον παραδείξαντος. αἱ δὲ, τῆς γενναίας μητρὸς, ἀληθῶς φιλότεκνοι φανεῖσαι, καὶ χριστῷ τοὺς ἐξ αὐτῶν παραστήσασαι, ἵνα καὶ γάμος ἁγιασθῇ διὰ τῆς τοιαύτης θυσίας. οἱ δὲ, τοὺς ἱεροὺς αἰδούμενοι παῖδας, καὶ τὴν νεότητα δαπανῶντες, οὐκ ἐν τοῖς αἰσχροῖς πάθεσιν, ἀλλ᾽ ἐν τοῖς κατὰ τῶν παθῶν ἀγωνίσμασι, καὶ πρὸς τὸν καθ᾽ ἡμέραν ἀντίοχον γενναίως ἀνδριζόμενοι, τὸν πᾶσι μέλεσι πολεμοῦντα, καὶ διαφόρως διώκοντα. ποθῶ γὰρ ἀθλητὰς ἔχειν κατὰ πάντα καιρὸν καὶ τρόπον, καὶ γένος ἅπαν. καὶ ἡλικίαν ἅπασαν, καὶ φανερῶς πολεμουμένην, καὶ ἀφανῶς ἐπιβουλευομένην. καὶ βοηθεῖσθαι μὲν τοῖς παλαιοῖς διηγήμασι, βοηθεῖσθαι δὲ καὶ τοῖς νέοις. καὶ πανταχόθεν ὥσπερ αἱ μέλισσαι, συλλέγειν τὰ

χρησιμώτατα, ὡς ἐν οἷς κηρίου φιλοτεχνίαν καὶ γλυκασμόν. ἵνα καὶ διὰ παλαιᾶς καὶ νέας εὐδοκιμῇ θεὸς ἐν ἡμῖν, ὁ ἐν υἱῷ καὶ πνεύματι δοξαζόμενος, καὶ γινώσκων τοὺς ἰδίους, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, ὁμολογούμενός τε καὶ ὁμολογῶν, δοξαζόμενος καὶ δοξάζων ἐν αὐτῷ τῷ χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου εἰς Καισάριον τὸν ἑαυτοῦ ἀδελφὸν ἐπιτάφιος, περιόντων ἔτι τῶν γονέων.

Οἴεσθέ με ἴσως ὦ φίλοι καὶ ἀδελφοὶ καὶ πατέρες, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, θρήνους ἐπιβαλοῦντα τῷ ἀπελθόντι καὶ ὀδυρμοὺς, ὑποδέχεσθαι προθύμως τὸν λόγον, ἢ μακροὺς ἀποτενοῦντα καὶ κομψοὺς λόγους, οἷς οἱ πολλοὶ χαίρουσιν. καὶ οἱ μὲν ὡς συμπενθήσοντες, καὶ συνθρηνήσοντες παρεσκεύασθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ οἰκεῖα δακρύσητε, ὅσοις τι τοιοῦτόν ἐστι, καὶ σοφίσησθε τὸ ἄλγος ἐν φιλικοῖς πάθεσιν. οἱ δὲ ὡς τὴν ἀκοὴν ἑστιάσοντες, καὶ ἡδίους ἐσόμενοι. χρῆναι γὰρ ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τὴν συμφορὰν, οἷά περ ἦν λα-

τὰ ἡμέτερα, ἡνίκα τἆλλα ἦμεν ἱκανῶς περιττοὶ καὶ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμοι, πρὶν ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἄνω τάττω, καὶ πάντα δόντες θεῷ, παρ' οὗ τὰ πάντα, θεὸν ἀντὶ πάντων λαβεῖν. μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴ τι ὑπολαμβάνειν βούλεσθε δεξιόν. οὔτε γὰρ θρηνήσομεν τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵγε μηδὲ τῶν ἄλλων τὰ τοιαῦτα ἀποδεχόμεθα, οὔτε ἐπαινεσόμεθα πέρα τοῦ μετρίου καὶ πρέποντος. καίτοιγε δῶρον φίλον καὶ οἰκειότατον, εἴπερ τι ἄλλο, τῷ λογίῳ λόγος, καὶ τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους, ἡ εὐφημία. καὶ οὐ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον, ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα νόμον, καὶ δακρύσαντες καὶ θαυμάσαντες, οὐδὲ γοῦν τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας, μνήμη τε γὰρ δικαίων μετ' ἐγκωμίων, καὶ ἐπὶ νεκρῷ φησὶ κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου, ἴσως ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας, τὸ μετὰ τοῦτο ἤδη, τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξομεν, καὶ τοῦ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσομεν, καὶ τὴν ὀφειλομένην τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν, καὶ μεταθήσομεν τὴν λύπην ἀπὸ τῆς σαρκὸς καὶ τῶν προσκαίρων, ἐπὶ τὰ πνευματικὰ καὶ ἀίδια.

ἀΐδια. Καισαρείῳ πατέρες μὲν, ἵν' ἐντεῦθεν ἄρξωμαι ὅθεν ἡ μὲν πρεπωδέστατον, οὓς πάντες γινώσκετε, καὶ ὧν τὴν ἀρετὴν καὶ ὁρῶντες καὶ ἀκούοντες, ζηλοῦτε καὶ θαυμάζετε, καὶ διηγεῖσθε τοῖς ἀγνοοῦσιν, εἴπερ τινές εἰσιν ἀνθρώπων, ἄλλος ἄλλό τι μέρος παραλαβόντες. ἐπεὶ μὴ πάντα τὸν αὐτὸν οἷόν τε, μηδὲ μιᾶς γλώσσης τὸ ἔργον, κἂν σφόδρα τις ᾖ τῶν φιλοπονωτάτων καὶ φιλοτίμων. οἷς πολλῶν καὶ μεγάλων ὑπαρχόντων εἰς εὐφημίαν, εἰ μή τῳ περιττὸς εἶναι δοκῶ τὰ οἰκεῖα θαυμάζων, ἓν μέγιστον ἁπάντων, καὶ ὥσπερ ἄλλό τι ἐπίσημόν ἐστιν ἡ εὐσέβεια. τοὺς σεμνοὺς τούσδε λέγω καὶ πολιοὺς, καὶ οὐχ ἧττον δι' ἀρετὴν αἰδεσίμους, ἢ διὰ γῆρας. ὧν τὰ μὲν σώματα χρόνῳ κέκμηκεν, αἱ ψυχαὶ δὲ θεῷ νεάζουσι. πατὴρ μὲν ἐκ τῆς ἀγριελαίου καλῶς ἐγκεντρισθεὶς εἰς τὴν καλλιέλαιον, καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος, ὥστε καὶ ἄλλους ἐγκεντρίζειν πεπιστεῦσθαι, καὶ θεραπείαν ἐγχειρισθῆναι ψυχῶν, ὑψηλὸς ὑψηλῶς τοῦ λαοῦ τοῦδε προκαθεζόμενος. ἀαρών τις δεύτερος ἢ μωϋσῆς, θεῷ πλησιάζειν ἠξιωμένος, καὶ θείαν φωνὴν χορηγεῖν τοῖς ἄλλοις ἱσταμένοις πόῤῥωθεν. πρᾶος, ἀόργητος, γαληνὸς τὸ εἶδος, θερμὸς τὸ πνεῦμα. πολὺς τὸ φαινόμενον, πλουσιώτερος τὸ κρυπτόμενον. τί ἂν ὑμῖν ἀναζωγραφοίην τὸν γινωσκο-

μένον; οὐδὲ γὰρ εἰ μακρὸν ἀποτείνοιμεν λόγον, εἴποιμεν ἄν τι τοσοῦτον, ὅσον ἄξιον, καὶ ὅσον ἕκαστος συνεπίσταταί τε, καὶ ἀπαιτεῖ τὸν λόγον. καὶ βέλτιον ταῖς ὑπονοίαις παραχωρεῖν, ἢ τῷ λόγῳ τὸ πολὺ περικόπτειν τοῦ θαύματος. μήτηρ δὲ ἄνωθεν μὲν καὶ ἐκ προγόνων καθιερωμένη θεῷ, καὶ κλῆρον ἀναγκαῖον οὐκ εἰς ἑαυτὴν μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτῆς καταγομένη τὴν εὐσέβειαν. ἐξ ἁγίας ἀπαρχῆς ὄντως ἅγιον φύραμα. τοσοῦτον δὲ αὐτὸ αὐξήσασά τε καὶ πλεονάσασα, ὥστε ἤδη τισὶ, φθέγξομαι γὰρ, εἰ καὶ τολμηρὸς ὁ λόγος, μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα ἑτέρου τινὸς, ἢ ταύτης ἔργον γενέσθαι, πιστευθῆναί τε καὶ ῥηθῆναι, καὶ, ὢ τοῦ θαύματος, ἆθλον εὐσεβείας δοθῆναι μείζονα καὶ τελεωτέραν εὐσέβειαν. φιλόπαιδες ἄμφω καὶ φιλόχριστοι, τὸ παραδοξότατον, μᾶλλον δὲ φιλόχριστοι πλέον, ἢ φιλόπαιδες. οἷς γε καὶ τῶν τέκνων μία τις ἀπόλαυσις ἦν, τὸ ἀπὸ χριστοῦ καὶ γνωρίζεσθαι καὶ ὀνομάζεσθαι, καὶ εἰς εὐπαιδίας ὅρος ἡ ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις. εὔσπλαγχνοι, συμπαθεῖς, ἁρπάζοντες τὰ πολλὰ σητῶν καὶ λῃστῶν καὶ τοῦ κοσμοκράτορος, ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν μετασκευαζόμενοι. καὶ κλῆρον μέγιστον τοῖς παισὶ τὴν ἐκεῖθεν λαμπρότητα θησαυρίζοντες. οὕτω τοι καὶ εἰς λι-

παρὸν ἔφθασεν γῆρας, ὁμότιμοι καὶ τὴν ἀρετὴν καὶ τὴν ἡλικίαν, καὶ πλήρεις ἡμερῶν τῶν τε μενουσῶν, ὁμοίως καὶ τῶν λυομένων. παρὰ τοσοῦτον ἑκάτερος οὐκ ἔχων τὰ πρῶτα τῶν ἐπὶ γῆς, παρ' ὅσον ὑπ' ἀλλήλων εἰς τὸ πρωτεῖον ἐκωλύοντο. καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσαν, πλὴν τῆς τελευταίας ταύτης ὡς ἂν οἰηθείη τις, εἴτε δοκιμασίας χρὴ λέγειν, εἴτε οἰκονομίας. ἡ δέ ἐστιν, ὡς ὁ ἐμὸς λόγος, τὴν σφαλερωτέραν τῶν παίδων δι' ἡλικίαν, προπέμψαντες, οὕτως ἤδη καταλῦσαι τὸν βίον ἐν ἀσφαλείᾳ, καὶ πρὸς τὰ ἄνω πανοικέσια μετατεθῆναι. Καὶ ταῦτα διῆλθον, οὐ τούτους ἐγκωμιάσαι βουλόμενος, οὐδὲ ἀγνοῶν, ὅτι μόλις ἄν τις τῆς ἀξίας ἐφίκοιτο, καὶ ὅλην ὑπόθεσιν λόγου τὸν τούτων ἔπαινον ἐνστησάμενος, ἀλλ' ἵν' ἐπιδείξαιμι ἐκ πατέρων ὀφειλομένην καὶ σειρᾷ τὴν ἀρετήν. καὶ μὴ θαυμάζητε μηδὲ ἀπιστῆτε, εἰ τοιούτων τυχὼν γεννητόρων, τοιούτων ἑαυτὸν παρέσχεν ἐπαίνων ἄξιον. ἀλλὰ τοὐναντίον, εἰ πρὸς ἑτέρους εἶδεν, τῶν οἰκείων καὶ τῶν ἐγγύθεν ἀμελήσας ὑποδειγμάτων. τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα προσῆκεν εἶναι τοῖς ὄντως εὖ γεγονόσι, καὶ καλῶς βιώσεσθαι μέλλουσιν. ἵνα δὲ τὰ ἐν μέσῳ συντέμω, κάλλος καὶ μέγεθος, καὶ τὴν ἐπὶ πᾶσι τοῦ ἀνδρὸς χάριν, καὶ ὥσπερ ἐν φθόγγοις

εὐαρμοστίαν, ὅτι μὴ δὲ πρὸς ἡμῶν τὰ τοιαῦτα θαυμάζειν, ἃ καὶ τοῖς ἄλλοις οὐ μικρὰ φαίνεται, πρὸς τὰ ἐφεξῆς βαδιοῦμαι τοῦ λόγου, ἃ καὶ μὴ δὲ βουλομένῳ παραλιπεῖν ῥᾴδιον. ὑπὸ δὴ τοιούτοις ἤθεσι τραφέντες καὶ παιδευθέντες, καὶ τοῖς ἐνταῦθα μαθήμασιν ἱκανῶς ἐνασκηθέντες, ἐν οἷς ἐκεῖνος τάχει τε καὶ μεγέθει φύσεως, οὐδ᾽ ἂν εἴποι τις ὅσον ὑπὲρ τοὺς πολλοὺς ἦν. ὤ, πῶς ἀδακρυτὶ τὴν τούτων παρέλθω μνήμην, καὶ μή με ἀφιλόσοφον ἐλέγξῃ τὸ πάθος παρὰ τὴν ὑπόσχεσιν; ἀλλ᾽ ἐπειδή γε ἀποδημίας καιρὸς ἐδόκει, καὶ τότε πρῶτον ἀπ᾽ ἀλλήλων ἐσχίσθημεν, ἐγὼ μὲν τοῖς κατὰ Παλαιστίνην ἐγκαταμείνας παιδευτηρίοις ἀνθοῦσι τότε, κατὰ ῥητορικῆς ἔρωτα. ὁ δὲ τὴν Ἀλεξάνδρου πόλιν καταλαβὼν, παντοίας παιδεύσεως καὶ τότε καὶ νῦν οὖσάν τε καὶ δοκοῦσαν ἐργαστήριον. τί πρῶτον, ἢ τί μέγιστον εἴπω τῶν ἐκείνου καλῶν; τί δὲ παρεὶς, μὴ τῷ μεγίστῳ ζημιώσω τὸν λόγον. τίς μὲν ἐκείνου διδασκάλοις πιστότερος; τίς δὲ ἥλιξι προσφιλέστερος; τίς μὲν μᾶλλον ἀπέφυγε τὴν τῶν μοχθηρῶν ἑταιρείαν καὶ ὁμιλίαν; τίς δὲ τῇ τῶν βελτίστων ἑαυτὸν προσέθηκε πλεῖον, ἄλλοις τε, καὶ τῶν ἐκ τῆς πατρίδος τοῖς εὐδοκιμωτάτοις καὶ γνωριμωτάτοις; ἰδὼς οὐδὲ τοῦτο φέρειν μικρὸν εἰς ἀρετὴν ἢ κακίαν, τὰς συνουσίας. ἐξ

ὤν, τίς μὲν ἄρχουσιν ἐκείνου τιμιώτερος; τίς δὲ τῇ πόλει πάσῃ; καίτοι γε διὰ τὸ μέγεθος πάντων ἐγκρυπτομένων, ἢ αὐτῇ σωφροσύνῃ γνωριμότερος, ἢ αὐτῇ συνέσει περιφανέστερος; ποῖον μὲν οἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ ποῖον, ὡς οὐδὲ μόνον ἕτερος. τίνι δὲ παρῆκεν ἐγγὺς αὐτοῦ γενέσθαι καὶ κατὰ μικρόν; μὴ ὅτι τῶν καθ᾽ ἑαυτὸν καὶ τῆς αὐτῆς ἡλικίας, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ παλαιοτέρων ἐν τοῖς μαθήμασι, καὶ πάντα ὡς ἓν ἐξασκήσας, καὶ αὖ τι πάντων ἕκαστον. τοὺς μὲν πλείους τὴν φύσιν, φιλοπονίᾳ νικήσας, τοὺς δὲ γενναίους τὴν ἄσκησιν, διανοίας ὀξύτητι. μᾶλλον δὲ τάχει μὲν τοὺς ταχεῖς, σπουδῇ δὲ τοὺς φιλοπόνους ὑπερβαλών, καὶ τοὺς κατ᾽ ἄμφω δεξιοὺς ἀμφοτέροις.

Γεωμετρίας μέν γε καὶ ἀστρονομίας, καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις παιδεύσεως, ὅσον χρήσιμον ἐκλεξάμενος. τοσοῦτον δὲ λῶ, ἐκ τῆς τῶν οὐρανίων εὐαρμοστίας καὶ τάξεως, τὸν δημιουργὸν θαυμάσαι. ὅσον βλαβερὸν ταύτης, διέφυγεν. οὐ τῇ φορᾷ τῶν ἄστρων, διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα, ὡς οἱ τὴν ὁμόδουλον ἑαυτῆς κτίσιν, ἐπανιστάντες τῷ κτίσαντι, θεῷ δὲ καὶ τἄλλα πάντα ὥσπερ εἰκὸς, ἀνατιθεὶς, καὶ τὴν τούτων κίνησιν. ἀριθμῶν δὲ καὶ λογισμῶν καὶ τῆς θαυμασίας ἰατρικῆς, ὅση τὰ περὶ φύσεις καὶ κρά-

σεις, καὶ τὰς ἀρχὰς τῶν νοσημάτων φιλοσοφεῖ, ὥστε ταῖς ῥίζαις ἀναιρουμέναις, συνεκκόπτειν καὶ τὰ βλαστήματα, τίς οὕτως ἀμαθὴς ἢ φιλόνεικος, ὡς ἐκείνῳ δοῦναι τὰ δεύτερα, καὶ μὴ ἀγαπᾶν, εἰ μετ' ἐκεῖνον εὐθὺς ἀριθμοῖτο, τὸ πρεσβεῖον ἐν τοῖς δευτέροις φερόμενος; καὶ ταῦτα οὐ λόγος ἐστὶν ἀμάρτυρος, ἀλλ' ἑῴα τε ὁμοῦ λῆξις καὶ ἑσπέριος, καὶ ὅσην ἐκεῖνος ἐπῆλθεν ὕστερον, ἐπίσημοι στῆλαι τῆς ἐκείνου παιδεύσεως. ἐπεὶ δὲ πᾶσαν ἀρετήν τε καὶ μάθησιν, ὥσπερ μεγάλη φορτὶς παντοδαπὴν ἐμπορείαν, εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συλλεξάμενος, ἐπὶ τὴν ἑαυτοῦ πόλιν ἐστέλλετο, ὡς ἂν καὶ τοῖς ἄλλοις μεταδοίη τῶν καλῶν ἀπογίμων τῆς ἑαυτοῦ παιδεύσεως, ἐνταῦθά τι καὶ συνηνέχθη πρᾶγμα θαυμάσιον, οὐδὲν δὲ οἷον. καὶ γὰρ ἐμέ γε μάλιστα πάντων εὐφραίνει τοῦτο μνημονευθέν, καὶ ὑμᾶς ἂν ἥδιστα ποιήσειεν, ἐν βραχεῖ διηγήσασθαι. ηὔχετο μὲν ἡ μήτηρ, εὐχὴν μητρικήν τινα καὶ φιλόπαιδα, ὥσπερ ἐξέπεμψεν ἀμφοτέρους, οὕτω καὶ σὺν ἀλλήλοις ἐπανελθόντας ἰδεῖν. ξυνωρὶς γὰρ ἐδοκοῦμέν τις, καὶ εἰ μὴ τοῖς ἄλλοις, μητρί γε οὖν, εὐχῆς καὶ θέας ἀξία σὺν ἀλλήλοις ὁρώμενοι, ἣ νῦν κακῶς ὑπὸ τοῦ φθόνου διαλυθεῖσα. θεοῦ δὲ οὕτω κινήσαντος, ὃς ἀκούει δικαίας εὐχῆς, καὶ φίλτρον τιμᾷ γονέων εἰς παῖδας εὐγνώμονας,

ἐξ οὐδεμιᾶς ἐπινοίας οὐδὲ συνθήματος, ὁ μὲν ἀπὸ τῆς ἀλεξανδρείας, ὁ δὲ ἀπὸ τῆς ἑλλάδος, κατὰ τὸν αὐτὸν χρόνον, εἰς τὴν αὐτὴν πόλιν, ὁ μὲν ἀπὸ γῆς, ὁ δὲ ἀπὸ θαλάσσης κατήραμεν. ἡ πόλις δὲ τὸ βυζάντιον, ἡ νῦν προκαθεζομένη τῆς εὐρώπης πόλις, ἐν ᾗ τοσοῦτον καισάριος κλέος οὐ πολλοῦ χρόνου διελθόντος ἠνέγκατο, ὥστε δημοσίας τιμὰς αὐτῷ καὶ γάμον τῶν εὐδοκίμων, καὶ τῆς συγκλήτου βουλῆς μετουσίαν προτεθῆναι, καὶ πρὸς βασιλέα πρεσβείαν σταλῆναι τὴν μεγάλην, ἀπὸ κοινοῦ δόγματος τὴν πρώτην πόλιν, τῷ πρώτῳ λογίων κοσμηθῆναί τε καὶ τιμηθῆναι. εἴ τι μέλλει αὐτῷ τοῦ πρώτην ἀληθῶς εἶναι, καὶ τῆς ἐπωνυμίας ἀξίαν, καὶ τοῦτο προστεθῆναι πᾶσι τοῖς ὑπὲρ αὐτῆς διηγήμασι, τῷ καισαρείῳ καλλωπίζεσθαι, καὶ ἰατρῷ καὶ οἰκήτορι. καίτοι γε μετὰ τῆς ἄλλης λαμπρότητος πολλοῖς καὶ μεγάλοις εὐθυνουμένην ἀνδράσι, κατά τε φιλοσοφίαν, κατά τε τὴν ἄλλην παίδευσιν. ἀλλὰ τοῦτο μὲν ἱκανῶς. τότε δ' οὖν τὸ γινόμενον, τοῖς μὲν ἄλλοις συντυχία τις ἔδοξεν ἄλογος καὶ ἀναίτιος, οἷα φέρει πολλὰ τὸ αὐτόματον ἐν τοῖς ἡμετέροις, τοῖς δὲ φιλοθέοις, καὶ λίαν εὔδηλον ἦν, μὴ ἄλλο τι τὸ συμβὰν εἶναι, ἢ γονέων θεοφιλῶν ἔργον, ἐκ γῆς καὶ θαλάττης τοὺς παῖδας συναγόντων, εἰς μίαν εὐχῆς ἐκπλήρωσιν. φέρε μὴ δὲ τοῦτο

τῶν καισαρίου καλῶν παρέλθωμεν, ὃ τοῖς μὲν ἄλλοις ἴσως μικρὸν, καὶ οὐδὲ μνήμης ἄξιον, ἐμοὶ δὲ καὶ τότε καὶ νῦν μέγιστον ἔδοξεν, εἴπερ τι ἐπαινετὸν ἡ φιλαδελφία, καὶ οὐ παύσομαι τιθεὶς ἐν πρώτοις, ὁσάκις ἂν τὰ ἐκείνου ἐκδιηγῶμαι.

Κατεῖχε μὲν αὐτὸν αἷς εἶχεν τιμαῖς ἡ πόλις, καὶ οὐδ᾽ ἂν εἴ τι γένοιτο, μεθήσειν ἔφασκεν. ἐγὼ δὲ ἀνθέλκων ἴσχυσα, ὁ πάντα καισαρίῳ πολὺς καὶ τίμιος, καὶ τοῖς γονεῦσι τὴν εὐχὴν πληρῶσαι, καὶ τῇ πατρίδι τὸ χρέος, καὶ ἐμαυτῷ τὸν πόθον, λαβὼν τῆς ὁδοῦ κοινωνὸν καὶ συνέμπορον, καὶ προτιμηθεὶς οὐ πόλεων καὶ δήμων μόνον, οὐδὲ τιμῶν καὶ πόρων, οἳ πολλοὶ καὶ πολλαχόθεν οἱ μὲν συνέρρεον ἐκείνῳ, οἱ δὲ ἠλπίζοντο, ἀλλὰ καὶ αὐτοῦ βασιλέως σχεδὸν, καὶ τῶν ἐκεῖθεν ἐπιταγμάτων.

Ἐντεῦθεν ἐγὼ μὲν φιλοσοφεῖν διέγνων, καὶ πρὸς τὸν ἄνω βίον μεθαρμοσθῆναι, ὥσπερ τινὰ βαρὺν δεσπότην καὶ ἀρρώστημα χαλεπὸν, πᾶσαν φιλοτιμίαν ἀποσεισάμενος. μᾶλλον δὲ ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος. τὸν δὲ τὰ πρῶτα τῆς παιδεύσεως ἀναθέντα τῇ ἑαυτοῦ πατρίδι, καὶ θαυμασθέντα τῶν πόνων ἀξίως, μετὰ ταῦτα, δόξης ἐπιθυμία, καὶ τὸ προστατεύειν τῆς πόλεως, ὡς ἐμέ γε συνέπειθεν, τοῖς βασιλείοις δίδωσιν. οὐ πάνυ μὲν ἡμῖν φίλα ποιοῦντα, καὶ κατὰ γνώμην. καὶ γὰρ ἀπολογήσομαι πρὸς ὑμᾶς. ὅτι

ἄλλος δὴ τετάχθαι παρὰ θεῷ κρεῖττον εἶναι
δοκεῖ τε καὶ ὑψηλότερον, ἢ παρὰ τῷ κάτω βα-
σιλεῖ τὰ πρῶτα φέρεσθαι. οὐ μὴν ἄξιός γε μέμ-
ψεως. φιλοσοφεῖν μὲν γὰρ ὅσῳ μέγιστον, τοσού-
τῳ καὶ χαλεπώτατον, καὶ οὐ πολλῶν τὸ ἐγχεί-
ρημα, οὐδὲ ἄλλων, ἢ τῶν ὑπὸ τῆς θείας προκε-
κλημένων μεγαλονοίας, ἣ τοῖς προῃρημένοις κα-
λῶς χεῖρα δίδωσιν. οὐ μικρὸν δὲ, εἴ τις τὸν δεύτε-
ρον προστησάμενος βίον, καλοκαγαθίας μετα-
ποιοῖτο. καὶ πλείω λόγον ἔχοι θεοῦ καὶ τῆς ἑαυ-
τοῦ σωτηρίας, ἢ τῆς κάτω λαμπρότητος. καὶ
τὴν μὲν ὡς σκηνὴν προβάλλοιτο, ἤ τι προσω-
πεῖον τὴν ἄλλην καὶ προσκαίρων, τὸ τοῦ κόσμου
τούτου δρᾶμα ὑποκρινόμενος, αὐτὸς δὲ ζῴοι θεῷ
μετὰ τῆς εἰκόνος, ἣν οἶδεν παρ' ἐκείνου λαβὼν καὶ
ὀφείλων τῷ δεδωκότι. ὅπερ ἀμέλει καὶ καισά-
ριον διανοηθέντα γινώσκομεν. τάττεται μὲν
γὰρ τὴν πρώτην ἐν ἰατροῖς τάξιν, οὐδὲ πολλοῦ πό-
νου προσδεηθεὶς, ἀλλ' ἐπιδείξας μόνον τὴν παί-
δευσιν, μᾶλλον δὲ βραχύ τινα τῆς παιδεύσεως,
οἷον πρόλογον, κἀν τοῖς φίλοις τοῦ βασιλέως εὐ-
θὺς ἀριθμούμενος, τὰς μεγίστας καρποῦται τι-
μάς. ἄμισθον δὲ τὴν τῆς τέχνης φιλανθρωπίαν
τοῖς ἐν τέλει προτίθησιν, εἰδὼς οὐδὲν οὕτως, ὡς
ἀρετὴν, καὶ τὸ διὰ τοῖς καλλίστοις γνώσκεσθαι,
προάγειν εἰς τὸ ἔμπροσθεν. καὶ ὧν τῇ τάξει δεύ-

τίμιος ἦν, τούτων κατὰ πολὺ πρῶτος ἦν τῇ δόξῃ. πᾶσι μὲν ὢν διὰ σωφροσύνην ἐπέραστος, καὶ διὰ τοῦτο τὰ τίμια πιστευόμενος, καὶ μηδὲν ἱπποκράτους ὅρκου προσδεόμενος, ὡς μηδὲν εἶναι καὶ τὴν κράτητος ἁπλότητα πρὸς τὴν ἐκείνου θεωρουμένην. πᾶσι δὲ πλέον, ἢ κατὰ τὴν ἀξίαν αἰδέσιμος. μεγάλων μὲν ἀεὶ τῶν παρόντων ἀξιούμενος, μειζόνων δὲ ἄξιος εἶναι τῶν ἐλπιζομένων κρινόμενος, τοῖς τε βασιλεῦσιν αὐτοῖς, καὶ ὅσοι τὰ πρῶτα μετ᾽ ἐκείνους ἔχουσιν. τὸ δὲ μέγιστον, ὅτι μήτε ἀπὸ τῆς δόξης, μήτε ἀπὸ τῆς ἐν μέσῳ τρυφῆς, τὴν τῆς ψυχῆς εὐγένειαν διεφθάρη. ἀλλὰ πολλῶν καὶ μεγάλων ὑπαρχόντων αὐτῷ, πρῶτον ἦν εἰς ἀξίωμα χριστιανὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι, καὶ πάντα ὁμοῦ παιδιά τις ἐκείνῳ καὶ λῆρος, πρὸς ἐν τοῦτο κρινόμενα. τὰ μὲν γὰρ ἄλλα ὡς ἐπὶ σκηνῆς καὶ ἄλλοις παίζεσθαι, τάχιστα πηγνυμένης τε καὶ καταλυομένης, τάχα δὲ φθειρομένης θᾶττον, ἢ συνισταμένης, ὡς εἶναι ἰδεῖν ἐκ τῶν πολλῶν τοῦ βίου μεταβολῶν, καὶ τῆς ἄνω καὶ κάτω μεταπιπτούσης εὐετηρίας. μόνον δὲ ἴδιον ἀγαθὸν εἶναι καὶ παραμένον ἀσφαλῶς, τὴν εὐσέβειαν. ταῦτα καισαρείῳ ἐφιλοσοφεῖτο κἂν τῇ χλανίδι. ταύταις καὶ συνέζησε ταῖς ἐννοίαις, καὶ συναπῆλθε μείζω τῆς φαινομένης εἰς τὸ κοινὸν εὐσε-

βείας, θεῷ γνωρίζων καὶ παριστὰς τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον. καὶ εἴ με δεῖ πάντα παρέντα, τὴν προστασίαν τὴν ἐκ γυναικὸς ἄρτι χηρευσάντων, τὴν ὑπεροψίαν τοῦ τύφου, τὴν πρὸς τοὺς φίλους ἰσοτιμίαν, τὴν πρὸς τοὺς ἄρχοντας παρρησίαν, τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ λόγους, οὓς πολλοὺς πολλάκις καὶ πρὸς πολλοὺς συνεστήσατο, οὐ λογικῶς μόνον, ἀλλὰ καὶ λίαν εὐσεβῶς τε καὶ διαπύρως, ἓν ἀντὶ πάντων εἰπεῖν τῶν ἐκείνου τὸ γνωριμώτατον. ἐλύσσα καθ' ἡμῶν βασιλεὺς ὁ δυσώνυμος, καὶ καθ' ἑαυτοῦ πρῶτον μανεὶς, ἐκ τῆς εἰς χριστὸν ἀθετήσεως, ἀφόρητος ἤδη καὶ τοῖς ἄλλοις ὤν, οὐδ' ἐν ἴσῳ τοῖς λοιποῖς χριστομάχοις, μεγαλοψύχως ἀπογραφόμενος εἰς τὴν ἀσέβειαν, ἀλλὰ βλέπων τὸν διωγμὸν ἐν ἐπιεικείας πλάσματι, καὶ κατὰ τὸν σκολιὸν ὄφιν, ὃς τὴν ἐκείνου κατέσχε ψυχὴν, παντοίαις μηχαναῖς ὑποσπῶν τοὺς ἀθλίους εἰς τὸ ἑαυτοῦ βάραθρον. καὶ τὸ μὲν πρῶτον αὐτοῦ τέχνασμά τε καὶ σόφισμα, πάσχοντας τοὺς χριστιανοὺς ὡς κακούργους κολάζεσθαι, ἵνα μὴ δὲ τῆς [illegible] τοῖς ἄθλοις τιμῆς τυγχάνοιμεν. ἐφθόνει γὰρ καὶ ταύτης χριστιανοῖς ὁ γεννάδας, πάσχοντας ὡς χριστιανοὺς, ὡς κακούργους κολάζεσθαι. τὸ δὲ δεύτερον, πειθοῦς ὄνομα προσεῖναι τῷ γινομένῳ, μὴ τυραννίδος, ὡς ἂν μεῖζον ᾖ τοῦ κινδύνου τὸ τῆς αἰ-

χιώνης, αὐθαιρέτως χωροῦσι πρὸς τὴν ἀσέβειαν. καὶ τοὺς μὲν χρήμασι, τοὺς δὲ ἀξιώμασι, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ παντοίαις τιμαῖς ὑφελκόμενος, ἃς οὐδὲ βασιλικῶς προσῆγεν, ἀλλὰ καὶ λίαν δουλοπρεπῶς, ἐν ταῖς ἁπάντων ὄψεσι. πάντας δὲ τῇ γοητείᾳ τῶν λόγων καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι. ἐπεὶ πολλοῖς πειρᾶται καὶ Καισαρίου. φεῦ τῆς παραπληξίας καὶ τῆς ἀνοίας, ἣ Καισάριόν τε ὄντα καὶ ἀδελφὸν ἐμὸν, καὶ τῶν γονέων τούτων, συλήσειν ἤλπισεν. ἀλλ' ἵνα μικρὸν προσδιατρίψω τῷ λόγῳ, καὶ κατατρυφήσω τοῦ διηγήματος, ὡς οἱ παρόντες τοῦ θαύματος, εἰσῄει μὲν ὁ γεννάδας ἐκεῖνος, τῷ τοῦ Χριστοῦ σημείῳ φραξάμενος, καὶ τὸν μέγαν λόγον ἑαυτοῦ προβαλλόμενος, πρὸς τὸν πολλὴν ἐν ὅπλοις, καὶ μέγαν ἐν λόγων δεινότητι. οὐδὲν δὲ καταπλαγεὶς πρὸς τὴν ὄψιν, οὐδὲ θωπίᾳ τινὶ καταβαλὼν τοῦ φρονήματος, ἀθλητὴς ἕτοιμος ἦν καὶ λόγῳ καὶ ἔργῳ, πρὸς τὸν ἐν ἀμφοτέροις δυνατὸν ἀγωνίζεσθαι. τὸ μὲν οὖν στάδιον τοιοῦτον, καὶ ὁ τῆς εὐσεβείας ἀγωνιστὴς τοσοῦτος, καὶ ἀγωνοθέτης. ἔνθεν μὲν Χριστὸς τοῖς ἑαυτοῦ πάθεσι τὸν ἀθλητὴν ἐξοπλίζων, ἐκεῖθεν δὲ δεινὸς τύραννος, τῇ τῶν λόγων οἰκειότητι προσσαίνων, καὶ τῷ τῆς ἐξουσίας ὄγκῳ δεδιττόμενος. θέατρον δὲ ἀμφοτέρωθεν, τῶν τε τῇ εὐσεβείᾳ λειπομένων ἔτι, καὶ τῶν ὑπ' ἐκεί-

νου

νου συνηρπασμένων, ὅπη νεύσῃ τὰ κατ' αὐτοὺς ἀποσκοπούντων, ὅστις νικήσειε πλείω τὴν ἀγωνίαν ἐχόντων, ἢ περὶ οὓς τὸ θέατρον. ἆρ' οὐκ ἔδεισας περὶ καισαρείου, μή τι πάθῃ τῆς προθυμίας ἀνάξιον; ἀλλὰ θαρσεῖτε, μετὰ χριστοῦ γὰρ ἡ νίκη, τοῦ τὸν κόσμον νικήσαντος. τὰ μὲν οὖν καθ' ἕκαστον τῶν τότε ῥηθέντων, ἢ προτεθέντων ἐκδιηγεῖσθαι τανῦν, ἐγὼ μὲν εὖ ἴστε τοῦ παντὸς ἂν ἐτιμησάμην, καὶ γὰρ καὶ λογικάς τινας ἔστιν ἃς ἔχει στροφὰς καὶ κομψείας ὁ λόγος, ἔμοι γοῦν οὐκ ἀηδεῖς εἰς μνήμην, ἔξω δ' ἂν εἴη παντελῶς τοῦ καιροῦ καὶ τοῦ λόγου. ὡς δὲ πάσας αὐτοῦ τὰς ἐν τοῖς λόγοις πλοκὰς διαλύσας, καὶ πείρας ἁπάσας ἀφανεῖς τε καὶ φανερὰς, ὥσπερ τινὰ παιδιὰν παρωσάμενος, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ, τὸ χριστιανὸς εἶναί τε καὶ μένειν ἀνεκήρυξεν, οὐδὲ οὕτω μὲν παντελῶς ἀποπέμπεται. καὶ γὰρ δεινὸς ἔρως εἶχε τὸν βασιλέα, τῇ καισαρείου παιδεύσει συνεῖναι καὶ καλλωπίζεσθαι. ἡνίκα καὶ τὸ περιβόητον ἐκεῖνο ἐν ταῖς τῶν πάντων ἀκοαῖς ἐφθέγξατο. ὢ πατρὸς εὐτυχοῦς, ὢ παίδων δυστυχῶν. ἐπειδὴ καὶ ἡμᾶς ἠξίωσε τιμῆσαι τῇ κοινωνίᾳ τῆς ἀτιμίας, ὧν καὶ τὴν παίδευσιν ἀθήνησιν ἔγνω καὶ τὴν εὐσέβειαν. δευτέρᾳ δὲ εἰσόδῳ παραμυθεὶς, ἐπειδή γε κατὰ προσώπων ἐκεῖνον ἡ δίκη καλῶς ἐξώπλισεν. ἐπάνεισι

πρὸς ἡμᾶς φυγὰς καισάρειος, καὶ τροπαιοῦχος ἀναίμακτος, καὶ περιφανέστερος τὴν ἀτιμίαν, ἢ τὴν λαμπρότητα. ταύτην ἐγὼ τὴν νίκην τῆς πολλῆς ἐκείνου χειρὸς, καὶ τῆς ὑψηλῆς ἁλουργίδος, καὶ τοῦ πολυτελοῦς διαδήματος, ὑψηλοτέραν κρίνω μακρῷ καὶ τιμιωτέραν. τούτῳ τῷ διηγήματι πλέον ἐπαίρομαι, ἢ εἰ πᾶσαν ἐκείνῳ τὴν βασιλείαν ἀπεμερίσατο. τοῖς μὲν οὖν πονηροῖς ὑποχωρεῖ χρόνοις, καὶ τοῦτο κατὰ τὴν ἡμετέραν νομοθεσίαν. ἐνστάντος μὲν καιροῦ, διακινδυνεύειν ὑπὲρ τῆς ἀληθείας, καὶ μὴ προδιδόναι δειλίᾳ τὴν εὐσέβειαν. ἕως δ' ἂν ἐξῇ, μὴ προκαλεῖσθαι τοὺς κινδύνους κελεύουσαν, εἴτε δέει τῶν ἡμετέρων ψυχῶν, εἴτε φειδοῖ τῶν ἐπαγόντων τὸν κίνδυνον. ἐπεὶ δὲ ὁ ζόφος ἐλύθη, καὶ ἡ ὑπερορία καλῶς ἐδίκασε, καὶ ἡ στιλβωθεῖσα ῥομφαία τὸν ἀσεβῆ κατέβαλεν, καὶ χριστιανοῖς ἐπανῆλθε τὰ πράγματα, τί δεῖ λέγειν μεθ' οἵας δόξης τε καὶ τιμῆς, ἢ τῶν μαρτυρίων οἵων καὶ ὅσων, καὶ ὡς διδοὺς χάριν μᾶλλον ἢ κομιζόμενος, τοῖς βασιλείοις αὖθις ἀναλαμβάνεται, καὶ διαδέχεται τὴν προτέραν τιμὴν ἡ δευτέρα; καὶ βασιλεῖς μὲν ὁ χρόνος παρήμειψε, καισαρείῳ δὲ, τὸ τῆς εὐδοξίας ἄλυτον, καὶ τῶν παρ' αὐτοῖς πρωτείων, καὶ ἀγὼν τοῖς βασιλεῦσιν, ὅστις μᾶλλον καισάρειον οἰκειώσηται, καὶ οὗ μᾶλλον ἐκεῖνος ὀνομασθῇ φίλος καὶ γνώριμος.

ριμος. τοιαῦτα καισαρίῳ τὰ τῆς εὐσεβείας, καὶ παρὰ τῆς εὐσεβείας. ἀκουέτωσαν νέοι καὶ ἄνδρες, καὶ διὰ τῆς αὐτῆς ἀρετῆς, πρὸς τὴν αὐτὴν ἐπιφάνειαν ἐπειγέσθωσαν. ἀγαθῶν γὰρ πόνων καρπὸς εὔκλεια, ὅσοις καὶ τοῦτο διὰ σπουδῆς, καὶ μέτρος εὐδαιμονίας ὑπολαμβάνεται. ἀλλ' οἷον δὴ καὶ τοῦτο τῶν περὶ αὐτὸν θαυμάτων, ὁμοῦ τε τῆς τῶν γονέων θεοσεβείας, καὶ τῆς ἐκείνου μεγίστην ἔχον ἀπόδειξιν. διέτριβε μὲν ἐν τῇ βιθυνῶν, τὴν οὐ πολλοστὴν ἀπὸ βασιλέως διέπων ἀρχήν. ἡ δὲ ἦν, ταμιεύειν βασιλεῖ τὰ χρήματα, καὶ τῶν θησαυρῶν ἔχειν τὴν ἐπιμέλειαν. ἐντεῦθεν γὰρ αὐτῷ τὰς μείζους ἀρχὰς βασιλεὺς προοιμιάζεται. τοῦ δὲ πρῴην συνενεχθέντος ἐν νικαίᾳ σεισμοῦ, καὶ πᾶσαν μικροῦ τὴν πόλιν κατενεγκόντος, ὃς δὴ χαλεπώτατος τῶν πώποτε μνημονευομένων γεγονέναι λέγεται, μικροῦ τοὺς πάντας ἐγκαταλαβόντος, καὶ τῷ τῆς πόλεως κάλλει συναφανίσαντος, μόνος τῶν ἐπιφανῶν, ἢ κομιδῇ σὺν ὀλίγοις, ἐκ τοῦ κινδύνου περισώζεται, καὶ σωτηρίαν ἀπιστουμένην. αὐτῷ σκεπασθεὶς τῷ συμπτώματι, καὶ μικρὰ σημεῖα τοῦ κινδύνου φερόμενος, ὅθεν τὸν φόβον παιδαγωγὸν λαβεῖν τῆς μείζονος σωτηρίας, καὶ ὅλος τῆς ἄνω γενέσθαι μοίρας, μεταθέμενος τὴν στρατείαν ἐκ τῶν κινουμένων, καὶ ἀμείψας ἑαυτῷ τὰ βα-

σίλεια. τοῦτο μὲν οὖν καὶ διενοεῖτο, καὶ κατὰ σπουδὴν ἑαυτῷ συνηύχετο, ὡς πρὸς ἐμὲ γράφων ἔπειθεν, ἁρπάζοντα τὸν καιρὸν εἰς νουθέτησιν, ὅπερ οὐδ᾽ ἄλλοτε ποιῶν ἐπαυσάμην, ζηλοτυπῶν τὸ ἐκείνου μεγαλοφυὲς, στρεφόμενον ἐν τοῖς χείροσι, καὶ τὴν φιλόσοφον οὕτω ψυχὴν ἐν τοῖς δημοσίοις καλινδουμένην, καὶ ὥσπερ ἥλιον νέφει συγκαλυπτόμενον. ἀλλὰ τοῦ μὲν σεισμοῦ κρείττων ἐγένετο, τῆς νόσου δὲ οὐκ ἔτι, καὶ γὰρ ἦν ἄνθρωπος. καὶ τὸ μὲν ἴδιον ἐκείνου, τὸ δὲ κοινὸν πρὸς τοὺς ἄλλους. καὶ τὸ μὲν τῆς εὐσεβείας, τὸ δὲ τῆς φύσεως. καὶ προὔλαβεν ἡ παραμυθία τὸ πάθος, ἵνα τῷ θανάτῳ σεισθέντες, τῷ παραδόξῳ τῆς τότε σωτηρίας ἐγκαυχησώμεθα. καὶ νῦν ἡμῖν ὁ καλὸς καισάριος ἀποσέσωσται, κόνις τιμία, νεκρὸς ἐπαινούμενος, ὕμνοις ἐξ ὕμνων παραπεμπόμενος, μαρτύρων βήμασι πομπευόμενος, γονέων χερσὶν ὁσίαις τιμώμενος, μητρὸς λαμπροφορίᾳ τῷ πάθει τὴν εὐσέβειαν ἀντεισαγούσης, δάκρυσιν ἡττωμένοις φιλοσοφίᾳ, ψαλμῳδίαις κοιμιζούσαις τοὺς θρήνους, καὶ τῆς νεοκτίστου ψυχῆς, ἣν τὸ πνεῦμα δι᾽ ὕδατος ἀνεμόρφωσεν, ἄξια τὰ γέρα καρπούμενος. τοῦτό σοι καισάριε παρ᾽ ἐμοῦ τὸ ἐντάφιον. αὗται τῶν ἐμῶν λόγων αἱ ἀπαρχαὶ, οὓς κρυπτομένους πολλάκις μεμψάμενος, ἐπὶ σεαυτὸν γυμνώ-

σειν

σειν ἔμελλες. οὗτος ὁ παρ' ἐμοῦ κόσμος, σοὶ δὲ κόσμου παντὸς οὗ οἶδα φίλτατος, οὐ σηρικὰ περιῤῥέοντα, καὶ μαλακὰ νήματα, οἷς οὐδὲ περιὼν ἔχαιρες, κατὰ τοὺς πολλοὺς, ἀρετῇ μόνῃ κοσμούμενος, οὐδὲ λίνου διαφανοῦς ὑφάσματα, οὐδὲ μύρων πολυτίμων ἐπιχύσεις, ἃ ταῖς γυναικωνίτισιν ἀπεπέμπου καὶ πρότερον, καὶ ὧν ἡμέρα μία λύει τὴν εὐωδίαν, οὐδ' ἄλλο τι τῶν μικρῶν καὶ τοῖς μικροῖς τιμίων, ἃ πάντα κατέκρυψεν ἂν σήμερον ὁ πικρὸς λίθος οὗτος, μετὰ τοῦ καλοῦ σώματος. ἐῤῥέτωσαν μοι καὶ ἀγώνων ἑλληνικοὶ καὶ μῦθοι, δι' ὧν ἔφηβοι δυστυχεῖς ἐτιμήθησαν, μικρὰ μικρῶν ἀγωνισμάτων προτιθέντες τὰ ἔπαθλα. καὶ ὅσα διὰ χοῶν τε καὶ ἀπαργμάτων, ἢ στεμμάτων τε καὶ ἀνθέων νεοδρέπτων, ἀφοσιοῦνται τοὺς ἀπελθόντας ἄνθρωποι, νόμῳ πατρίῳ μᾶλλον, καὶ ἀλογίᾳ πάθους, ἢ λόγῳ δουλεύοντες. τὸ δὲ ἐμὸν δῶρον, λόγος, ὃ τάχα καὶ ὁ μέλλων ὑπολήψεται χρόνος ἀεὶ κινούμενον, καὶ οὐκ ἐῶν εἰς τὸ παντελὲς ἀπελθεῖν τὸν ἐνθένδε μεταχωρήσαντα. φυλάσσων δὲ ἀεὶ καὶ ἀκοαῖς καὶ ψυχαῖς τὸν τιμώμενον, καὶ πινάκων ἐναργέστερον προτιθεὶς τὴν εἰκόνα τοῦ ποθουμένου. τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτα. εἰ δὲ μικρὰ, καὶ τῆς ἀξίας ἐλάττω, καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν, καὶ τὰ μὲν ἀποδεδώκαμεν,

τοῖς δὲ δώσομεν, τοὺς δ᾽ ἐτησίους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε τῷ βίῳ περιλειπόμενοι. σὺ δὲ ἡμῖν οὐρανοὺς ἐμβατεύοις ὦ θεία καὶ ἱερὰ κεφαλὴ, καὶ ἐν κόλποις ἀβραὰμ, οἵτινές δὴ οὗτοί εἰσιν, ἀναπαύσαιο, καὶ ἀγγέλων ἐποπτεύοις χορείαν, καὶ μακαρίων ἀνδρῶν δόξαν τε καὶ λαμπρότητας. μᾶλλον δὲ συγχορεύοις καὶ συναγάλλοιο, πάντα διαγελῶν τὰ τῇδε ἀφ᾽ ὕψους, τούς τε καλουμένους πλούτους, καὶ τὰς ἐρριμμένας ἀξίας, καὶ τὰς ψευδομένας τιμὰς, καὶ τὴν ἐκ τῶν αἰσθήσεων πλάνην, καὶ τὴν τοῦ βίου τούτου περιφορὰν, καὶ τὴν ὥσπερ ἐν νυκτομαχίᾳ σύγχυσίν τε καὶ ἄγνοιαν, βασιλεῖ τῷ μεγάλῳ παριστάμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος, οὗ μικρὰν ἀπορροὴν ἐντεῦθεν δεξάμενοι, ὅσον ἐν ἐσόπτροις φαντάζεται καὶ αἰνίγμασιν, αὐτῇ τῇ πηγῇ τοῦ καλοῦ μετὰ ταῦτα ἐντύχοιμεν. καθαρῷ τῷ νῷ, καθαρὰν τὴν ἀλήθειαν ἐποπτεύοντες, καὶ τοῦτον μισθὸν εὑρισκόμενοι τῆς περὶ τὸ καλὸν ἐνταῦθα φιλοπονίας, τὴν τελεωτέραν ἐκεῖσε τοῦ καλοῦ μετουσίαν καὶ θεωρίαν, ὅπερ δὴ τῆς ἡμετέρας τέλος μυσταγωγίας, βίβλοι τε καὶ ψυχαὶ θεολόγοι θεσπίζουσιν. Τί λοιπὸν ἔτι τὴν ἐκ λόγου θεραπείαν τοῖς ἀλγοῦσι προσενεγκεῖν; μέγα δὲ τὸ παρὰ τῶν συναλγούντων φάρμακον. καὶ οἱ τὸ ἴσον τοῦ πάθους ἔχοντες, πλέον

εἰσὶν εἰς παραμυθίαν τοῖς πάσχουσι. μάλιστα μὲν
οὖν πρὸς τοιούτους ὀξεῖν ἡμῖν ὁ λόγος, ὑπὲρ ὧν
αἰσχυνοίμην ἂν, εἰ μὴ καθάπερ ἄλλου παντὸς τῶν
καλῶν, οὕτω καὶ καρτερίας τὰ πρῶτα φέροιν-
το. καὶ γὰρ εἰ φιλόπαιδες πάντων μᾶλλον, ἀλλὰ
καὶ πάντων μᾶλλον φιλόσοφοι καὶ φιλόχριστοι,
καὶ τὴν ἐντεῦθεν μετάβασιν, ἐκ πλείονος αὐτοί
τε μελετήσαντες, καὶ τοὺς ἐξ αὐτῶν διδάξαντες,
μᾶλλον δὲ, τὸν βίον ὅλον μελέτην λύσεως ἐνστησά-
μενοι. εἰ δ' ἔτι τὸ πάθος ἐπισκοτεῖ τοῖς λογισμοῖς,
καὶ καθάπερ λήμη τις τὸν ὀφθαλμὸν ὑπελθοῦ-
σα, καθαρῶς συνιδεῖν οὐκ ἐᾷ τὸ δέον, φέρε δέ-
ξασθε παράκλησιν οἱ πρεσβύτεροι τοῦ νέου, καὶ
τοῦ παιδὸς οἱ πατέρες, καὶ τοῦ νουθετεῖσθαι παρὰ
τῶν τηλικούτων ὀφείλοντος, οἱ πολλοὺς νουθε-
τήσαντες, καὶ τῷ πολλῷ χρόνῳ τὴν ἐμπειρίαν
συλλέξαντες. θαυμάσητε δὲ μηδὲν, εἰ νέος νουθε-
τῶ γέροντας. καὶ τοῦτο ὑμέτερον, εἴ τι πολιᾶς ἄμει-
νον συνορᾶν ἔχω. πόσον ἔτι βιωσόμεθα χρό-
νον, ὦ τίμιαι πολιαὶ, καὶ θεῷ πλησιάζουσαι;
πόσον ἐνταῦθα κακοπαθήσομεν; οὐδὲ ὁ πᾶς
ἀνθρώπων βίος μακρὸς, ὡς τῇ θείᾳ φύσει καὶ ἀ-
τελευτήτῳ παραβαλεῖν, μὴ ὅτι τὸ τῆς ζωῆς λεί-
ψανον, καὶ ἡ λύσις ὡς ἂν εἴποιμεν τῆς ἀνθρωπί-
νης πνοῆς, καὶ τοῦ προσκαίρου βίου τὰ τελευταῖα.
πόσον ἡμᾶς ἔφθη καισάριος; πόσον ἔτι τὸν ἀπελ

θόντα πενθήσομεν; οὐ πρὸς τὴν αὐτὴν ἐπειγό-
μεθα μονήν; οὐ τὸν αὐτὸν ὑποδυσόμεθα λίθον
αὐτίκα; οὐχ ἡ αὐτὴ κόνις μετὰ μικρὸν ἐσόμεθα;
οὐ τοσοῦτον κερδαίνομεν ἐν ταῖς μικραῖς ταύ-
ταις ἡμέραις, ὅσον πλείω κακὰ, τὰ μὲν ἰδόν-
τες, τὰ δὲ παθόντες, τὰ δὲ καὶ πράξαντες ἴσως,
λειτουργῆσαι τῷ τῆς φύσεως νόμῳ τὴν κοινὴν
ἀποφορὰν καὶ ἀσάλευτον, καὶ τοῖς μὲν ἐπαπελθεῖν, τῶν
δὲ προαπελθεῖν. καὶ τοὺς μὲν κλαῦσαι, ὑπὸ δὲ τῶν
θρηνηθῆναι, καὶ παρ' ἄλλων αὖθις λαβεῖν, ὃν προει-
σηνέγκαμεν ἄλλοις τῶν δακρύων ἔρανον. τοιοῦ-
τος ὁ βίος ἡμῶν ἀδελφοὶ τῶν ζώντων πρόσκαι-
ρα, τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον, οὐκ ὄντας γε-
νέσθαι, καὶ γενομένους ἀναλυθῆναι. ὄναρ ἐσμὲν
οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις
ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος
οὐκ ἔχουσα, κόνις, ἀτμὶς, ἑωθινὴ δρόσος, ἄνθος
» καιρῷ φυόμενον, καὶ καιρῷ λυόμενον. Ἄνθρω-
» πος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ
» ἀγροῦ, οὕτως ἐξανθήσει. καλῶς ὁ θεῖος Δαβὶδ
περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησεν. καὶ
» ἐν ἐκείνοις πάλιν τοῖς ῥήμασι, τὴν ὀλιγότητα τῶν
» ἡμερῶν μου ἀνάγγειλόν μοι, καὶ παλαιστῶν μέτρον
» τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται. τί δ' ἂν
εἴποις πρὸς Ἱερεμίαν, ὃς καὶ τῇ μητρὶ μέμφεται,
τῆς γεννήσεως ἀλγῶν, καὶ ταῦτα ἐπ' ἀλλοτρίοις

» πταίσμασι. πάντα εἶδον φησὶν ὁ ἐκκλησιαστής,
» πάντα ἐπῆλθον λογισμῷ τὰ ἀνθρώπινα, πλοῦ-
» τον, τρυφὴν, δυναστείαν, δόξαν τὴν ἄστατον, σο-
» φίαν τὴν ὑποφεύγουσαν πλέον, ἢ κρατουμένην.
» πάλιν τρυφὴν, σοφίαν πάλιν. ἐπὶ τὰ αὐτὰ
» πολλάκις ἀνακυκλουμένους. γαστρὸς ἡδονὰς,
» παραδείσους, πλῆθος οἰκετῶν, πλῆθος κτη-
» μάτων, οἰνοχόους, καὶ οἰνοχόας, ᾄδοντας καὶ
» ᾀδούσας, ὅπλα, δορυφόρους, ἔθνη προσπίπτον-
» τα, φόρους συλλεγομένους. ὀφρὺν βασιλείας,
» ὅσα περιττὰ βίου, ὅσα τῶν ἀναγκαίων, οἷς ὑπὲρ
» πάντας ἦλθον βασιλεῖς τοὺς ἔμπροσθεν, καὶ
» τί ἐπὶ πᾶσι τούτοις; πάντα ματαιότης μα-
» ταιοτήτων, τὰ πάντα ματαιότης. καὶ προαίρε-
» σις πνεύματος, εἴτ' οὖν ὁρμή τις ψυχῆς ἀλόγιστος,
» καὶ περισπασμὸς ἀνθρώπου, τάχα κατακρι-
» θέντες, ἴσως ἐκ τοῦ παλαιοῦ πτώματος. ἀλλὰ τέ-
» λος λόγου φησὶ, τὸ πᾶν ἄκουε, τὸν θεὸν φοβοῦ.
ἐνταῦθα τῆς ἀπορίας ἵσταται. καὶ τοῦτό σοι
μόνον τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὁδηγηθῆ-
ναι διὰ τῆς ταραχῆς τῶν ὁρωμένων καὶ σαλευομέ-
νων, ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα. μὴ τοί-
νυν πενθῶμεν καισάριον, οἵων ἀπηλλάγη κα-
κῶν εἰδότες, ἀλλ' ἡμᾶς αὐτοὺς, οἵοις ὑπελείφθη-
μεν, καὶ οἷα θησαυρίσομεν, ἂν μὴ γνησίως θεῷ
προσθέμενοι, καὶ παραδραμόντες τὰ παρα-

τρέχοντα, πρὸς τὴν ἄνω ζωὴν ἐπειγοίμεθα. ἔτι ὑπὲρ γῆς ὄντες, καταλιπόντες τὴν γῆν, καὶ τῷ πνεύματι φερόμενοι πρὸς τὰ ἄνω, γνησίως ἀκολουθήσαντες. ταῦτα καὶ ἀλγεινὰ τοῖς ὀλιγοψύχοις, καὶ κοῦφα τοῖς ἀνδρικοῖς τὴν διάνοιαν. σκοπῶμεν δὲ οὕτως. οὐκ ἄρξει καισάριος, ἀλλ' οὐδὲ ἀρχθήσεται πρὸς ἄλλων. οὐ φοβήσει τινάς, ἀλλ' οὐδὲ δείσει βαρὺν δεσπότην, πολλάκις τὸν οὐδὲ ἄρχεσθαι ἄξιον. οὐ συνάξει πλοῦτον, ἀλλ' οὐδὲ ὑπόψεται φθόνον, ἢ ψυχὴν ζημιωθήσεται κακῶς συνάγων, καὶ τοσοῦτον ἀεὶ προσλαμβάνειν ζητῶν, ὅσον ἐκτήσατο. τοιαύτη γὰρ ἡ τοῦ πλουτεῖν νόσος, ὅρον τοῦ δεῖσθαι πλείονος οὐκ ἔχουσα, ἀλλὰ τὸ πίνειν ἀεὶ δίψους ποιουμένη φάρμακον. οὐκ ἐπιδείξεται λόγους, ἀλλ' ὑπὸ λόγων γε θαυμασθήσεται. οὐ φιλοσοφήσει τὰ ἱπποκράτους καὶ γαληνοῦ, καὶ τῶν ἀντιθέτων ἐκείνοις, ἀλλ' οὐ κακοπαθήσει νόσοις, ἰδίας ἐπ' ἀλλοτρίαις συμφοραῖς λύπας καρπούμενος. οὐκ ἀποδείξει τὰ εὐκλείδου καὶ πτολεμαίου καὶ ἥρωνος, ἀλλ' οὐδὲ ἀλγήσει τοῖς ἀπαιδεύτοις φυσῶσι μείζονα. οὐ καλλωπιεῖται τοῖς πλάτωνος, καὶ ἀριστοτέλους, καὶ πύῤῥωνος, καὶ δημοκρίτοις τισὶ, καὶ ἡρακλείτοις, καὶ ἀναξαγόραις, κλεάνθαις τε, καὶ ἐπικούροις, καὶ οὐκ οἶδ' οἷς τισι τῆς σεμνῆς στοᾶς καὶ ἀκαδημίας, ἀλλ' οὐδὲ φροντι-

σει ὅπως διαλύσῃ τούτου τὰς πιθανότητας. τί με δεῖ μνημονεύειν τῶν ἄλλων; ἀλλὰ ταῦτα δή, τὰ τίμια πᾶσι καὶ περισπούδαστα. οὐ παραστήσεται γαμετὴν ἢ παῖδας, ἀλλ' οὐδὲ θρηνήσει τούτους, ἢ θρηνηθήσεται ὑπὸ τούτων, ἢ καταλιπὼν ἄλλοις, ἢ καταλειφθεὶς συμφορᾶς ὑπόμνημα. οὐ κληρονομήσει χρημάτων, ἀλλὰ κληρονομηθήσεται ὑφ' ὧν χρησιμώτατον, καὶ ὧν αὐτὸς ἠθέλησεν, ἵνα πλούσιος ἐνθένδε μεταναστῇ, πάντα μεθ' ἑαυτοῦ φερόμενος. ὢ τῆς φιλοτιμίας, ὢ τῆς καινῆς παρακλήσεως, ὢ τῆς μεγαλοψυχίας τῶν ἐπιβαλλομένων. ἠκούσθη κήρυγμα πάσης ἀκοῆς ἄξιον, καὶ μικρὸς πάθος κενοῦται δι' ὑποσχέσεως καλῆς καὶ ὁσίας, δοῦναι τὰ πάντα τῷ παιδί, τὸν ἐκείνου πλοῦτον, ὑπὲρ ἐκείνου δῶρον, ἐντάφιον, καὶ μηδὲν ὑπολειφθῆναι τοῖς προσδοκήσασιν. οὔπω ταῦτα ἱκανὰ πρὸς παραμυθίαν, προσοίσω τὸ μεῖζον φάρμακον. πείθομαι σοφῶν λόγοις ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου σώματος, ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γινομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος, ἢ, οὐκ οἶδ' ὅτι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτή-

ειον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο. καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα. μικρὸν δ' ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς, τρόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας, καὶ διαλύσας θεὸς, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης. καὶ καθάπερ τῆς μοχθηρίας αὐτοῦ μετέσχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῆς τερπνότητος ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γενομένη σὺν τούτῳ ἓν καὶ πνεῦμα καὶ νοῦς, καὶ θεὸς, καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος. ἄκουε γοῦν οἷα περὶ συμπήξεως ὀστῶν τε καὶ νεύρων φιλοσοφεῖται τῷ θείῳ ἰεζεκιὴλ, ὅσα μετ' ἐκεῖνον τῷ θείῳ παύλῳ περὶ σκηνώματος ἐπιγείου, καὶ οἰκίας ἀχειροποιήτου. τοῦ μὲν καταλυθησομένου, τῆς δὲ ἀποκειμένης ἐν οὐρανοῖς. καὶ τὴν μὲν ἀπὸ τοῦ σώματος ἐκδημίαν, ἐνδημίαν πρὸς τὸν κύριον εἶναι φάσκοντος. τὴν δὲ σὺν τούτῳ ζωὴν, ὡς ἐκδημίαν ὀδυρομένου, καὶ διὰ τοῦτο ποθοῦντος καὶ σπεύδοντος τὴν ἀνάλυσιν. τί μικροψυχῶ περὶ τὰς ἐλπίδας; τί γίνομαι πρόσκαιρος; ἀναμενῶ τὴν, τοῦ ἀρχαγγέλου φωνὴν, τὴν ἐσχάτην σάλπιγγα,

τὸν οὐρανοῦ

τὸν οὐρανοῦ μετασχηματισμὸν, τὴν γῆς μετάθεσιν, τὴν τῶν στοιχείων ἐλευθερίαν, τὴν κόσμου παντὸς ἀνακαίνισιν. τότε καισάριον αὐτὸν ὄψομαι, μηκέτι ἐκδημοῦντα, μηκέτι φερόμενον, μηκέτι πενθούμενον, μηκέτ᾽ ἐλεούμενον, λαμπρὸν, ἔνδοξον, ὑψηλὸν, οἷός μοι καὶ κατ᾽ ὄναρ ὤφθης πολλάκις ὦ φίλτατε ἀδελφῶν ἐμοὶ, καὶ φιλαδελφότατε, εἴτε τοῦ βούλεσθαι τοῦτ᾽ ἀνατυποῦντος, εἴτε τῆς ἀληθείας. νυνὶ δὲ ἀφεὶς τοὺς θρήνους εἰς ἐμαυτὸν βλέψω, μή τι θρήνων ἄξιον λάθω φέρων, καὶ τὰ ἐμαυτοῦ περισκέψομαι.

Υἱοὶ ἀνθρώπων, μέτεισι γὰρ πρὸς ὑμᾶς ὁ λόγος, ἕως πότε βαρυκάρδιοι, καὶ παχεῖς τὴν διάνοιαν; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος, μέγα τι, τὸν ἐνταῦθα βίον, καὶ τὰς ὀλίγας ταύτας ἡμέρας πολλὰς ὑπολαμβάνοντες, καὶ τὴν διάζευξιν ταύτην τὴν ἀσπαστὴν καὶ ἡδεῖαν, ὡς δή τι βαρὺ καὶ φρικῶδες ἀποστρεφόμενοι; οὐ γνωσόμεθα ἡμᾶς αὐτούς; οὐ τὰ φαινόμενα ῥίψομεν; οὐ πρὸς τὰ νοούμενα βλέψομεν; οὐκ εἴ τι καὶ λυπεῖσθαι χρὴ τοὐναντίον ἀνιασόμεθα, τῇ παροικίᾳ μηκυνομένῃ; κατὰ τὸν θεῖον δαβίδ. σκηνώματα σκοτασμοῦ, καὶ τόπον κακώσεως, καὶ ἰλὺν βυθοῦ, καὶ σκιὰν θανάτου τὰ τῇδε ἀποκαλοῦντος, ὅτι βραδύνομεν ἐν τοῖς τάφοις οἷς περιφέρομεν. ὅτι ὡς ἄνθρωποι ἀπο-

θνήσκομεν τὸν τῆς ἁμαρτίας θάνατον, θεοὶ γεγο-
νότες. τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, τού-
τῳ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν σύνειμι, καὶ οὐκ
ἐᾷ με ἀναπνεῖν ἥ τ' ἐκεῖθεν δόξα, καὶ τὰ ἐκεῖσε δι-
καιωτήρια, ὧν, τῆς μὲν ἐφίεμαι, μέχρι καὶ τοῦ
δύνασθαι λέγειν, ἐκλείπει εἰς τὸ σωτήριόν σου
ἡ ψυχή μου. τὰ δὲ φρίττω, καὶ ἀποστρέφομαι.
ἐκεῖνο δὲ οὐ δέδοικα, μή μοι τὸ σῶμα τοῦτο διαῤῥυὲν
καὶ διαφθαρὲν παντελῶς οἰχήσηται, ἀλλὰ μὴ
τὸ τοῦ θεοῦ πλάσμα τὸ ἔνδοξον, ἔνδοξον γὰρ κα-
τορθοῦν, ὥσπερ ἄτιμον ἁμαρτάνον, ἐν ᾧ λό-
γος, νόμος, ἐλπὶς, τὴν αὐτὴν τοῖς ἀλόγοις ἀτιμίαν
κατακριθῇ, καὶ μηδὲν πλέον, ἢ μετὰ τὴν διάζευ-
ξιν, ὡς ὄφελόν γε, τοῖς πονηροῖς, καὶ τοῦ ἐκεῖθεν
πυρὸς ἀξίοις. εἴθε νεκρώσαιμι τὰ μέλη τὰ ἐπὶ
τῆς γῆς εἴθε πάντα τῷ πνεύματι δαπανήσαι-
μι, τὴν στενὴν καὶ ὀλίγοις βατὴν ὁδεύσας ὁδὸν,
μὴ τὴν πλατεῖαν καὶ ἄνετον, ὡς τά γε μετὰ ταῦτα
λαμπρὰ, καὶ μεγάλα, καὶ μείζων ἢ κατὰ τὴν ἀ-
ξίαν ἐλπίς. τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ
αὐτοῦ; τί τὸ καινὸν τοῦτο περὶ ἐμὲ μυστήριον; μι-
κρός εἰμι καὶ μέγας. ταπεινὸς καὶ ὑψηλός. θνη-
τὸς καὶ ἀθάνατος. ἐπίγειος καὶ οὐράνιος. ἐκεῖνα μετὰ
τοῦ κάτω κόσμου, ταῦτα μετὰ τοῦ θεοῦ. ἐκεῖνα
μετὰ τῆς σαρκὸς, ταῦτα μετὰ τοῦ πνεύματος.
χριστῷ συνταφῆναί με δεῖ, χριστῷ συναναστῆναι,

συγκληρονομῆσαι χριστῷ. υἱὸν γενέσθαι θεοῦ, θεὸν αὐτὸν κληθῆναι. ὁρᾶτε ποῖ προϊὼν, ἀνήγαγεν ἡμᾶς ὁ λόγος. μικροῦ καὶ χάριν ὁμολογῶ τῷ πάθει, ᾧ τοιαῦτα ἐφιλοσόφησα, καὶ διὸ μᾶλλον ἐραστὴς ἐγενόμην τῆς ἐντεῦθεν ἀπαναστάσεως. τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βούλεται. τοῦτο ἡμῖν ὁ ἐνανθρωπήσας δι᾽ ἡμᾶς καὶ πτωχεύσας θεὸς ἵνα ἀναστήσῃ τὴν σάρκα, καὶ ἀνασώσηται τὴν εἰκόνα, καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον. ἵνα γενώμεθα οἱ πάντες ἓν ἐν χριστῷ, γενομένῳ τὰ πάντα ἐν πᾶσιν ἡμῖν τελείως. ὅπερ ἐστὶν αὐτὸς, τῶν νῦν ἐν ἡμῖν ὑπαρχόντων σαρκικῶν τε καὶ ἀνθρωπίνων. ἵνα μηκέτι ὦμεν ἄρρεν καὶ θῆλυ, βάρβαρος, σκύθης, δοῦλος, ἐλεύθερος, τὰ τῆς σαρκὸς γνωρίσματα, μόνον δὲ φέρωμεν ἐν ἡμῖν αὐτοῖς τὸν θεῖον χαρακτῆρα, παρ᾽ οὗ καὶ εἰς ὃν γεγόναμεν. τοσοῦτον ἀπ᾽ αὐτοῦ μορφωθέντες καὶ τυπωθέντες, ὥστε καὶ ἀπὸ μόνου γνωρίζεσθαι, καὶ εἴημέν γε ὅπερ ἐλπίζομεν, κατὰ τὴν μεγάλην θεοῦ τοῦ μεγαλοδώρου φιλανθρωπίαν. ὃς μικρὰ αἰτεῖ, μεγάλα χαρίζεται νῦν τε, καὶ εἰς τὸν ἔπειτα χρόνον, τοῖς γνησίως αὐτὸν ἀγαπῶσι. πάντα στέγοντες, πάντα ὑπομένοντες διὰ τὴν εἰς αὐτὸν ἀγάπην τε καὶ ἐλπίδα. ἐπὶ πᾶσιν εὐχαριστοῦντες, δεξιοῖς τε ὁμοίως καὶ ἀριστεροῖς. ἡδέσι λέγω καὶ ἀνιαροῖς. ἐπειδὴ καὶ ταῦτα σω-

τηρείας ὅπλα πολλάκις οἶδεν ὁ λόγος, αὐτῷ παρακατατιθέμενοι τὰς ἡμετέρας ψυχάς, τὰς τῶν περικαταλυόντων, ὥσπερ ἐν ὅλῳ κοινῇ τὴν ἑτοιμοτέραν, ὃ δὴ καὶ αὐτοὶ ποιήσαντες, ἐνταῦθα τοῦ λόγου λήξωμεν. ἀλλὰ καὶ ὑμεῖς τῶν δακρύων ἤδη τὸν τάφον ἤδη σπεύδοντες τὸν ὑμέτερον, ὃν δῶρον παρ' ὑμῶν ἔχει καισάριος, λυπηρόν τε καὶ μόνιμον, γονεῦσι μὲν ἑτοιμασθέντα καὶ γήρᾳ κατὰ καιρὸν, παισὶ δὲ καὶ νεότητι δωρηθέντα καὶ παρὰ τὸ εἰκὸς, καὶ οὐκ ἀπεικὸς, τῷ διέποντι τὰ ἡμέτερα. ὦ δέσποτα πάντων καὶ ποιητὰ, καὶ διαφερόντως τοῦδε τοῦ πλάσματος, ὦ θεὲ τῶν σῶν ἀνθρώπων, καὶ πάτερ καὶ κυβερνῆτα, ὦ ζωῆς καὶ θανάτου κύριε, ὦ ψυχῶν ἡμετέρων ταμία καὶ εὐεργέτα, ὦ ποιῶν τὰ πάντα καὶ μετασκευάζων τῷ τεχνίτῃ λόγῳ κατὰ καιρὸν, καὶ ὡς αὐτὸς ἐπίστασαι, τῷ βάθει τῆς σῆς σοφίας καὶ διοικήσεως, νῦν μὲν δέχοιο καισάριον ἀπαρχὴν τῆς ἡμετέρας ἀποδημίας. εἰ δὲ τὸν τελευταῖον πρῶτον, συγχωροῦμεν τοῖς σοῖς λόγοις, οἷς τὸ πᾶν φέρεται. δέχοιο δὲ καὶ ἡμᾶς ὕστερον ἐν καιρῷ εὐθέτῳ, οἰκονομήσας ἐν τῇ σαρκὶ ἐφ' ὅσον ἂν ᾖ συμφέρον. καὶ δέχοιό γε διὰ τὸν σὸν φόβον, ἑτοιμασθέντας καὶ οὐ ταρασσομένους, οὐδὲ ὑποχωροῦντας ἐν ἡμέρᾳ τῇ τελευταίᾳ, καὶ βίᾳ τῶν ἐντεῦθεν ἀποσπωμένους,

σωμένοις, ὃ τῶν φιλοκόσμων ψυχῶν πάθος καὶ φιλοσάρκων, ἀλλὰ προθύμως πρὸς τὴν αὐτόθεν ζωὴν τὴν μακραίωνά τε καὶ μακαρίαν, τὴν ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου εἰς τὴν ἀδελφὴν ἑαυτοῦ γοργονίαν ἐπιτάφιος.

α δελφὴν ἐπαινῶν, τὰ οἰκεῖα θαυμάσομαι. οὐ μὴν ὅτι οἰκεῖα, διὰ τοῦτο ψευδῶς, ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετῶς. ἀληθῆ δὲ, οὐχ ὅτι δίκαια μόνον, ἀλλ' ὅτι καὶ γνωσκόμενα. καὶ τὸ πρὸς χάριν οὐ συγχωρεῖται κἂν ἐθελήσωμεν, ἀλλὰ μέσος ἵσταται, οἷόν τις βραβευτὴς ἔντεχνος τοῦ λόγου καὶ τῆς ἀληθείας ὁ ἀκροατής. οὔτε τὸ παρ' ἀξίαν ἐπαινεῖν, καὶ τὸ κατ' ἀξίαν ἀπαιτῶν, ὅγε δίκαιος. ὥστε τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, μήτι τὴν ἀλήθειαν ὑπερδράμωμεν, ἀλλὰ τοὐναντίον, μήτι τῆς ἀληθείας ἐλλείπωμεν. καὶ παρὰ πολὺ τῆς ἀξίας ἐλθόντες, ἐλαττώσωμεν τὴν δόξαν τοῖς ἐγκωμίοις. ἐπειδὴ χαλεπὸν καὶ πρᾶξιν ἐξισῶσαι καὶ λόγον, τοῖς ἐκείνης καλοῖς. μήτε οὖν

τι ἀλλότριον ἐπαινείσθω πάν, ὃ μὴ δίκαιον, μὴ δὲ ἀτιμαζέσθω τὸ οἰκεῖον, εἰ τίμιον. ἵνα μὴ τῷ μὲν, κέρδος ἡ ἀλλοτριότης ᾖ, τῷ δὲ, εἰς ζημίαν ποιῆται τὸ τῆς οἰκειότητος. ἀμφοτέρως γὰρ ἂν ὁ τοῦ δικαίου βλάπτοιτο λόγος, κἀκείνων ἐπαινουμένων, καὶ τούτων σιωπωμένων. ὅρῳ δὲ καὶ κανόνι τῇ ἀληθείᾳ χρώμενοι, καὶ πρὸς ταύτην βλέποντες μόνον, ἄλλο δὲ οὐδὲν σκοποῦντες, ὧν οἱ πολλοί τε καὶ εὔωνοι, οὕτω καὶ ἐπαινεσόμεθα καὶ σιωπησόμεθα, τὰ ἐπαίνων ἢ σιωπῆς ἄξια. πάντων δ᾽ ἀτοπώτατον, εἰ ἀποστερεῖν μέν τι τοὺς ἰδίους, ἢ λοιδορεῖσθαι, ἢ κατηγορεῖν, ἢ ἄλλο τι ἀδικεῖν ἢ μικρὸν ἢ μεῖζον, οὐκ εὐαγὲς εἶναι θήσομεν, ἀλλὰ καὶ πάντων κάκιστον τὴν κατὰ τῶν οἰκειοτάτων παρανομίαν, λόγον δὲ ἀποστεροῦντες, ὃ πάντων μάλιστα τοῖς ἀγαθοῖς ἐστιν ὀφειλόμενον, καὶ ᾧ τὴν μνήμην ἂν αὐτοῖς ἀθάνατον καταστήσαιμεν. ἔπειτα δίκαιόν τι ποιεῖν οἰησόμεθα, καὶ πλείω λόγον ἕξομεν τὴν πονηρῶν τὸ πρὸς χάριν αἰτιωμένων, ἢ τὴν ἐπιεικῶν ἀπαιτούντων τὸ πρὸς ἀξίαν, καὶ τοὺς μὲν, ἔξωθεν ἐπαινεῖν, οὐ κωλύσει τὸ ἄγνωστον καὶ ἀμάρτυρον, καίτοι γε πολλῷ δικαιότερον ἦν, τοὺς γνωσκομένους δὲ ἡ φιλία κωλύσει, καὶ ὁ παρὰ τῶν πολλῶν φθόνος, καὶ τούτων μάλιστα τοὺς ἐνθένδε ἀπηλλαγμένους, οἷς ἄωρον τὸ χαρίζεσθαι, καταλιποῦσι μετὰ

τῶν

τῶν ἄλλων, καὶ τοὺς ἐπαινοῦντας ἢ ψέγοντας. ἐπεὶ δὲ ἱκανῶς ὑπὲρ τούτων ἀπολελογήμεθα, καὶ ἀναγκαῖον ἡμῖν αὐτοῖς ἀπεδείξαμεν ὄντα τὸν λόγον, φέρε προσβῶμεν ἤδη τοῖς ἐγκωμίοις, τὸ μὲν περὶ τὴν λέξιν γλαφυρὸν καὶ κομψὸν διαπτύσσοντες. ἐπειδὴ καὶ ἀκαλλώπιστος ἡ ἐπαινουμένη, καὶ τοῦτο κάλλος αὐτῇ, τὸ ἄκοσμον. τὴν δὲ ὀφειλομένην ὁσίαν, ὡς ἄλλό τι χρέος τῶν ἀναγκαιοτάτων ἀποπληροῦντες, καὶ ἅμα τοὺς πολλοὺς εἰς ζῆλον καὶ μίμησιν τῆς αὐτῆς ἀρετῆς ἐκπαιδεύοντες. ἐπειδὴ τοῦτο ἡμῖν ἐν παντὶ καὶ λόγῳ καὶ ἔργῳ σπουδάζεται, καταρτίζειν οὓς ἐπιστεύθημεν. ἄλλος μὲν οὖν πατρίδα τῆς ἀπελθούσης ἐπαινείτω καὶ γένος, νόμους ἐγκωμίων αἰδούμενος, πάντως δὲ οὐκ ἀπορήσει πολλῶν καὶ καλῶν λόγων, εἰ βούλοιτο ταύτην κοσμεῖν καὶ τοῖς ἔξωθεν, ὥσπερ μορφὴν τιμίαν τε καὶ καλὴν χρυσῷ καὶ λίθοις, καὶ τοῖς ἐκ τέχνης καὶ χειρὸς ὡραΐσμασιν, ἃ τὴν μὲν αἰσχρὰν ἐλέγχει τῇ παραθέσει, τῇ καλῇ δὲ, οὐ προσθήκη κάλλους ἐστὶν ἡττώμενα. ἐγὼ δὲ τοσοῦτον τῷ περὶ ταῦτα προσχρησάμενος νόμῳ, ὅσον τῶν κοινῶν γενέων ἐπιμνησθῆναι, καὶ γὰρ οὐδὲ ὅσιον παραδραμεῖν ἀγαθοῦ τοσούτου γεννήτορας τε καὶ διδασκάλους, ἐπ' αὐτὴν ὡς τάχιστα τρέψω τὸν λόγον, καὶ οὐ ζημιώσω τῶν τὰ ἐκείνης ἐπιζητούντων τὸν πόθον.

τίς οὖν οὐκ οἶδεν τὸν νέον ἡμῶν ἀβραὰμ καὶ τὴν
ἐφ᾽ ἡμῶν σάῤῥαν; γρηγόριον λέγω καὶ νόνναν
τὴν τούτου σύζυγον, καλὸν γὰρ μηδὲ τὰ ὀνόματα
παρελθεῖν, ὡς ἀρετῆς παράκλησιν. τὸν, πίστει
δικαιωθέντα, καὶ τὴν, τῷ πιστῷ συνοικήσασαν.
τὸν, πατέρα πολλῶν ἐθνῶν παρ᾽ ἐλπίδα, καὶ τὴν,
πνευματικῶς ὠδίνουσαν. τὸν, φυγόντα πατρῴων
θεῶν δουλείαν, καὶ τὴν, θυγατέρα καὶ μητέρα
τῶν ἐλευθέρων. τὸν, ἐξελθόντα συγγενείας καὶ
οἴκου διὰ τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τὴν, αἰ-
τίαν τῆς ἐκδημίας. τοῦτο γὰρ ἐκείνη μόνον, ἵνα
τι τολμήσω καὶ ὑπὲρ τὴν σάῤῥαν. τὸν, παροι-
κήσαντα καλῶς, καὶ τὴν, προθύμως συμπα-
ροικήσασαν. τὸν, τῷ κυρίῳ προσθέμενον, καὶ τὴν,
κύριον τὸν ἑαυτῆς ἄνδρα καὶ προσαγορεύουσαν
καὶ νομίζουσαν, καὶ μέρος τι διὰ τοῦτο δικαιω-
θεῖσαν, ὧν ἡ ἐπαγγελία, καὶ ὧν ὁ ἰσαὰκ ὅσον
τὸ ἐπ᾽ αὐτοῖς, καὶ τὸ ἀντιδωρηθὲν δώρημα, αὐτὸ
λογικὸν σφάγιον, καὶ ὁ ἀντεισαχθεὶς ἀμνὸς, καὶ
ὁ τύπος τοῦ κρείττονος. ἧς ὁ ποιμὴν ὁ καλὸς εὐ-
ξαμένης τε καὶ ὁδηγησάσης, καὶ παρ᾽ ἧς ὁ τύ-
πος τοῦ καλῶς ποιμαίνεσθαι. οὗ τὸ φυγεῖν τὰ
εἴδωλα γνησίως, εἶτα καὶ φυγαδεύειν δαίμονας.
καὶ ἧς τὸ μὴ ἄλλων ποτὲ κοινωνῆσαι τοῖς ἐξ εἰδώ-
λων, τὴν ὁμότιμον καὶ ὁμόφρονα καὶ ὁμόψυχον,
καὶ οὐχ ἧττον ἀρετῆς καὶ τῆς πρὸς θεὸν οἰκειώσεως,

ἢ σαρκὸς

ἢ σαρκὸς συζυγίαν. Ἴσον μὲν μήκει βίου καὶ πο
λιαῖς, ἴσον δὲ φρονήσει καὶ λάμψει κατ' ἀλλήλους
ἁμιλλωμένους, καὶ τῶν λοιπῶν ὑπεραίροντας.
σαρκὶ μὲν ὀλίγα κατεχομένους, πνεύματι δὲ μετενηνεγ
μένους, καὶ πρὸ τῆς διαζεύξεως. ὧν οὐχ ὁ κόσμος,
καὶ ὧν ὁ κόσμος. ὁ μὲν ὑπερορώμενος, ὁ δὲ προτι
μώμενος. ὧν τὸ ἀποπλουτεῖν, καὶ ὧν τὸ πλουτεῖν
διὰ τὴν καλὴν πραγματείαν. τὰ μὲν τῇδε δια
πτυόντων, τὰ δὲ ἐκεῖθεν ἀντωνουμένων. ὧν βρα
χὺ μὲν τὸ τῆς ζωῆς ταύτης λείψανον, καὶ ὅσον
ὑπελείφθη τῇ εὐσεβείᾳ, πολλὴ δὲ ἡ ζωὴ καὶ μα-
κραίων, ἣ προκεκμήκασιν. ἓν ἔτι προσθήσω τοῖς
περὶ αὐτὴν λόγοις, οἳ καλῶς καὶ δικαίως ἀμ-
φοτέροις τοῖς γένεσιν ἐμβριάθησεν, ὁ μὲν, ἀνδρῶν
εἶναι κόσμος, ἡ δὲ, γυναικῶν. καὶ οὐ κόσμος μό
νον, ἀλλὰ καὶ ἀρετῆς ὑπόδειγμα. Παρὰ τού-
των Γοργονία καὶ τὸ εἶναι, καὶ τὸ εὐδόκιμον. ἐν
τεῦθεν αὐτῇ τὰ τῆς εὐσεβείας σπέρματα. πα
ρὰ τούτων καὶ τὸ ζῆσαι καλῶς, καὶ τὸ ἀπελθεῖν
ἵλεω μετὰ τῶν χρηστοτέρων ἐλπίδων. καλὰ μὲν
δὴ καὶ ταῦτα, καὶ οἷα μὴ πολλοῖς ῥᾳδίως ὑπάρ
χειν τῶν ἐπ' εὐγενείᾳ μέγα κομώντων, καὶ φυσω
μένων τοῖς ἄνωθεν. ὃ δὲ δὴ φιλοσοφώτερον καὶ
ὑψηλότερον περὶ αὐτῆς διελθεῖν, Γοργονίᾳ πα
τρὶς μὲν ἡ ἄνω Ἱερουσαλήμ, ἡ μὴ βλεπομένη, νοου
μένη δὲ πόλις, ἐν ᾗ πολιτευόμεθα, καὶ πρὸς ἣν

ἐπειγόμεθα. ἧς πολίτης χριστὸς, καὶ συμπολῖται πανήγυρις καὶ ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ περὶ τὴν μεγάλην πόλιν ἑορταζόντων τῇ θεωρίᾳ τῆς δόξης, καὶ χορευόντων χορείαν τὴν ἀκατάλυτον. εὐγένεια δὲ, ἡ τῆς εἰκόνος τήρησις, καὶ ἡ πρὸς τὸ ἀρχέτυπον ἐξομοίωσις, ἣν ἐργάζεται λόγος καὶ ἀρετὴ, καὶ καθαρὸς πόθος, ἀεὶ καὶ μᾶλλον μορφῶν τὰ κατὰ θεὸν, τοὺς γνησίους τῶν ἄνω μύστας, καὶ τὸ γινώσκειν ὅθεν, καὶ τίνες, καὶ εἰς ὃ γεγόναμεν. οὕτως ἐγὼ περὶ τούτων γινώσκω, καὶ διὰ τοῦτο εὐγενεστέραν τὴν ἀφ᾿ ἡλίου ἀνατολῶν τὴν ἐκείνης ψυχὴν καὶ οἶδα καὶ ὀνομάζω, κρείττονι ἢ κατὰ τοὺς πολλοὺς εὐγενείας καὶ δυσγενείας κανόνι καὶ σταθμῇ χρώμενος. καὶ οὐχ αἵμασιν, ἀλλὰ τρόποις τισὶ ταῦτα χαρακτηρίζων. οὐδὲ κατὰ φατρίας κρίνων τοὺς ἐπαινουμένους ἢ ψεγομένους, ἀλλὰ καθ᾿ ἕκαστον. ἐν ἐκδόσει δὲ ὁ λόγος ὑπὲρ τῶν ἐκείνης καλῶν, καὶ ἄλλος, ἄλλο τι συνεισφερέτω καὶ βοηθείτω τῷ λόγῳ, ἐπειδὴ μὴ πάντα περιλαβεῖν ἐμοὶ δυνατὸν, μηδὲ τῷ λίαν δυνατῷ καὶ ἀκοὴν καὶ διάνοιαν. σωφροσύνῃ μέν γε τοσοῦτον διήνεγκεν, καὶ τοσοῦτον ὑπερῆρεν τὰς κατ᾿ αὐτὴν ἁπάσας, ἵνα μὴ λέγω τὰς παλαιὰς, ὧν ὁ πολὺς ἐπὶ σωφροσύνῃ λόγος, ὥστε εἰς δύο ταῦτα διῃρημένου πᾶσι τοῦ βίου, γάμου λέγω καὶ ἀγα-

μίας, καὶ τῆς μὲν οὔσης ὑψηλοτέρας τε καὶ θειοτέρας, ἐπιπονωτέρας δὲ καὶ σφαλερωτέρας, τοῦ δὲ ταπεινοτέρου τε καὶ ἀσφαλεστέρου, ἀμφοτέρων φυγοῦσα τὸ ἀηδὲς, ὅσον κάλλιστόν ἐστιν ἐν ἀμφοτέροις ἐκλέξασθαι, καὶ εἰς ἓν ἀγαγεῖν, τῆς μὲν τὸ ὕψος, τοῦ δὲ τὴν ἀσφάλειαν, καὶ γενέσθαι σώφρων ἄτυφος. τῷ γάμῳ τὸ τῆς ἀγαμίας καλὸν κεράσασα, καὶ δείξασα, ὅτι μηδέτερον τούτων, ἢ θεῷ πάντως, ἢ κόσμῳ συνδεῖ καὶ διΐστησι πάλιν. ὥστε εἶναι τὸ μὲν πάντη φευκτὸν κατὰ τὴν ἰδίαν φύσιν, τὸ δὲ τελέως ἐπαινετόν. ἀλλὰ νοῦς ἐστιν ὁ καὶ γάμῳ καὶ παρθενίᾳ καλῶς ἐπιστατῶν. καὶ ὥσπερ ὕλη τις ταῦτα τῷ τεχνίτῃ λόγῳ ῥυθμίζεται καὶ δημιουργεῖται πρὸς ἀρετήν. οὐ γὰρ ἐπεὶ σαρκὶ συνήφθη, διὰ τοῦτο ἐχωρίσθη τοῦ πνεύματος, οὐδ' ὅτι κεφαλὴν ἔσχε τὸν ἄνδρα, διὰ τοῦτο τὴν πρώτην κεφαλὴν ἠγνόησεν. ἀλλ' ὀλίγα λειτουργήσασα κόσμῳ καὶ φύσει, καὶ ὅσον ὁ τῆς σαρκὸς ἐβούλετο νόμος, μᾶλλον δὲ ὁ τῇ σαρκὶ ταῦτα νομοθετήσας, θεῷ τὸ πᾶν ἑαυτὴν καθιέρωσεν. ὃ δὲ κάλλιστον καὶ σεμνότατον, ὅτι καὶ τὸν ἄνδρα πρὸς ἑαυτῆς ἐποιήσατο, καὶ οὐ δεσπότην ἄτοπον, ἀλλ' ὁμόδουλον ἀγαθὸν προσεκτήσατο. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν τοῦ σώματος καρπὸν τὰ τέκνα λέγω, καὶ τέκνα τέκνων, καρπὸν τοῦ πνεύματος ἐποιήσατο. γένος ὅ-

λον καὶ οἰκίαν ὅλην, ἀντὶ μιᾶς ψυχῆς θεῷ καθαγνίσασα καὶ ποιήσασα, καὶ γάμον ἐπαινετὸν διὰ τῆς ἐν γάμῳ εὐαρεστήσεως, καὶ τῆς καλῆς ἐντεῦθεν καρποφορίας. ἑαυτὴν μὲν ἕως ἔζη ὑπόδειγμα καλοῦ παντὸς τοῖς ἐξ ἑαυτῆς προστήσασα, ἐπεὶ δὲ προσεκλήθη, τὸ θέλημα τῷ οἴκῳ μετ᾽ αὐτὴν ἐγκαταλιποῦσα, σιωπῶσαν παραίνεσιν. ὁ μὲν δὴ θεῖος σολομῶν ἐν τῇ παιδαγωγικῇ σοφίᾳ, ταῖς παροιμίαις λέγω, ἐπαινεῖ καὶ οἰκουρίαν γυναικὸς, καὶ φιλανδρίαν, καὶ ἀντιτίθησι τῇ ἔξω περιπλανωμένῃ, καὶ ἀκρατήτῳ, καὶ ἠτιμωμένῃ, καὶ τιμίων ψυχὰς ἀγρευούσῃ ἐν πορνικοῖς καὶ σχήμασι καὶ ὀνόμασι, τὴν ἔσω καλῶς ἀναστρεφομένην, καὶ ἀνδριζομένην τὰ γυναικὸς, πρὸς ἀτράκτῳ μὲν ἀεὶ τὰς χεῖρας ἐρείδουσαν, καὶ διπλᾶς τῷ ἀνδρὶ χλαίνας παρασκευάζουσαν. ὠνουμένην δὲ κατὰ καιρὸν γεώργιον. σιτηγοῦσαν δὲ καλῶς τοῖς οἰκέταις. πλήρει δὲ τραπέζῃ τοὺς φίλους δεξιουμένην, καὶ τἆλλα ὅσα τὴν σώφρονα καὶ φιλεργὸν ἐκεῖνος ἀνύμνησεν. ἐγὼ δὲ εἰ ἀπὸ τούτων ἐπαινοίην τὴν ἀδελφὴν, ἀπὸ τῆς σκιᾶς ἂν ἐπαινοίην τὸν ἀνδριάντα, ἢ ἀπὸ τῶν ὀνύχων τὸν λέοντα, παρεὶς τὰ μείζω καὶ τελεώτερα. τίς μὲν ἦν φαίνεσθαι μᾶλλον ἀξία; τίς δὲ ἧττον ἐφάνη, καὶ ἀπρόσιτον ἐτήρησεν ἑαυτὴν ἀνδρῶν ὄψεσι; τίς μᾶλλον ἔγνω μέτρα κατηφείας

τε καὶ φαιδρότητος; ὡς μήτε τὸ κατηφὲς ἀπάνθρωπον δοκεῖν, μήτε τὸ ἁπαλὸν ἀκόλαστον, ἀλλὰ τὸ μὲν σεμνὸν, τὸ δὲ ἥμερον. καὶ ὅρον τοῦτον εἶναι κοσμιότητος, κραθέντος τοῦ φιλανθρώπου τῷ ἀναστήματι. ἀκούετε τῶν γυναικῶν, ὅσαι λίαν ἐπιδέξιαι καὶ ῥάθυμοι, καὶ τὸ κάλυμμα τῆς αἰδοῦς ἀτιμάζουσαι. τίς μὲν οὕτως ὀφθαλμὸν ἐσωφρόνισεν; τίς δὲ τοσοῦτον γέλωτος κατεγέλασεν; ὡς μέγα δοκεῖν ἐκείνῃ καὶ ὁρμὴ μειδιάματος. τίς μᾶλλον ἀκοῇ θύρας ἐπέθηκεν; τίς δὲ τοῖς θείοις λόγοις ἤνεωξε; μᾶλλον δὲ, τίς νοῦν ἐπέστησεν ἡγεμόνα γλώσσῃ, λαλεῖν τὰ τοῦ θεοῦ δικαιώματα; τίς τάξιν οὕτως ἐστείλατο χείλεσιν; εἴ πω καὶ τοῦτο βούλεσθε τῶν ἐκείνης καλῶν, ὃ ταῖς μὲν ἄξιον οὐδενὸς ἐδόκει οὐδ' ὅσαι σώφρονες ἀληθῶς καὶ κόσμιαι τὸν τρόπον. μέγα δὲ δοκεῖν πεποιήκασιν αἱ λίαν φιλόκοσμοι καὶ φιλόκαλοι, καὶ οὐδὲ λόγῳ καθαιρόμεναι τῶν τὰ τοιαῦτα ἐκπαιδευόντων. οὐ χρυσὸς ἐκείνην ἐκόσμησεν, τέχνῃ πονηθεὶς εἰς κάλλους περιουσίαν, οὐ ξανθαὶ πλοκαμίδες, διαφαινόμεναί τε καὶ ὑποφαινόμεναι, καὶ βοστρύχων ἕλικες, καὶ σοφίσματα σκηνοποιούντων τὴν τιμίαν κεφαλὴν ἀτιμότατα, οὐκ ἐσθῆτος περιρρεούσης καὶ διαφανοῦς πολυτέλεια, οὐ λίθων αὐγαὶ καὶ χάριτες χρωννῦσαι τὸν πλησίον ἀέρα, καὶ τὰς μορφὰς περιλάμ-

παρουσαι. οὐ ζωγράφων τέχναι καὶ γοητεύματα,
καὶ τὸ εὔωνον κάλλος, καὶ ὁ κάτωθεν πλάστης ἀν-
τιδημιουργῶν, καὶ καταχρύπτων τὸ τοῦ Θεοῦ
πλάσμα ἐπιβούλοις χρώμασι, καὶ διὰ τῆς τιμῆς
αἰσχύνων, καὶ προστιθεὶς τὴν θείαν μορφὴν εἴδω-
λον πορνικὸν λίχνοις ὄμμασιν, ἵνα κλέψῃ τὸ νόθον
κάλλος τὴν φυσικὴν εἰκόνα, τηρουμένην Θεῷ
καὶ τῷ μέλλοντι. ἀλλὰ πολλοὺς μὲν ᾔδει καὶ παν
τοίους γυναικῶν κόσμους τοὺς ἔξωθεν. τιμιώτε-
ρον δ' οὐδένα τοῦ ἑαυτῆς τρόπου, καὶ τῆς ἔνδον
ἀποκειμένης λαμπρότητος. ἓν μὲν ἔρευθος ἐκεί-
νῃ φίλον, τὸ τῆς αἰδοῦς, μία δὲ λευκότης, ἡ παρὰ
τῆς ἐγκρατείας. τὰς δὲ γραφὰς καὶ ὑπογρα-
φὰς, καὶ τοὺς ζῶντας πίνακας, καὶ τὴν ῥέουσαν
εὐμορφίαν, ταῖς ἐπὶ θεάτρων παρῆκε καὶ τῶν
τριόδων, καὶ ὅσαις αἰσχύνη καὶ ὄνειδος τὸ αἰσχύνε-
σθαι. ταῦτα μὲν δὴ τοιαῦτα. τῆς δὲ φρονή-
σεως καὶ τῆς εὐσεβείας οὐκ ἔστιν ὅστις ἂν ἐφίκοι-
το λόγος, ἢ πολλὰ ἂν εὑρεθείη τὰ παραδείγμα-
τα, πλὴν τῶν ἐκείνης καὶ κατὰ σάρκα καὶ κα-
τὰ πνεῦμα πατέρων. πρὸς οὓς μόνους ὁρῶσα,
καὶ ὧν οὐδὲν ἐλαττουμένη τὴν ἀρετὴν, ἐν τού-
τῳ μόνον ἡττᾶτο καὶ πάνυ προθύμως, ὅτι παρ'
ἐκείνων τὸ ἀγαθὸν, κἀκείνους ῥίζαν καὶ ᾔδει καὶ
ὡμολόγει τῆς οἰκείας ἐλλάμψεως. τί μὲν τῆς δια-
νοίας ἐκείνης ὀξύτερον, ἥν γε καὶ κοινὴν σύμ-

βουλον, οὐχ οἱ ἐκ γένους μόνον, οὐδ' οἱ ἐκ τοῦ αὐτοῦ λαοῦ καὶ τῆς μιᾶς μάνδρας, ἀλλὰ καὶ οἱ κύκλῳ πάντες ἐγίνωσκον, καὶ νόμον ἄλλον τὰς ἐκείνης ἐποιοῦντο ὑποθήκας καὶ παραινέσεις; τί δὲ τῶν λόγων ἐκείνων εὐστοχώτερον; τί δὲ τῆς σιωπῆς συνετώτερον; ἀλλ' ἐπειδή γε σιωπῆς ἐμνήσθην, προσθήσω τὸ οἰκειότατον ἐκείνης, καὶ γυναιξὶ πρεπωδέστατον, καὶ τῷ παρόντι καιρῷ χρησιμώτατον. τίς μὲν ἔγνω τὰ περὶ θεοῦ μᾶλλον, ἔκ τε τῶν θείων λογίων καὶ τῆς οἰκείας συνέσεως; τίς δὲ ἧττον ἐφθέγξατο, ἐν τοῖς οἰκείοις ὅροις τῆς εὐσεβείας μείνασα; ὃ δ' οὖν ὠφείλετο τῇ γε ἀληθῶς εὐσεβεῖν ἐγνωκυίᾳ, καὶ οὐ καλὴ μόνον ἡ ἀπληστία, τίς μὲν ἀναθήμασιν οὕτω ναοὺς κατεκόσμησεν; ἄλλους τε, καὶ τὸν οὐκ οἶδ' εἰ μετ' ἐκείνην κοσμηθησόμενον. μᾶλλον δὲ, τίς οὕτω ναὸν ἑαυτὴν τῷ θεῷ ζῶντα παρέστησεν; τίς δὲ τοσοῦτον ἐδόξασεν ἱερέας, ἄλλους τε καὶ τὸν ἐκείνης τῆς εὐσεβείας συναγωνιστὴν καὶ διδάσκαλον; οὗ τὰ καλὰ σπέρματα, καὶ ἡ καθιερωμένη τῶν τέκνων τῷ θεῷ συζυγία. τίς δὲ τὸν οἶκον ἑαυτῆς μᾶλλον προὔθηκε τοῖς κατὰ θεὸν ζῶσι, τὴν καλὴν δεξίωσιν καὶ πλουτίζουσαν; καὶ ὃ τούτου μεῖζόν ἐστι, τίς οὕτως ἐδεξιοῦτο τῇ αἰδοῖ καὶ τοῖς κατὰ θεὸν διαβήμασιν; καὶ τὰ ἐπὶ τούτοις. τίς μὲν νοῦν ἔδειξεν ἀπαθέστερον ἐν τοῖς πάθεσι;

τίς δὲ συμπαθεστέραν ψυχὴν τοῖς κάμνουσι; τίς χεῖρα δαψιλεστέραν τοῖς δεομένοις; ὡς ἔγωγε καὶ τὸ τοῦ Ἰὼβ ἂν ἐπ' αὐτὴν θαρρήσας καλλωπισαίμην. θύρα δὲ αὐτῆς παντὶ ἐλθόντι ἠνέῳκτο, ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ὀφθαλμὸς ἦν τυφλῶν, πούς δὲ χωλῶν, μήτηρ δὲ ὀρφανῶν. τῆς δὲ εἰς χήρας εὐσπλαγχνίας, τί χρὴ μεῖζον εἰπεῖν, ἢ ὅτι τὸ μὴ χήρα κληθῆναι καρπὸν ἠνέγκατο; κοινὸν μὲν ἦν ἡ ἐκείνης ἑστία, τοῖς πενομένοις ἀφ' αἵματος καταγώγιον, κοινὰ δὲ τὰ ὄντα πᾶσι τοῖς δεομένοις οὐχ ἧττον, ἢ ἑκάστοις τὰ ἑαυτῶν. ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν. καὶ διὰ τὸ τῆς ἐπαγγελίας ἄπτωτον καὶ ἀψευδέστατον, πολλὰ ταῖς ἐκεῖθεν ληνοῖς ἐναπέθετο, πολλὰ Χριστὸν, καὶ διὰ πολλῶν τῶν εὖ παθόντων ἐδεξιώσατο. καὶ τὸ κάλλιστον, ὅτι μὴ τὸ δοκεῖν ἦν παρ' αὐτῇ πλεῖον τῆς ἀληθείας. ἀλλ' ἐν τῷ κρυπτῷ καλῶς ἐγεώργει, τῷ βλέποντι τὰ κρυπτὰ, τὴν εὐσέβειαν. πάντα τοῦ κοσμοκράτορος ἥρπασεν, πάντα μετήνεγκεν εἰς τὰς ἀσφαλεῖς ἀποθήκας. οὐδὲν ἀφῆκε τῇ γῇ πλὴν τοῦ σώματος. πάντων ἠλλάξατο τὰς ἐκεῖθεν ἐλπίδας. ἕνα τοῖς παισὶ πλοῦτον ἀφῆκε τὴν μίμησιν, καὶ τὴν ἐπὶ τούτοις φιλοτιμίαν. καὶ οὐ τὰ μὲν τῆς μεγαλοψυχίας τοιαῦτα καὶ οὕτως ἄπιστα, τὸ δὲ σῶμα παρέδωκε τῇ τρυφῇ καὶ ταῖς ἀκαθέκτοις

τῆς

τῆς γαστρὸς ἡδοναῖς, τῷ λυσσῶντι κυνὶ καὶ σπα-
ράττοντι, ὡς ἂν θαρροῦσα ταῖς εὐποιΐαις, ὅπερ
πάσχουσιν οἱ πολλοί, τῆς εἰς τοὺς πένητας εὐσπλαγ-
χνίας τὸ τρυφᾶν ἐξωνούμενοι, καὶ οὐ κακῷ τὸ
κακὸν ἰώμενοι, καλοῦ δὲ τὸ φαῦλον ἀντιλαμ-
βάνοντες, ἣ νηστείαις μὲν τὸν χοῦν κατεπάλαισεν,
ἑτέρῳ δὲ τὸ τῆς χαμευνίας παρῆκε φάρμακον,
ἣ τοῦτο μὲν ἐξεῦρε τῇ ψυχῇ τὸ βοήθημα. ὕπνῳ δὲ
μέτρον ἢ ἴσον ἑτέρου τινὸς ἐπέθηκεν, ἣ τοῦτο μὲν
ἐνομοθέτησεν ὥσπερ ἀσώματος, ἐκλίθη δὲ εἰς
γῆν, ἑτέρων παννυχιζόντων ἐν ὀρθῷ σώματι, ὃ
δὴ μάλιστα φιλοσόφων ἀνδρῶν ἐστι τὸ ἀγώνισμα,
ἣ, τοῦτο μὲν οὐ μόνον γυναικῶν, ἀλλὰ καὶ ἀνδρῶν
ὤφθη τῶν γενναιοτάτων ἀνδρικωτέρα. ψαλ-
μῳδίας δὲ τόνον ἔμφρονα, ἢ θείων λογίων ἔντευ-
ξιν, ἢ ἀνάπτυξιν, ἢ μνήμην εὔκαιρον, ἢ κλίσιν γο-
νάτων κατεσκληκότων, καὶ ὥσπερ τῷ ἐδάφει
συμπεφυκότων, ἢ δάκρυον ῥύπου καθάρσιον ἐν
καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώ-
σεως, ἢ εὐχὴν ἄνω μετατιθεῖσαν, καὶ νοῦ ἀπλα-
νῆ καὶ μετάρσιον, ταῦτα πάντα, ἢ τούτων τι,
ἔστιν ὅστις ἀνδρῶν ἢ γυναικῶν ἐκείνην ὑπερβε-
βηκέναι καυχήσαιτο; ἀλλ᾽ ἐκεῖνο, μέγα μὲν εἰ-
πεῖν, ἀληθὲς δέ, ὅτι τὸ μὲν ἐζήλου τῶν καλῶν,
τοῦ δὲ ἦν ζῆλος. καὶ τὸ μὲν εὗρε, τὸ δὲ ἐνίκησεν,
καὶ εἰ καθ᾽ ἕν τι τούτων ἔχει τοὺς ἁμιλλωμένους.

ἀλλὰ τῷ γε μιᾷ τὰ πάντα συλλαβεῖν, ἃ πάντων ἐκράτησεν. οὕτω μὲν τὰ πάντα κατορθώσασα, ὡς οὐδεὶς ἄλλος ἕν, καὶ μετρίως. οὕτω δ' εἰς ἄκρον ἕκαστον, ὥστε καὶ αὐτὸ πάντων ἓν ἐξαρκεῖν καὶ μόνον. ὢ ῥυπαροῦ σώματος καὶ ἐνδύματος, ἀρετῇ μόνον ἀνθοῦντος. ὢ ψυχῆς διακρατούσης τὸ σῶμα, καὶ δίχα τροφῆς ζῶσαν, ὥσπερ ἄϋλον. μᾶλλον δὲ σώματος βιαζομένου νεκρωθῆναι καὶ πρὸ τῆς διαζεύξεως, ἵν' ἐλευθερίαν λάβῃ ψυχὴ, καὶ μὴ παραποδίζηται ταῖς αἰσθήσεσιν. ὢ νυκτῶν ἀΰπνων, καὶ ψαλμῳδίας, καὶ στάσεως ἐξ ἡμέρας εἰς ἡμέραν παραληγούσης. ὢ Δαβὶδ, ταῖς πισταῖς μόνον ψυχαῖς οὐ μακρὰ μελῳδήσας. ὢ μελῶν ἁπαλότητος ἐπὶ γῆς ἐρριμμένων, καὶ παρὰ τὴν φύσιν τραχυνομένων. ὢ πηγαὶ δακρύων σπειρομένων ἐκ θλίψεως, ἵν' ἐν ἀγαλλιάσει θερίσωσιν. ὢ βοῆς νυκτερινῆς νεφέλας διερχομένης, καὶ φθανούσης πρὸς τὸν οὐρανόν. ὢ θερμότης πνεύματος κυνῶν καταπολμώσης νυκτερινῶν, δι' ἐπιθυμίαν εὐχῆς, καὶ κρυμῶν, καὶ ὑετῶν, καὶ βροντῶν, καὶ χαλάζης, καὶ ἀωρίας. ὢ γυναικεία φύσις τὴν ἀνδρείαν νικήσασα, διὰ τὸν κοινὸν ἀγῶνα τῆς σωτηρίας, καὶ σώματος διαφορὰν, οὐ ψυχῆς, τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐλέγξασα. ὢ τῆς μετὰ λουτρὸν ἁγνείας, καὶ τῆς νύμφης Χριστοῦ ψυχῆς, ἐν καθαρῷ νυμφῶνι

τῷ

τῷ σώματι. ὦ πικρὰ γεῦσις καὶ ξύλα μήτηρ καὶ γένους καὶ ἁμαρτίας, καὶ ὄφι πλάνε καὶ θάνατε, τῇ ἐκείνης ἐγκρατείᾳ νενικημένα. ὦ χριστοῦ κένωσις, καὶ δούλου μορφὴ, καὶ παθήματα, τῇ ἐκείνης νεκρώσει τετιμημένα. ὦ, πῶς ἢ καταριθμήσομαι τὰ ἐκείνης ἅπαντα, ἢ τὰ πλείω παρεὶς, μὴ ζημιώσω τοὺς ἀγνοοῦντας; ἀλλά μοι καλὸν ἤδη προσθεῖναι τῆς εὐσεβείας καὶ τὰ ἐπίχειρα. καὶ γάρ μοι ποθεῖν πάλαι δοκεῖτε, καὶ ζητεῖν ἐν τῷ λόγῳ, οἱ τὰ ἐκείνης καλῶς εἰδότες, οὐ τὰ παρόντα μόνον, οὐδὲ οἷς νῦν ἐκεῖθεν ἀγάλλεται, ἃ κρείττω καὶ διανοίας καὶ ἀκοῆς ἀνθρωπίνης καὶ ὄψεως, ἀλλὰ καὶ οἷς ἐντεῦθεν αὐτὴν ὁ δίκαιος μισθαποδότης ἠμείψατο. ἐπεὶ καὶ τοῦτο ποιεῖ πολλάκις εἰς οἰκοδομὴν τῶν ἀπίστων, τοῖς μικροῖς τὰ μεγάλα πιστούμενος, καὶ τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα. ἐρῶ δὲ τὰ μὲν, γνώριμα τοῖς πᾶσι, τὰ δὲ, ἀπόρρητα τοῖς πολλοῖς, καὶ τοῦτο ἐκείνης φιλοσοφησάσης τὸ μὴ καλλωπίζεσθαι τοῖς χαρίσμασιν. ἴστε τὰς μανείσας ἡμιόνους, καὶ τὴν συναρπαγὴν τοῦ ὀχήματος, καὶ τὴν ἀπευκτὴν ἐκείνην περιτροπὴν, καὶ τὴν ἄτοπον ἕλξιν, καὶ τὰ πονηρὰ συντρίμματα, καὶ τὸ γινόμενον ἐντεῦθεν σκάνδαλον τοῖς ἀπίστοις, εἰ οὕτω δίκαιοι παραδίδονται, καὶ τὴν ταχεῖαν τῆς ἀπιστίας διόρθωσιν. ὅτι πάντα συντριβεῖσα καὶ συγκο-

πείθεται καὶ ὀστᾶ, καὶ μέλη, καὶ ἀφανῆ καὶ φαινόμενα, καὶ οὔτε ἰατρὸν ἄλλον πλὴν τοῦ παραδόντος ἠνέσχετο, ὁμοῦ μὲν καὶ ὄψιν ἀνδρῶν αἰδουμένη καὶ χεῖρας. τὸ γὰρ κόσμιον κἀν τοῖς πάθεσι διεσώσατο. ὁμοῦ δὲ καὶ τὴν ἀπολογίαν ζητοῦσα παρὰ τοῦ ταῦτα παθεῖν συγχωρήσαντος, οὔτε παρ᾽ ἄλλου τινὸς ἢ ἐκείνου, τῆς σωτηρίας ἔτυχεν. ὡς μὴ μᾶλλον ἐπὶ τῷ πάθει πληγῆναί τινας, ἢ ἐπὶ τῷ παραδόξῳ τῆς ὑγείας καταπλαγῆναι, καὶ διὰ τούτων δόξαι συμβλῶσαι τὴν τραγῳδίαν, ἵν᾽ ἐνδοξασθῇ τοῖς πάθεσι. παθοῦσα μὲν ὡς ἄνθρωπος, ἰαθεῖσα δὲ ὑπὲρ ἄνθρωπον, καὶ διήγημα δοῦσα τοῖς ὕστερον, μέγιστον μὲν εἰς ἀπόδειξιν τῆς ἐν τοῖς πάθεσι πίστεως, καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, μεῖζον δὲ τῆς τοῦ θεοῦ περὶ τοὺς τοιούτους φιλανθρωπίας. τῷ γὰρ ὅτ᾽ ἂν πέσῃ οὐ καταῤῥαχθήσεται, περὶ τοῦ δικαίου καλῶς εἰρημένῳ, προσετέθη καινότερον, τὸ, κἂν καταῤῥαχθῇ, τάχιστα ὀρθωθήσεται καὶ δοξασθήσεται. εἰ γὰρ παρὰ τὸ εἰκὸς ἔπαθεν, ἀλλὰ καὶ ὑπὲρ τὸ εἰκὸς ἐπανῆλθε πρὸς ἑαυτήν. ὡς μικροῦ κλαπῆναι τῇ ὑγείᾳ τὸ πάθος, καὶ περιφανεστέραν γενέσθαι τὴν θεραπείαν, ἢ τὴν πληγήν. ὢ συμφορᾶς ἐπαινουμένης, καὶ θαυμασίας. ὢ πάθους ἀπαθείας ὑψηλοτέρου. ὢ τοῦ πατάξει καὶ μοτώσει, καὶ ὑγιάσει, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστήσει, φέροντος μὲν εἰς μεῖ-

ζον

ζον καὶ μυστικώτερον, ὥσπερ οὖν ἤνεγκεν, οὐχ ἧττον δὲ τῆς τοιαύτης ἁρμόζοντος πάθεσι. τοῦτο μὲν οὖν, ὃ πᾶσι πρόδηλον καὶ τοῖς πόρρωθεν, ἐπεὶ καὶ εἰς πάντας τὸ θαῦμα διῆλθε, καὶ ἐν ταῖς πάντων κεῖται γλώσσαις, καὶ ἀκοαῖς τὸ διήγημα, μετὰ τῶν ἄλλων τοῦ θεοῦ θαυμασίων τε καὶ δυνάμεων. τὸ δὲ μέχρι νῦν ἀγνοούμενον τοῖς πολλοῖς καὶ κρυπτόμενον διὰ τὴν ἐκείνης φιλοσοφίαν, καὶ τὸ τῆς εὐσεβείας ἄτυφόν τε καὶ ἀκαλλώπιστον, εἴπω κελεύεις ὦ ποιμένων ἄριστε καὶ τελεώτατε, ὁ τοῦ ἱεροῦ προβάτου ἐκείνου ποιμὴν, καὶ ταῦτα νεύεις λοιπὸν, ἐπειδὴ καὶ μόνοι τὸ μυστήριον ἐπιστεύθημεν, καὶ μάρτυρες ἀλλήλοις ἐσμὲν τοῦ θαύματος, ἢ ἔτι τῇ ἀπελθούσῃ τὴν πίστιν φυλάξωμεν. ἀλλά μοι δοκεῖ ὥσπερ τότε καιρὸς εἶναι τῆς σιωπῆς, οὕτω νῦν τῆς ἐξαγορεύσεως. οὐ μόνον εἰς τὴν τοῦ θεοῦ δόξαν, ἀλλὰ καὶ εἰς παράκλησιν τῶν ἐν θλίψεσιν. Ἔκαμνεν αὐτῇ τὸ σῶμα, καὶ διέκειτο πονήρως, καὶ ἡ νόσος ἦν τῶν ἀήθων καὶ ἀλλοκότων. πύρωσις μὲν ἀθρόα παντὸς τοῦ σώματος, καὶ οἷον βρασμός τις καὶ ζέσις αἵματος. εἶτα πῆξις τούτου καὶ νάρκη, καὶ ὠχρίασις ἄπιστος, καὶ νοῦ, καὶ μελῶν παράλυσις, καὶ ταῦτα οὐκ ἐκ μακρῶν τῶν διαστημάτων, ἀλλ' ἦν ὅτε καὶ λίαν συνεχῶς. καὶ τὸ κακὸν οὐκ ἀνθρώπινον ἐνομίζετο, καὶ οὔτε ἰατρῶν ἤρκουν τέχναι, λίαν ἐπιμελῶς

διασκεπτομένων περὶ τοῦ πάθους, καὶ καθ' ἑαυ-
τὸν ἑκάστου καὶ σὺν ἀλλήλοις, οὔτε γονέων δά-
κρυα, πολλὰ πολλάκις δεδυνημένα, οὔτε πάνδη-
μοι λιταὶ καὶ ἱκεσίαι, ἃς ὡς ὑπὲρ τῆς ἑαυτοῦ
σωτηρίας ἕκαστος ἐποιεῖτο πᾶς ὁ λαός. καὶ γὰρ
ἦν ἅπασι σωτηρία, τὸ ἐκείνην σώζεσθαι. ὥσ-
περ τοὐναντίον, πάθος κοινόν, τὸ τῇ ἀρρωστίᾳ κα-
κοπαθεῖν. τί οὖν ἡ μεγάλη καὶ τῶν μεγίστων ἀξία
ψυχή; καὶ τίς ἡ ἰατρεία τοῦ πάθους; ἐνταῦθα
γὰρ ἤδη καὶ τὸ ἀπόρρητον. πάντων ἀπεγνωκυῖα
τῶν ἄλλων, ἐπὶ τὸν πάντων ἰατρὸν καταφεύγει,
καὶ νυκτὸς ἀωρίαν τηρήσασα, μικρὸν ἐνδούσης
αὐτῇ τῆς νόσου, τῷ θυσιαστηρίῳ προσπίπτει με-
τὰ τῆς πίστεως, καὶ τὸν ἐπ' αὐτῷ τιμώμενον
ἀνακαλουμένη μεγάλῃ τῇ βοῇ, καὶ πάσαις ταῖς
κλήσεσι, καὶ πασῶν αὐτὸν τῶν πώποτε δυνά-
μεων ὑπομνήσασα, σοφὴ γὰρ ἐκείνη καὶ τὰ πα-
λαιὰ καὶ τὰ νέα, τέλος εὐσεβῆ τινα καὶ καλὴν ἀ-
ναισχυντίαν ἀναισχυντεῖ. μιμεῖται τὴν τοῖς κρα-
σπέδοις χριστοῦ ξηράνασαν πηγὴν αἵματος, καὶ τί
ποιεῖ; τῷ θυσιαστηρίῳ τὴν κεφαλὴν ἑαυτῆς
προσθεῖσα, μετὰ τῆς ἴσης βοῆς, καὶ δάκρυσι τοῖς ὑπερ-
πλουσίοις, ὥσπερ τις πάλαι τοὺς πόδας χρι-
στοῦ καταβρέχουσα, καὶ μὴ πρότερον ἀνήσειν,
ἢ τῆς ὑγιείας τυχεῖν ἀπειλοῦσα, εἶτα τῷ παρ'
ἑαυτῆς φαρμάκῳ τούτῳ τὸ σῶμα πᾶν ἐπα-
λείφουσα,

λείφουσα, καὶ εἴ που τι τῶν ἀντιτύπων τοῦ τιμίου σώματος ἢ τοῦ αἵματος ἡ χεὶρ ἐθησαύρισεν, τοῦτο καταμιγνῦσα τοῖς δάκρυσιν, ὢ τοῦ θαύματος, ἀπῆλθεν εὐθὺς αἰσθομένη τῆς σωτηρίας, κούφη καὶ σῶμα, καὶ ψυχὴν, καὶ διάνοιαν, μισθὸν ἐλπίδος λαβοῦσα τὸ ἐλπιζόμενον, καὶ τῇ τῆς ψυχῆς εὐρωστίᾳ κομισαμένη τὴν τοῦ σώματος. ταῦτα μεγάλα μὲν, οὐ ψευδῆ δέ. τούτοις πιστεύετε ἅπαντες, καὶ νοσοῦντες καὶ ὑγιαίνοντες. ἵν' οἱ μὲν ἔχητε τὴν ὑγίειαν, οἱ δὲ ἀπολάβητε. καὶ ὅτι μὴ κόμπος τὸ διήγημα, δῆλον ἐξ ὧν ζώσης κατασιγήσας, νῦν ἐξεκάλυψα. καὶ οὐδ' ἂν νῦν ἐδημοσίευσα, εὖ ἴστε, εἰ μή τις εἶχέ με φόβος, θαῦμα τοσοῦτον κατακρύψαι καὶ πιστοῖς καὶ ἀπίστοις, καὶ τοῖς νῦν, καὶ τοῖς ὕστερον. τὰ μὲν δὴ τοῦ βίου τοιαῦτα, καὶ τὰ πλείω παραλελοίπαμεν, διά τε τὴν συμμετρίαν τοῦ λόγου, καὶ τὸ μὴ δοκεῖν ἀπλήστως ἔχειν περὶ τὴν εὐφημίαν. τάχα δ' ἂν ἀδικοίημεν τελευτὴν ὁσίαν καὶ περιβόητον, εἰ μὴ καὶ τῶν ταύτης καλῶν ἐπιμνησθείημεν. καὶ ταῦτα, οὕτως ἐκείνης ἐπιθυμούσης τε καὶ ζητούσης. μνησθήσομαι δὲ ὡς ἂν οἷόν τε ᾖ συντομώτατα.

Ἐπόθει μὲν τὴν ἀνάλυσιν, καὶ γὰρ εἶχε πολλὴν πρὸς τὸν καλοῦντα τὴν παρρησίαν, καὶ τὸ σὺν Χριστῷ εἶναι, πάντων προετίθει τῶν ὑπὲρ γῆς. καὶ οὐδεὶς οὕτως ἐρᾷ σώματος τῶν λίαν ἐρωτικῶν

τε καὶ δυσκαθέκτων, ὡς ἐκείνη τὰς πέλας ἀπορ-
ρίψασα ταύτας, καὶ τὴν ὕλην ὑπερβᾶσα, μεθ'
ἧς βιοτεύομεν, μετὰ τοῦ καλοῦ καθαρῶς γε-
νέσθαι, καὶ τὸ ὁρώμενον ἀπολαβεῖν ὅλον, προ-
σθήσω δ' ὅτι καὶ τὸν ἐραστὴν, οὗ νῦν μικραῖς ἐλ-
λαμπόμεθα ταῖς αὐγαῖς, καὶ ὅσον γινώσκειν, οὐ
κεχωρίσμεθα. διαμαρτάνει δὲ οὐδὲ ταύτης τῆς
ἐπιθυμίας, οὕτως οὔσης ἐνθέου καὶ ὑψηλῆς.
καὶ ὃ τούτου μεῖζόν ἐστι, προαπολαύει τοῦ καλοῦ
διὰ τῆς προγνώσεως καὶ τῆς πολλῆς ἀγρυπνίας.
ταύτην εἰς ὕπνος τῶν ἡδίστων ἀμείβεται, καὶ ὄ-
ψις μία προθεσμίᾳ περιλαβοῦσα τὴν ἐκδη-
μίαν, καὶ τὴν ἡμέραν ταύτην γνωρίσασα, ὡς ἂν
τὸ ἑτοιμασθῆναι καὶ μὴ ταραχθῆναι τοῦ θεοῦ προ
τανύοντος. αὕτη μὲν οὖν ὑπόγυιον τὸ τῆς καθάρ-
σεως καὶ τελειώσεως ἦν ἀγαθὸν, ἣν κοινὴν δωρεὰν
καὶ δευτέρου βίου κρηπῖδα παρὰ θεοῦ πάν-
τες λαβόντες ἔχομεν. μᾶλλον δὲ πᾶς ὁ βίος κά-
θαρσις ἦν αὐτῇ καὶ τελείωσις. καὶ τὸ μὲν τῆς ἀνα-
γεννήσεως εἶχεν ἐκ τοῦ πνεύματος, τὸ δ' ἀσφαλὲς
ταύτης, ἐκ τῶν προβεβιωμένων. καὶ μόνῃ σχε-
δὸν, ἵν' εἴπω τολμήσασα, σφραγὶς ἀλλ' οὐ χάρισμα
ἦν τὸ μυστήριον, ἐν δὲ τοῖς πᾶσι προστεθῆναι ζη-
τοῦσα τὴν τοῦ ἀνδρὸς τελείωσιν, βούλεσθε γρά-
ψω τὸν ἄνδρα συντόμως; ἀνδρὸς ἐκείνης, καὶ
οὐκ οἶδ' ὅτι χρὴ πλέον εἰπεῖν, ἵν' ὅλῳ τῷ σώματι

θεῷ καθιερωθῇ, καὶ μὴ ἐξ ἡμισείας ἀπέλθῃ τετελεσμένη, μηδ' ὑπολείπηταί τι τῆς ἑαυτῆς ἀτελὲς, οὐδὲ ταύτης διαμαρτάνει τῆς δεήσεως, παρὰ τοῦ θέλημα τῶν φοβουμένων αὐτὸν ποιοῦντος, καὶ εἰς πέρας ἄγοντος τὰ αἰτήματα. ὡς δὲ ἅπαντα εἶχεν αὐτῇ κατὰ νοῦν, καὶ οὐδὲν ἐνέδει τῶν ποθουμένων, καὶ ἦν ἡ κυρία πλησίον, οὕτως ἤδη τῷ θανάτῳ συσκευάζεται καὶ τῇ ἐκδημίᾳ, καὶ πληροῖ τὸν περὶ ταῦτα νόμον διὰ τῆς κατακλίσεως. ἐπισκήψασα δὲ καὶ ἀνδρὶ, καὶ τέκνοις, καὶ φίλοις, ὅσα εἰκὸς τὴν φίλανδρον, καὶ φιλότεκνον, καὶ φιλάδελφον, καὶ λαμπρῶς περὶ τὴν ἐκεῖθεν φιλοσοφήσασα, καὶ πανηγύρεως ἡμέραν ποιησαμένη τὴν τελευταίαν, κοιμᾶται. πλήρης μὲν οὖν τῶν κατὰ ἄνθρωπον ἡμερῶν, ὅ,τι μηδὲ συνηύχετο, ταύτας ἑαυτῇ πονηρὰς εἰδυῖα, καὶ τὰ πολλὰ μετὰ τοῦ χοὸς καὶ τῆς πλάνης, τῶν δὲ κατὰ θεὸν καὶ λίαν πλήρης, ὡς οὐκ οἶδ' εἴ τις ῥαδίως τῶν ἐν πλουσίᾳ τῇ πολιᾷ καταλυσάντων, καὶ πολλὰς ἐτῶν περιόδους ἀριθμησάντων, οὕτως ἐκείνη λύεται, ἢ προσλαμβάνεται κρεῖσσον εἰπεῖν, ἢ ἀφίπταται, ἢ μετοικίζεται, ἢ μικρὸν προαποδημεῖ τοῦ σώματος.

ἀλλ' οἷόν με μικροῦ τῶν ἐκείνης παρέδραμεν. τάχα δ' ἂν οὐ συνεχώρησας ὦ σὺ πάτερ ἐκείνης πνευματικὲ, ὁ καὶ τηρήσας ἀκριβῶς τὸ θαῦμα,

καὶ ἣν μὲν γνωρίζεις, μέγα μὲν εἰς φιλοτιμίαν ἐκείνῃ, μέγα δὲ ἡμῖν εἰς ὑπόμνησιν ἀρετῆς, καὶ πόθου τῆς αὐτῆς ἀναλύσεως, καί με φρίκη τις ὑποτρέχει καὶ δάκρυον ὁμοῦ, μεμνημένον τοῦ θαύματος. ἐλύετο μὲν ἤδη, καὶ ἀνέπνει τὰ τελευταῖα, καὶ χορὸς περὶ αὐτὴν οἰκείων τε καὶ ξένων, χαριζομένων τὰ προπεμπτήρια, καὶ μήτηρ γηραιᾶς ἐπίνευσις, καὶ ψυχῆς σπαραγμὸς ζηλοτυπούσης τὴν ἐκδημίαν, καὶ φίλτρον ἁπάντων, ἀγωνίᾳ σύγκρατον, τὴν μὲν ὅτι ἀκούσωσι ποθούντων, μνήμης ἐμπύρευμα, τὴν δὲ ὅτι φθέγξονται. τολμῶντος δὲ οὐδενός, καὶ κωφὰ τὰ δάκρυα, καὶ ἡ τῆς λύπης ὠδὶν ἀθεράπευτος. οὐδὲ γὰρ ὅσιον ἐδόκει θρήνοις τιμᾶν τὴν οὕτω χωριζομένην. σιγὴ δὲ βαθεῖα, καὶ τελετή τις ὁ θάνατος. ἡ δὲ, ἄπνους τε καὶ ἀκίνητος καὶ ἄφθογγος τὸ φαινόμενον. καὶ ἡ σιωπὴ, τοῦ σώματος ἐδόκει παράλυσις, οἷον ἤδη τῶν φωνητικῶν ὀργάνων νενεκρωμένων, ἀλλὰ τὴν τοῦ κινοῦντος ἐκχώρησιν. ἠρέμα δὲ τῶν χειλέων κινουμένων αἰσθόμενος, ὁ πάντα τηρῶν τὰ ἐκείνης ἐπιμελῶς ποιμὴν, ἀλλὰ τὸ ἐν πᾶσι θαῦμα, καὶ παραθεὶς τὰ ὦτα τοῖς χείλεσι, τὸ γὰρ θαῤῥεῖν εἶχε καὶ παρὰ τοῦ τρόπου, καὶ παρὰ τῆς συμπαθείας, αὐτὸς διήγησαι τὸ τῆς ἡσυχίας μυστήριον, ὅτι ποτὲ ἦν, καὶ οἷον. οὐδεὶς ἀπιστήσει σοῦ λέγοντος. ψαλμῳδία τὸ

ὑπολαλούμενον ἦν, καὶ ψαλμῳδίας τὰ ἐξόδια
ῥήματα. εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, μαρτυρία τῆς
παῤῥησίας, μεθ' ἧς ἡ ἔξοδος. καὶ μακάριος ὅστις
» μετ' ἐκείνων ἀναπαύεται τῶν ῥημάτων. ἐν εἰρή-
» νῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. ταῦ-
τα καὶ ἐψάλλετό σοι καλλίστη γυναικῶν, καὶ
συνέβαινεν, καὶ ἡ ψαλμῳδία τὸ γινόμενον ἦν,
καὶ μετὰ τῆς ἐκδημίας ὁ ἐπιτάφιος. ὦ κα-
λῶς ἀπὸ τῶν παθῶν εἰρηνεύσασα σὺ, καὶ τὸν
ὀφειλόμενον τοῖς ἀγαπητοῖς ὕπνον ἀπολαβοῦ-
σα, πρὸς τῷ κοινῷ τῆς κοιμήσεως, ὡς εἰκὸς τὴν καὶ
ζήσασαν καὶ ἀπελθοῦσαν ἐν τοῖς τῆς εὐσεβείας
ῥήμασιν. κρείττω μὲν οὖν εὖ οἶδα καὶ μακρῷ
τιμιώτερα τὰ παρόντα σοι νῦν, ἢ κατὰ τὰ
ὁρώμενα, ἦχος ἑορταζόντων, ἀγγέλων χορεία,
τάξις οὐρανία, δόξης θεωρία, τῆς τε ἄλλης καὶ
τῆς ἀνωτάτω, τριάδος ἔλλαμψις καθαρωτέρα
τε καὶ τελεωτέρα μηκέτι ἢ ὑποφευγούσης τὸν
δέσμιον νοῦν, καὶ διαχεόμενον ταῖς αἰσθήσεσιν,
ἀλλ' ὅλης ὅλῳ νοΐ θεωρουμένης τε καὶ κρατου-
μένης, καὶ προσαστραπτούσης ταῖς ἡμετέραις ψυ-
χαῖς, ὅλῳ τῷ φωτὶ τῆς θεότητος. πάντων ἀπο-
λαύοις, ὧν ἔτι ὑπὲρ γῆς εἶχες τὰς ἀποῤῥοίας,
διὰ τὸ γνήσιον τῆς πρὸς αὐτὰ νεύσεως. εἰ δέ τις
σοι καὶ τῶν ἡμετέρων τιμῶν ἐστι λόγος, καὶ
τοῦτο ταῖς ὁσίαις ψυχαῖς ἐκ θεοῦ γέρας, τῶν

τοιούτων ἐπαινεῖσθαι, δέχοιο καὶ τὸν ἡμέτερον λόγον, ἀντὶ πολλῶν καὶ πρὸ πολλῶν ἐνταφίων. ὃν καισαρίῳ μὲν πρὸ σοῦ, καὶ σοὶ μετ' ἐκεῖνον ἀποδεδώκαμεν, ἐπειδή γε ἀδελφῶν ἐπιταφίοις ἐταμιεύθημεν. εἰ δὲ καὶ ἡμᾶς τιμήσειέ τις μεθ' ὑμᾶς τοῖς ἴσοις λόγοις, οὐκ ἔχω λέγειν. πλὴν τιμηθείημεν γε μόνον τὴν ἐν θεῷ τιμὴν, καὶ παροικοῦντες καὶ κατοικοῦντες ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τῷ πατρὶ σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου ἐπιτάφιος, εἰς τὸν ἑαυτοῦ πατέρα, ἐν ᾧ καὶ εἰς νόνναν μητέρα παραμυθητικός. εἴρηται δὲ ἐπὶ παρουσίᾳ βασιλείου, εἰς ὃν καὶ τὸ προοίμιον ποιεῖται τοῦ λόγου.

ἄ

Νθρωπε τοῦ θεοῦ, καὶ πιστὲ θεράπον καὶ οἰκονόμε τῶν τοῦ θεοῦ μυστηρίων, καὶ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, οὕτω γὰρ ἡ γραφὴ καλεῖ τοὺς διαβεβηκότας καὶ ὑψηλοὺς, καὶ ὑπὲρ ἄνω τῶν ὁρωμένων. καλῶ δέ σε καὶ θεὸν φαραὼ πάσης αἰγυπτιακῆς καὶ ἀντικειμένης δυνάμεως, καὶ στῦλον, καὶ ἑδραίωμα τῆς ἐκκλησίας, καὶ θέλημα κυρίου, καὶ

φωστῆρα ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντα, καὶ πί-
στεως ἔρεισμα, καὶ πνεύματος καταγώγιον. καὶ τί
ἂν πάσας ἀπαριθμοίμην τὰς προσηγορίας, ὅ-
σας ἡ ἀρετή σοι πεποίηκεν, ἄλλη τις ἄλλην οἰ-
κειοῦσά τε καὶ προσάγουσα; πλὴν εἰπέ, πόθεν πά-
ρει; καὶ τίς σου ἡ ἐργασία, καὶ τί χαριούμενος ἥ-
κεις ἡμῖν; ἐπειδὴ πάντα σὺ σὺν θεῷ, καὶ πα-
ρὰ θεοῦ κινούμενον ἔγνων, καὶ ἐπ' εὐεργεσίᾳ
τῶν δεχομένων. ἥκεις ἡμᾶς ἐποπτεύσων; ἢ τὸν
ποιμένα ζητήσων, ἢ τὸ ποίμνιον ἐποψόμενος;
ἡμᾶς μὲν οὐκ ἔτι ὄντας, ἀλλὰ τῷ πλείστῳ μέρει
συναπελθόντας, καὶ τῷ τόπῳ τῆς κακώσεως
δυσχεραίνοντας, καὶ νῦν μάλιστα, ἡνίκα τὸν ἐπι-
στήμονα κυβερνήτην, ἢ τὸν λαμπτῆρα τῆς ζωῆς
ἡμῶν ἀποβεβλήκαμεν, πρὸς ὃν ἀπευθυνόμε-
θα βλέποντες, ἄνωθεν ἡμῖν τὴν σωτηρίαν πυρ-
σεύοντα, ἐκεῖνον μετὰ τοῦ καλοῦ πατρὸς ἐκδημή-
σαντα, καὶ πάσης τῆς ποιμαντικῆς εὐταξίας,
ἣν χρόνῳ μακρῷ συνελέξατο, πλήρης ἡμερῶν
τε ὁμοῦ καὶ φρονήσεως, καὶ τῷ τῆς καυχήσεως
γήρᾳ, ὃ δεῖ τὸ τοῦ σολομῶντος εἰπεῖν, στεφανούμε-
νος. ποίμνιον ἠπορημένον, καταβεβλημένον.
καὶ ὁρᾷς ὅσης γέμον ἀθυμίας καὶ κατηφείας,
οὐκ ἔτι τόπῳ χλόης ἐναναπαυόμενον, οὐδὲ ὕδα-
τι ἀναπαύσεως ἐκτρεφόμενον, ζητοῦν κρημνοὺς
καὶ ἐρημίας καὶ βάραθρα, καθ' ὧν σπαρήσεται

καὶ διαφθαρήσεται, ἀπιστοῦσιν εἴπερ τι καὶ ἄλλου ποιμένος συντρόφου ἐπιτεύξεται. ὅτι μὲν οὖν τοιοῦτου, καὶ λίαν πεπεισμένον, ἀγαπῴην δ' ἄν, καὶ εἰ μὴ παρὰ πολὺ χείρονος. τριῶν δὲ ὄντων ὅπερ ἔφην, ἅ σοι τὴν παρουσίαν ἀναγκαίαν ποιεῖ, καὶ πάντων ἐξ ἴσης, ἡμῶν, τοῦ ποιμένος, τῆς ποίμνης, φέρε κατὰ τὸ ἐν σοὶ πνεῦμα τῆς θεραπείας, ἀπόδος ἑκάστῳ τὸ πρόσφορον, καὶ οἰκονόμησον ἐν κρίσει τὸν λόγον, ἵνα σε καὶ μᾶλλον τῆς σοφίας θαυμάσωμεν. οἰκονομήσεις δὲ πῶς; τὸν μὲν ἐπαινέσας τῆς ἀρετῆς τὰ εἰκότα, οὐ μόνον ἵν' ἐντάφιον τῷ καθαρῷ καθαρὸν ἐπιβάλῃς τὸν λόγον, ἀλλ' ἵνα καὶ τοῖς ἄλλοις, εὐσεβείας χαρακτῆρα, τὴν ἐκείνου προθεὶς πολιτείαν τε καὶ παραίνεσιν. ἡμῖν δὲ περὶ ζωῆς καὶ θανάτου βραχέα φιλοσοφήσας, καὶ τῆς κατὰ σῶμα καὶ ψυχὴν συζυγίας καὶ διαζεύξεως, καὶ τῶν δύο κόσμων, τοῦ τε παρόντος καὶ οὐχ ἑστῶτος, καὶ τοῦ νοουμένου καὶ μένοντος. καὶ πείσας, τοῦ μὲν, καταφρονεῖν τὸ ἀπατηλὸν καὶ ἄτακτον καὶ ἀνώμαλον, καὶ ὥσπερ ἐν κύμασιν, ἄνω καὶ κάτω φερόν τε καὶ φερόμενον, τοῦ δὲ, προστίθεσθαι τῷ παγίῳ καὶ σταθερῷ καὶ θεοειδεῖ, καὶ ὡσαύτως ἔχοντι, καὶ πάσης ἐλευθέρῳ ταραχῆς καὶ συγχύσεως. οὕτω γὰρ ἂν ἧττον ἀνιῷεν ἡμᾶς οἱ προεκδημήσαντες. ἀλλὰ καὶ ἥδοιεν, εἰ

ἐνθένδε ἀπάντων ἡμᾶς ὁ λόγος, αὐτὸ τοῦτο θείη, καὶ τὸ παρὸν ἀηδὲς ἐναποκρύπτοι τῷ μέλλοντι, καὶ πείθοι, ὅτι καὶ αὐτοὶ παρὰ δεσπότην ἀγαθὸν ἐπειγόμεθα, καὶ βελτίων ἡ κατοικία τῆς παροικίας. καὶ ὅπερ ἐστὶ τοῖς πλέουσι λιμὴν εὔδιος, τοῦτο τοῖς ἐνταῦθα χειμαζομένοις, ἡ ἐκεῖσε μετάστασις καὶ μετάθεσις. ἢ ὥσπερ οἱ μακρὰν ὁδὸν προκαταλύσαντες, τῶν ὁδοιπορούντων καὶ μοχθούντων ἔτι ῥᾷους καὶ ἀπονώτεροι, οὕτως οἱ ἐπιτυχόντες τοῦ ἐκεῖ καταλύματος, τῶν ἔτι τὴν σκολιὰν καὶ κρημνώδη τοῦ βίου τούτου τεμνόντων ὁδὸν, ἀμείνους καὶ ἀνεκτότεροι. ἡμᾶς μὲν οὕτω παραμυθήσῃ. τὴν ποίμνην δὲ πῶς; πρῶτον μὲν, τὴν σὴν ὑποσχόμενος ἐπιστασίαν καὶ ἡγεμονίαν, οὗ πᾶσι καλὸν ὑπὸ τὰς πτέρυγας ἀναπαύεσθαι, καὶ οὗ διψῶμεν τῆς φωνῆς μᾶλλον, ἢ πηγῆς τῆς καθαρωτάτης, οἱ δίψει κάμνοντες. δεύτερον δὲ πείσας, ὡς οὐδὲ νῦν ἡμᾶς ἀπολέλοιπεν ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἀλλὰ καὶ πάρεστι, καὶ ποιμαίνει καὶ ὁδηγεῖ, καὶ γινώσκει τὰ ἴδια, καὶ γινώσκεται ὑπὸ τῶν ἰδίων, σωματικῶς μὲν οὐχ ὁρώμενος, πνευματικῶς δὲ συγγινόμενος, καὶ προπολεμῶν τῆς ποίμνης κατὰ τῶν λύκων, καὶ οὐδενὶ συγχωρῶν διὰ τῆς αὐλῆς ὑπερβαίνοντι, λῃστρικῶς τε καὶ ἐπιβούλως ξένῃ φωνῇ κα-

τὰ σύρειν, καὶ διακλέπτειν ψυχὰς, τῇ ἀληθείᾳ καλῶς ἡγμένας. πείθομαι δὲ ὅτι καὶ τῇ πρεσβείᾳ νῦν μᾶλλον ἢ πρότερον τῇ διδασκαλίᾳ. ὅσῳ καὶ μᾶλλον ἐγγίζει θεῷ, τὰς σωματικὰς πέδας ἀποσεισάμενος, καὶ τῆς ἐπιθολούσης τὸν νοῦν ἰλύος ἀπηλλαγμένος, καὶ γυμνῷ γυμνὸς ἐντυγχάνων τῷ πρώτῳ καὶ καθαρωτάτῳ νοΐ, τάξεως καὶ παῤῥησίας ἀγγελικῆς, εἰ μὴ τολμηρὸν τοῦτο εἰπεῖν, ἀξιούμενος. ταῦτα μὲν οὖν αὐτοῦ τὰς διαθήσεις, καὶ φιλοσοφήσεις ἄμεινον, ἢ ὡς ἂν αὐτὸς παραδείξαιμι, καὶ λόγου δυνάμει καὶ πνεύματος. ἵνα δὲ μὴ δι' ἄγνοιαν τῶν ἐκείνου καλῶν, παραπολὺ τῆς ἀξίας ὁ λόγος ἐλαττωθῇ, βραχέα τῆς εὐφημίας, ἐξ ὧν αὐτὸς συνεπίσταμαι τῷ ἀπελθόντι, σκιογραφήσω καὶ περιχαράξω, καὶ παραδώσω σοὶ τῷ καλῷ τῶν τοιούτων γραφεῖ, τῆς ἀρετῆς τῆς ἐκείνου τὸ κάλλος ἀπακριβῶσαι, καὶ παραδοῦναι ταῖς πάντων ἀκοαῖς τε καὶ διανοίαις. ἐκεῖνος τοίνυν, ἵνα πατρίδα, καὶ γένος, καὶ σώματος εὐφυΐαν, καὶ τὴν ἔξωθεν περιφάνειαν, καὶ τἄλλα οἷς μέγα φρονοῦσιν ἄνθρωποι, τοῖς τῶν ἐγκωμίων νόμοις παρεὶς, ἐκ τῶν ἡμῖν πρώτων καὶ οἰκειοτάτων ἄρξωμαι, ῥίζης ἐγένετο βλάστημα οὐκ ἐπαινετῆς, οὐδὲ εὐφυοῦς εἰς εὐσέβειαν, οὐ γὰρ αἰσχύνομαι τοῖς πρώτοις, τοῖς τελευταίοις θαῤῥῶν, οὐδὲ ἐν τῷ οἴκῳ τοῦ θεοῦ

πεφυτευμένης,

πεφυτευμένης, ἀλλὰ καὶ λίαν ἀτόπου καὶ ἀλλοκότου, ἐκ δυοῖν τοῖν ἐναντιωτάτοιν συγκεκραμένης, ἑλληνικῆς τε πλάνης, καὶ νομικῆς τερατείας, ὧν ἀμφοτέρων τὰ μέρη φυγὼν, ἐκ μερῶν συνετέθη. τῆς μὲν γὰρ τὰ εἴδωλα, καὶ τὰς θυσίας ἀποπεμπόμενοι, τιμῶσι τὸ πῦρ καὶ τὰ λύχνα, τῆς δὲ, τὸ σάββατον αἰδούμενοι, καὶ τὴν περὶ τὰ βρώματα ἔς τινα μικρολογίαν τὴν περιτομὴν ἀτιμάζουσιν. ὑψιστάριοι τοῖς ταπεινοῖς ὄνομα. καὶ ὁ παντοκράτωρ δὴ μόνος αὐτοῖς σεβάσμιος, καὶ οὕτω διφυής τις ὢν εἰς ἀσέβειαν, ἐκ τίνος, τί γίνεται; οὐκ οἶδα πότερον, τὴν καλέσασαν αὐτὸν χάριν ἐπαινέσω πλέον, ἢ τὴν ἐκείνου προαίρεσιν. πλὴν οὕτω τὸν τῆς διανοίας ὀφθαλμὸν, τῆς ἐπικειμένης αὐτῷ λήμης ἀνεκαθάρθη, καὶ τοσοῦτον τάχιον τῇ ἀληθείᾳ προσέδραμεν. ὥστε, ὅτι μὲν καὶ μητρὸς καὶ οὐσίας ἐκπεσεῖν, ἄχρι τινὸς ὑπὲρ τοῦ ἄνω πατρὸς, καὶ τῆς ἀληθινῆς κληρονομίας ἠνέσχετο, καὶ ῥᾷον ἤνεγκε τὴν ἀτιμίαν ταύτην, ἢ τὰς μεγίστας τιμὰς ἕτεροι, τοῦτο μὲν ἧττον θαυμάζω, καίτοι λίαν ὂν θαυμαστόν. διὰ τί; ὅτι κοινὸν αὐτὸ πρὸς ἄλλους ἄλλοις τὸ φιλοτίμημα, καὶ πάντας εἴσω γενέσθαι δεῖ τῆς μεγάλης τοῦ θεοῦ σαγήνης, καὶ τοῖς τῶν ἁλιέων λόγοις σαγηνευθῆναι, κἂν οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον τῷ εὐαγγελίῳ περιληφθῶσιν.

ὃ δὲ μάλιστά μοι τὴν ἐκείνου θαυμάζειν ἔπεισι, τοῦτο εἰπεῖν ἀναγκαῖον. ἐκεῖνος καὶ πρὸ τῆς ἡμετέρας αὐλῆς ἦν ἡμέτερος, εἰσεποίει γὰρ αὐτὸν ἡμῖν ὁ τρόπος. ὥσπερ γὰρ πολλοὶ τῶν ἡμετέρων οὐ μεθ' ἡμῶν εἰσιν, οὓς ὁ βίος ἀλλοτριοῖ τοῦ κοινοῦ σώματος, οὕτω πολλοὶ τῶν ἔξωθεν πρὸς ἡμῶν, ὅσοι τῷ τρόπῳ τὴν πίστιν φθάνουσι, καὶ δέονται τοῦ ὀνόματος, τὸ ἔργον ἔχοντες. τούτων καὶ ὁ ἐμὸς ἦν πατὴρ, πτόρθος ἀλλότριος, τῷ βίῳ πρὸς ἡμᾶς ἐπικλίνων. σωφροσύνῃ μέν γε τοσοῦτον διήνεγκεν, ὥστε ὁ αὐτὸς ἐρασμιώτατός τε ἅμα γενέσθαι καὶ κοσμιώτατος. ἃ χαλεπὸν ἀμφότερα συνδραμεῖν. δικαιοσύνης δὲ, τί μεῖζον γνώρισμα καὶ περιφανέστερον, ἢ ὅτι πολιτείας οὐ τὰ δεύτερα ἐσχηκὼς, οὐδὲ μιᾷ δραχμῇ πλείω τὴν οὐσίαν πεποίηκεν; καίτοιγε τοὺς ἄλλους ὁρῶν, τὰς βριαρέω χεῖρας ἐπιβάλλοντας τοῖς δημοσίοις, καὶ τοῖς κακοῖς πόροις φλεγμαίνοντας. οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἄδικον εὐπορίαν. φρονήσεως δὲ, μικρὰ μὲν οὐδὲ ταῦτα γνωρίσματα. δηλώσει δὲ τὰ πλείω προϊὼν ὁ λόγος. τούτου καὶ μισθὸν οἶμαι τὴν πίστιν ἠνέγκατο. τὸ δὲ ὅπως, οὐδὲ γὰρ ἄξιον σιωπᾶσθαι

» πρᾶγμα τοσοῦτον, αὐτοὶ παραστήσωμεν. γυ-
» ναῖκα μὲν ἀνδρείαν τίς εὑρήσει; τῆς θείας ἤ-
» κουσε λεγούσης γραφῆς. καὶ τὸ δῶρον θεόθεν

εἶναι,

» εἶναι, τὴν ἀγαθὴν παρὰ τοῦ κυρίου συζυγίαν
» ἁρμόζεσθαι. τὸ δ' αὐτὸ δοκεῖ καὶ τοῖς ἔξωθεν,
» εἴπερ ἐκείνων τὸ, γυναικὸς ἀνὴρ χρῆμ' οὐδὲν ληΐ-
» ζεται κάλλιον ἐσθλῆς, οὐδὲ χεῖρον τῆς ἐναντίας.
τοῦ δὲ οὐκ ἔστιν εἰπεῖν, ὅστις κατὰ τοῦτο εὐδαιμονέστερος. οἶμαι γὰρ εἴτις ἐκ περάτων γῆς, καὶ παντὸς γένους ἀνθρώπων, τὴν ἀρίστην ἁρμόσασθαι συζυγίαν ἐσπούδασεν, οὐκ εἶναι ταύτης εὑρεῖν ἀμείνω καὶ ἁρμοδιωτέραν. οὕτω γοῦν ἀνδρῶν καὶ γυναικῶν, εἰς ἓν συνῆλθε τὰ κράτιστα, ὥστε οὐχ ἧττον ἀρετῆς, ἢ σωμάτων γενέσθαι συζυγίαν τὸν γάμον. ἐπεὶ τῶν ἄλλων κρατοῦντες, ἀλλήλων κρατεῖν οὐκ εἶχον, διὰ τὸ τῆς ἀρετῆς ἰσόῤῥοπον καὶ ὁμότιμον. καὶ τῷ μὲν ἀδὰμ ἡ δοθεῖσα κατ' αὐτὸν βοηθὸς, ἐπειδὴ καλὸν ἦν μὴ μόνον εἶναι τὸν ἄνθρωπον, ἀντὶ συνεργοῦ πολεμία κατέστη, καὶ οὐχ ὁμόζυγος, ἀλλ' ἀντίθετος, κλέψασα τὸν ἄνδρα δι' ἡδονῆς, καὶ τῷ ξύλῳ τῆς γνώσεως, τοῦ ξύλου τῆς ζωῆς ἀλλοτριώσασα. τῷ δὲ, οὐ συνεργὸς μόνον ἡ παρὰ θεοῦ δοθεῖσα, ἧττον γοῦν τοῦτο θαυμαστὸν, ἀλλὰ καὶ ἀρχηγὸς γίνεται, ἔργῳ τε καὶ λόγῳ πρὸς τὰ κράτιστα δι' ἑαυτῆς ἄγουσα. καὶ τὰ μὲν ἄλλα τοῦ ἀνδρὸς κρατεῖσθαι νόμῳ συζυγίας, ἄριστον εἶναι κρίνουσα, τῆς εὐσεβείας δὲ οὐκ αἰσχυνομένη παρέχειν ἑαυτὴν καὶ διδάσκαλον. ὃ θαυμάζειν μὲν ἐκείνης ἄξιον,

θαυμάζειν δὲ πλέον τὸν ἑκοντὶ ἡττώμενον. ἐκείνη γάρ ἐστιν, ἡ τῶν ἄλλων γυναικῶν κάλλει φιλοτιμουμένων καὶ ὑψουμένων, ὅσον τε φυσικὸν, καὶ ὅσον ἐπίπλαστον, ἓν ἐπισταμένη κάλλος, τὸ τῆς ψυχῆς, καὶ τὸ, τὴν θείαν εἰκόνα ἢ συντηρεῖν, ἢ ἀνακαθαίρειν εἰς δύναμιν. τοὺς δὲ γραπτοὺς καὶ τεχνητοὺς κόσμους, ταῖς ἐπὶ τῆς σκηνῆς ἀπορρίψασα, μίαν δὲ ἀληθινὴν εὐγένειαν γινώσκουσα τὴν εὐσέβειαν, καὶ τὸ εἰδέναι πόθεν γεγόναμεν, καὶ ποῖ καταντήσομεν. ᾔδει δὲ πλοῦτον ἀσφαλῆ τε καὶ ἄσυλον, τὸ ἀποπλουτεῖν θεῷ καὶ τοῖς πένησι, καὶ μάλιστα τὴν ἐκ γένους τοῖς ἀπανθήσασιν, οἷς τὸ μὲν ἄχρι τῆς χρείας ἐπαρκεῖν, οὐ λύσιν τῆς συμφορᾶς, ἀλλ᾽ ὑπόμνησιν ἔχειν ἐνόμιζεν, τὸ δὲ ἐλευθεριώτερον εὖ ποιεῖν, τοῦτο εἶναι τιμῆς βεβαίας, καὶ παραμυθίας τελεωτάτης. καὶ τῶν μὲν τῇ οἰκωφελείᾳ προεχουσῶν, τῶν δὲ τῇ εὐσεβείᾳ, καίτοι γε χαλεπὸν ἀμφοτέρων ἐπιτυχεῖν, ἀμφοτέροις ἁπάσας νικήσασα, καὶ τῷ περὶ ἑκάτερον ἄκρῳ, καὶ τῷ μόνη τὰ δύο συναγαγεῖν. οὕτω μὲν τὸν οἶκον συναύξουσα, ταῖς ἑαυτῆς ἐπιμελείαις καὶ προνοίαις, κατὰ τοὺς σολομῶντος περὶ τῆς ἀνδρείας γυναικὸς ὅρους καὶ νόμους, ὡς εὐσεβεῖν οὐκ εἰδυῖα, οὕτω δὲ προσκειμένη θεῷ καὶ τοῖς θείοις, ὡς οἰκουρίας πλεῖστον ἀπέχουσα, καὶ οὐδὲν ὑπὸ

τοῦ ἑτέρου παραβλαπτομένην πρὸς θάτερον, ἀμφότερα δὲ δι' ἀλλήλων κρατύνουσα. τίς μὲν ἔλαθεν ἐκείνην, εὐχῆς ἢ καιρὸς, ἢ τόπος; ὃ καὶ πρῶτον ἦν αὐτῇ πάντων τῆς ἡμέρας κίνημα. μᾶλλον δὲ, τίς οὕτως ἔχειν ὁμοῦ τῷ αἰτεῖν, τὸ αἰτούμενον ἤλπισεν; τίς δὲ ἱερέων οὕτως ᾐδέσθη χεῖρα καὶ πρόσωπον, ἢ πᾶν εἶδος φιλοσοφίας ἐτίμησεν; τίς δὲ μᾶλλον νηστείαις καὶ ἀγρυπνίαις τὰς σάρκας ὑπέπιασεν ἢ ψαλμῳδίαις ἑαυτὴν ἐστήλωσε παννύχοις τε καὶ ἡμερησίαις; τίς μὲν παρθενίαν ἠγάσθη πλέον, καίπερ ἀνασχομένη δέσεως; τίς δὲ ὀρφανῶν καὶ χηρῶν ἀμείνων ἐγένετο παραστάτις; τίς δὲ πενθοῦσι, τὰς συμφορὰς οὕτω συνυπεκούφισεν; καὶ ταῦτα δὴ τὰ μικρὰ μὲν ἴσως, τυχὸν δέ τισι καὶ καταπτυόμενα, ὅτι μηδὲ πρόσιτα ῥᾳδίως τοῖς πλείοσι. τὸ γὰρ οὐκ ἐφικτὸν, οὐδὲ πιστόν πως διὰ τὸν φθόνον. ἐμοὶ δὲ καὶ λίαν τιμώμενα, ὅτι πίστεως εὑρήματα ἦν, καὶ πνευματικῆς ζέσεως ἐγχειρήματα. οἷον, τὸ μή ποτε φωνὴν αὐτῆς ἐν ἱεροῖς ἀκουσθῆναι συλλόγοις, ἢ τόποις, ἔξω τῶν ἀναγκαίων καὶ μυστικῶν. καὶ ὃ μέγα, τῷ θυσιαστηρίῳ ποτὲ, τὸ μὴ πέλεκυν ἐπ' αὐτὸ ἀναβῆναι, μὴ δὲ ὀφθῆναι ἢ ἀκουσθῆναι λαξευτήριον, λόγῳ μείζονι, ὡς δέον φυσικὸν καὶ ἄτεχνον εἶναι πᾶν, τὸ θεῷ καθιερούμενον. πῶς οὐχὶ καὶ παρ' ἐκείνης μέγα,

τὸ σιωπῇ τιμᾶσθαι τὰ ἅγια, τὸ μήποτε νῶτα δοθῆναι τῇ σεβασμίῳ τραπέζῃ, μηδὲ καταπτυσθῆναι θεῖον ἔδαφος, τὸ μήποτε δεξιὰν ἐμβληθῆναι, ἢ χείλη μιγῆναι χερσὶν ἑλληνικαῖς, ἢ χείλεσι, μηδὲ τῆς τἄλλα κοσμιωτάτης γυναικὸς, καὶ οἰκειοτάτης, ἀλλὰ μηδὲ ἁλῶν κοινωνῆσαι, μὴ ὅτι ἑκοῦσαν, ἀλλὰ μηδὲ βιασθεῖσαν τοῖς ἀπὸ τῆς βεβήλου καὶ ἀνάγνου τραπέζης, μηδὲ μιαρὸν οἶκον ἢ παρελθεῖν ποτε, ἢ ἰδεῖν ἀνασχέσθαι, παρὰ τὴν τοῦ συνειδότος νομοθεσίαν, μηδὲ διηγήμασιν ἑλληνικοῖς, ἢ ἄσμασι θεατρικοῖς καταμολυνθῆναι τὴν ἀκοὴν, ἢ τὴν γλῶσσαν, τὴν τὰ θεῖα δεχομένην ἢ φθεγγομένην; οὐδὲν γὰρ ἱεροῖς πρέπειν ἀνίερον. καὶ ὃ τούτων θαυμασιώτερον, τὸ μήποτε τοσοῦτον δοῦναι πένθει σωματικῷ, καίτοι γε διαφερόντως καμπτομένην καὶ τοῖς τῶν ξένων πάθεσιν, ὥστε ἢ γοερὰν ποτὲ πρὸ τῆς εὐχαριστηρίου ῥαγῆναι φωνὴν, ἢ δάκρυον ἐκπεσεῖν βλεφάρου μυστικῶς σφραγισθέντος, ἢ σχῆμα πένθιμον παραμεῖναι, καίτοιγε πολλῶν πολλάκις συμπεσόντων αὐτῇ λυπηρῶν, λαμπρᾶς παρούσης ἡμέρας. ψυχῆς γὰρ εἶναι θεοφιλοῦς, ὑποκλίνειν τοῖς θείοις ἅπαν ἀνθρώπινον. καὶ σιωπῶ τὰ τούτων ἀπορρητότερα, ὧν θεὸς μάρτυς, καὶ τῶν πιστῶν θεραπαινίδων, αἷς τὰ τοιαῦτα ἐπίστευσε. τὸ γὰρ καθ' ἡμᾶς, ἴσως οὐδὲ μνήμης ἀξιωτέον,

ξιωτέον ὡς ἀναξίους τοῦ ἐλπισθέντος, ἣ κἀκείνη μέγα τὸ ἐπιχείρημα, ὅτι καὶ πρὸ γενέσεως ἡμᾶς καθυπέσχετο τῷ θεῷ, μηδὲν τὸ μέλλον εὐλαβηθεῖσα, καὶ γεννηθέντας εὐθὺς ἀνέθηκε. θεοῦ δὲ τὸ μὴ πάντη διαμαρτεῖν αὐτὴν τῆς εὐχῆς, μηδὲ ἀπωσθῆναι τὸ καλλιέρημα. τούτων μὲν οὖν τὰ μὲν παρῆν ἤδη, τὰ δὲ ἔμελλε ταῖς κατὰ μέρος προσθήκαις αὐξόμενα. καὶ καθάπερ ἥλιος ἥδιστον ταῖς ἑωθιναῖς προσβάλλων ἀκτῖσι, ταῖς μεσημβριναῖς θερμότερος ἵσταται καὶ φαιδρότερος, οὕτω καὶ αὕτη, οὐ μικρὰ τὰ τῆς εὐσεβείας ἀπ' ἀρχῆς ὑποφαίνουσα, τῷ τελευταίῳ φωτὶ πλέον ἐξέλαμψε. τότε δ' οὖν κέντρον οὐ μικρὸν εὐσεβείας οἴκοθεν, εἶχεν αὐτὴν ὁ εἰσοικισάμενος, ἄνωθεν μὲν, καὶ ἐκ προγόνων, φιλόθεόν τε καὶ φιλόχριστον, καὶ πατρῷον κλῆρον διαδεξαμένην τὸν τῆς ἀρετῆς, ἀλλ' οὐκ ἐκ τῆς ἀγριελαίου, καθὼς ἐκεῖνος ἐγκεντρισθεῖσαν εἰς καλλιέλαιον. οὐ φέρουσαν δὲ τὸ ἑτεροζυγεῖν δι' ὑπερβολὴν πίστεως, ἀλλὰ ταύτῃ μόνον φιλοσοφῆσαι μὴ δυναμένην, τἆλλα καρτερικωτάτην οὖσαν γυναικῶν καὶ ἀνδρικωτάτην, τὸ ἐξ ἡμισείας ἡνῶσθαι τῷ θεῷ, διὰ τὴν τοῦ τμήματος ἀλλοτρίωσιν, ἀλλὰ μὴ προστεθῆναι τῇ σωματικῇ συναφείᾳ τὴν συμφυΐαν τοῦ πνεύματος, καὶ διὰ ταῦτα προσπίπτουσαν μὲν τῷ θεῷ νυκτὸς

καὶ ἡμέρας, καὶ παρ' αὐτοῦ τὴν σωτηρίαν τῆς κεφαλῆς αἰτουμένη ἐν πολλαῖς νηστείαις καὶ δάκρυσι, προσκειμένη δὲ τῷ ἀνδρὶ φιλοπόνως, καὶ πολυτρόπως αὐτὸν ἐμπραγματευομένη, ὀνειδισμοῖς, νουθεσίαις, θεραπείαις, ἀλλοτριώσεσι. τὸ μέγιστον τῷ οἰκείῳ τρόπῳ, καὶ τῷ θερμοτέρῳ περὶ τὴν εὐλάβειαν, ᾧ μάλιστα ψυχὴ κάμπτεται καὶ μαλάσσεται πρὸς ἀρετὴν, ἑκουσίως βιαζομένη. ἔμελλε δ' ἄρα κοιλαίνειν τὴν πέτραν ἡ τοῦ ὕδατος ῥανὶς ἀεὶ πλήττουσα, καὶ χρόνῳ διανύσειν τὸ σπουδαζόμενον. δηλοῖ δὲ τὰ ἐφεξῆς. ἡ μὲν καὶ ᾔτει ταῦτα, καὶ ἤλπιζεν, ἅτε τῇ πίστει μᾶλλον, ἢ τῇ νεότητι ζέουσα, καὶ γὰρ οὐδεὶς οὕτως ἐθάρρει τοῖς παροῦσιν, ὡς αὕτη τοῖς ἐλπισθεῖσι, πείρᾳ μαθοῦσα τοῦ θεοῦ τὸ φιλόδωρον. τῷ δὲ συνήργει μὲν πρὸς σωτηρίαν, καὶ ὁ λογισμὸς κατὰ μικρὸν τὴν θεραπείαν παραδεχόμενος, συνήργει δὲ καὶ ὀνειράτων ὄψις, οἷς εὐεργετεῖ πολλάκις θεὸς ψυχὴν ἀξίαν τοῦ σώζεσθαι. ἀλλὰ τίς ἡ ὄψις; ἐνταῦθά μοι καὶ τὸ τοῦ διηγήματος ἥδιστον. ἔδοξεν ὁ, μήπω πρότερον, καίτοι πολλάκις τῆς γυναικὸς ἱκετευούσης καὶ δεομένης, ψάλ-
» λειν ἐκ τῶν τοῦ θείου Δαβὶδ ἐκεῖνο τὸ μέρος. εὐ-
» φράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου
» πορευσόμεθα. καὶ ἡ ψαλμῳδία ξένη, καὶ ὁ πόθος τῇ ᾠδῇ συνεισέρχεται. καὶ ὡς ἤκουσεν ἡ τῆς

εὐχῆς

ἀρχῆς ἐπιτυχοῦσα, τὸν καιρὸν ἁρπάζει, ὑποκειναμένη τε τὴν ὄψιν πρὸς τὸ ἥδιστον μετὰ τῆς ἀληθείας, καὶ τῇ χαρᾷ δηλοῦσα τῆς εὐεργεσίας τὸ μέγεθος, καὶ τὴν σωτηρίαν ἐπιταχύνουσα, μή τι παρεμπεσὸν ἐμποδίσῃ τῇ κλήσει, καὶ λύσῃ τὸ σπουδαζόμενον, καὶ δὴ συμβαίνει τηνικαῦτα, πλείους ἀρχιερεῖς ἐπὶ τὴν νίκαιαν σπεύδειν, ἵνα κατὰ τῆς ἀρείου στῶσι μανίας, ἄρτι τοῦ κακοῦ φυομένου, καὶ τὴν θεότητα τέμνοντος, δίδωσι μὲν ἑαυτὸν τῷ θεῷ καὶ τοῖς κήρυξι τῆς ἀληθείας, καὶ τὸν πόθον ὁμολογεῖ, καὶ ζητεῖ παρ' αὐτῶν τὴν κοινὴν σωτηρίαν, ὧν εἷς λεόντιος ἦν ὁ πάνυ, ὁ τότε τῆς καθ' ἡμᾶς μητροπόλεως ἐξηγούμενος. ὁ δὲ κἀνταῦθα παρὰ τῆς χάριτος ἀπήντησε θαῦμα, σφόδρα ἂν ἀδικοίην τὴν χάριν, εἰ σιωπῇ παρέλθοιμι. μάρτυρες δὲ οὐκ ὀλίγοι τοῦ θαύματος, πλανῶνταί τινα πλάνην πνευματικήν, οἱ τῆς ἀκριβείας διδάσκαλοι, καὶ προτυποῖ τὸ μέλλον ἡ χάρις, καὶ τύπος ἱερωσύνης, τῇ κατηχήσει μίγνυται. ὢ τῆς ἀκουσίου μυήσεως. ἐπὶ γὰρ γόνυ κλιθεὶς, οὕτω τοῖς λόγοις τῆς κατηχήσεως καταρτίζεται, ὥστε πολλοὺς τῶν παρόντων προφητεῦσαι τὸ μέλλον. οὐ τῶν ὑψηλοτέρων μόνον, ἀλλὰ καὶ τῶν ταπεινοτέρων εἰς σύνεσιν, οὐκ ἀμυδροῖς σημείοις πιστωθέντας πρὸς τὸ ἐσόμενον. μικρὸν τὸ ἐν

μέσῳ, καὶ τῷ θαύματι θαῦμα συνάπτεται. πα-
ραθήσομαι δὲ πιστῶν ἀκοαῖς τὸν λόγον. ψυχαῖς
γὰρ βεβήλοις, οὐδὲν τῶν καλῶν ἀξιόπιστον. πρό-
σεισι μὲν τῇ δι᾽ ὕδατος ἀναγεννήσει καὶ πνεύμα-
τος, δι᾽ ἧς ὁμολογοῦμεν θεῷ τὴν τοῦ κατὰ χρι-
στὸν ἀνθρώπου μόρφωσίν τε καὶ τελείωσιν, καὶ τοῦ
χοϊκοῦ πρὸς τὸ πνεῦμα μετάθεσιν καὶ ἀνάπλα-
σιν. καὶ πρόσεισι μετὰ θερμῆς τῆς ἐπιθυμίας,
καὶ λαμπρᾶς τῆς ἐλπίδος τῷ λουτρῷ, προκα-
θήρας ἑαυτὸν εἰς δύναμιν, καὶ ψυχῇ καὶ σώμα-
τι καθαγνίσας πολλῷ μᾶλλον, ἢ οἱ τὰς πλάκας
παρὰ μωϋσέως δέξασθαι μέλλοντες. τοῖς μὲν
γὰρ μέχρις ἐσθῆτος ἦν ὁ ἁγνισμὸς, καὶ γαστρὸς
μικρὰ στένωσις, καὶ σωφροσύνη τις χρόνιος, τῷ δὲ,
πᾶς ὁ ἐν μέσῳ βίος, παρασκευὴ τῆς ἐλλάμψεως
ἦν, καὶ πρὸ τῆς καθάρσεως, κάθαρσις ἀσφα-
λιζομένη τὴν δωρεὰν, ἵν᾽ ἡ τελειότης τῇ καθαρό-
τητι πιστευθῇ, καὶ μὴ κινδυνεύσῃ τὸ ἀγαθὸν, ἐν ἕ-
ξει τολμώσῃ κατὰ τῆς χάριτος. ἐξελθόν-
τα δὲ αὐτὸν ἐκ τοῦ ὕδατος, φῶς περιαστράπτει,
καὶ δόξα τῆς διαθέσεως ἀξία, μεθ᾽ ἧς προσῆλ-
θε τῷ χαρίσματι τῆς πίστεως. ἔστι μὲν οἷς καὶ τῶν
ἄλλων ἐπίδηλος, οἳ τότε μὲν σιωπῇ τὸ θαῦμα κατέ-
σχον, ἐξειπεῖν οὐ θαῤῥήσαντες, καὶ γὰρ αὐτοῦ μόνου
ταύτην εἶναι τὴν ὄψιν ἕκαστος ᾤετο, μικρὸν δ᾽ ὕστε-
ρον ἀλλήλοις διέδωκαν. τῷ δὲ βαπτιστῇ καὶ τελειω-

τῇ τοσοῦτον ἐναργὴς τε καὶ γνώριμος, ὥστε μὴ δὲ κατασχεῖν δυνηθῆναι τὸ μυστήριον, ἀλλὰ καὶ δημοσίᾳ ῥῆξαι φωνὴν, ὅτι τὸν ἑαυτοῦ διάδοχον, τῷ πνεύματι χρίσειε. καὶ τοῦτο οὐδεὶς ἀπιστήσειε, τῶν ἀκηκοότων τε καὶ γινωσκόντων. ὅτι μωϋσῆς μὲν ἔτι μικρὸς ὢν, τοῖς ἄλλοις καὶ οὔπω λόγου τινὸς ἀξιούμενος, ἐκ τῆς βάτου καλεῖται, καιομένης μὲν, οὐ καταναλισκομένης δὲ, μᾶλλον δὲ τοῦ ἐν τῇ βάτῳ φανταζομένου. καὶ πιστοῦται τῷ πρώτῳ θαύματι. μωϋσῆς ἐκεῖνος, ᾧ θάλασσα τέμνεται, καὶ ἄρτος ὕεται, καὶ πέτρα πηγάζει, καὶ στῦλος πυρὸς καὶ νεφέλης ὁδηγοῦσι, μετ᾽ ἀλλήλων ἱστάμενοι, καὶ χειρῶν ἔκτασις τρόπαιον ἵστησι, καὶ νικᾷ πολλὰς μυριάδας, τὸν σταυρὸν σχηματίζουσα. ἡσαΐας δὲ ὁ τῆς δόξης καὶ τῶν σεραφὶμ θεατὴς, καὶ μετ᾽ ἐκεῖνον ἱερεμίας, ὁ τὴν μεγάλην κατ᾽ ἐθνῶν καὶ βασιλέων πιστευθεὶς δύναμιν, ὁ μὲν, ἀκούει θείας φωνῆς, καὶ τῆς προφητείας τῷ ἄνθρακι προκαθαίρεται, ὁ δὲ, πρὸ διαπλάσεως γινώσκεται, καὶ πρὸ γεννήσεως ἁγιάζεται. παῦλος δὲ διώκτης ὢν ἔτι, ὁ μέγας τῆς ἀληθείας κήρυξ, ὁ τῶν ἐθνῶν ἐν πίστει διδάσκαλος, καὶ φωτὶ περιλάμπεται, καὶ γνωρίζει τὸν διωκόμενον, καὶ τὴν μεγάλην διακονίαν πιστεύεται, καὶ πληροῖ τοῦ εὐαγγελίου πάντων ἀκοὴν καὶ διάνοιαν. τί δεῖ πάντας ἀπαριθμεῖσθαι τοὺς ἀπὸ

θεοῦ προσκληθέντας, καὶ τοιούτοις οἰκειωθέντας θαύμασιν, οἷς κἀκεῖνος ἐβεβαιώθη πρὸς τὴν εὐσέβειαν; καὶ οὐ τὰ μὲν πρῶτα τοιαῦτα, καὶ οὕτως ἄπιστα καὶ παράδοξα, κατῄσχυνε δέ τι τῶν προϋπηργμένων τοῖς ὕστερον, ὡς αὖτις τῶν τάχιστα κόρον τοῦ καλοῦ λαμβανόντων, εἶτα τοῦ πρόσω καταφρονούντων, ἢ καὶ παντάπασι πρὸς κακίαν παλινδρομούντων. οὐκ ἔστι τοῦτο εἰπεῖν. ἀλλὰ καὶ λίαν ἑαυτοῦ, καὶ τῶν προειληφότων ἔχεται, ὥστε ἀμφότερα συναρμόζειν ἀλλήλοις, τά τε πρὸ τῆς ἱερωσύνης τοῖς ἐκείνης καλοῖς, καὶ τὰ μετ᾽ αὐτὴν τοῖς πρότερον. καὶ μήτε ἄλλως ἄρξασθαι πρέπειν, ἢ ὡς ἐτελεύτησε. μήτε εἰς ἄλλο προελθεῖν τέλος, ἢ οὗ προήρξατο. πιστεύεται μέν γε τὴν ἱερωσύνην, οὐ κατὰ τὴν νῦν δυσκολίαν καὶ ἀταξίαν, ἀλλὰ μικρόν τι διαλιπών, ὥστε τῇ καθάρσει προστεθῆναι καὶ τὴν τοῦ καθαίρειν ἐμπειρίαν καὶ δύναμιν. ὅπερ δὴ νόμος ἀκολουθίας πνευματικῆς. ἐπεὶ δὲ πιστεύεται, πλέον ἡ χάρις δοξάζεται, ὥσπερ ὄντως θεοῦ χάρις, ἀλλ᾽ οὐκ ἀνθρώπων, οὐδέ, ὅ φησιν ὁ ἐκκλησιαστής, ὁρμή τις αὐτόνομος καὶ προαίρεσις πνεύματος. παραλαβὼν γὰρ τὴν ἐκκλησίαν, ὑλώδη καὶ ἀπηγροικισμένην, οὐ πόρρωθεν μὲν ἐπισκοπεῖ ποιμανθεῖσαν ἀλλ᾽ ὅσον ἐνὶ τῶν πρὸ αὐτοῦ κοσμηθῆναι, καὶ τούτῳ θαυμασίῳ μέν, καὶ ἀγγελικῷ τὸν τρόπον,

ἁπλοῦ στερῷ δὲ, ἢ κατὰ τοὺς νῦν τῶν λαῶν προστάτας. τούτου δὲ τάχιστα προσληφθέντος ἐπὶ πολὺ πάλιν ῥαθυμηθεῖσάν τε καὶ χειρομανήσασαν εἰς ἀναρχίαν, πρῶτον μὲν τὰ ἤθη τῶν ἀνθρώπων οὐ χαλεπῶς ἐξημέρωσεν, λόγοις τε ποιμαντικῆς ἐπιστήμης, καὶ τῷ προθεῖναι τύπον ἑαυτὸν, ὥσπερ ἀνδριάντα τινὰ πνευματικὸν εἰς κάλλος ἀπεξεσμένον, πάσης ἀρίστης πράξεως. ἔπειτα τοῖς θείοις λόγοις συντόνως ἐμμελετήσας, καίπερ ὀψιμαθὴς τῶν τοιούτων τυγχάνων, τοσαύτην ἐν ὀλίγου χρόνου σοφίαν συνελέξατο, ὥστε τά τε ἄλλα μηδενὸς λείπεσθαι τῶν ἐπὶ πλεῖστον πεπονηκότων, καὶ χάριν ἐκ θεοῦ ταύτην λαβεῖν ἐξαίρετον, ὀρθοδοξίας γενέσθαι πατὴρ καὶ διδάσκαλος, οὐ κατὰ τοὺς νῦν σοφοὺς τοῖς καιροῖς συγκλινόμενος, οὐδὲ μέσως καὶ τεχνικῶς τοῦ καθ᾽ ἡμᾶς λόγου προϊστάμενος, ὡς ἂν οἱ μὴ πῆξιν ἔχοντες πίστεως, ἢ καπηλεύοντες τὴν ἀλήθειαν. ἀλλ᾽ ἦν, τῶν μὲν λόγῳ δυνατῶν, εὐσεβέστερος, τῶν ὀρθῶν δὲ τὴν διάνοιαν, λογικώτερος. μᾶλλον δὲ λόγου τε δι᾽ ἀμφοτέρων, εὐσεβείᾳ πάντων ἐκράτει. ἓν μὲν θεὸν εἰδὼς, ἐν τριάδι προσκυνούμενον, τρία δὲ εἰς μίαν θεότητα συναγόμενα. καὶ οὔτε τῷ ἑνὶ σαβελλίζων, οὔτε τοῖς τρισὶν ἀρειανίζων, ἢ τῷ συστέλλειν θεότητα, καὶ ἀναλύειν ἀθέως, ἢ τῷ κατατέμνειν

ἀνίσοις ἀλλοτριότησιν ἢ μεγέθους, ἢ φύσεως. οὐ γὰρ ἕκαστον ἀκατάληπτον, καὶ ὑπὲρ τὴν ἡμετέραν ἐπίνοιαν, πῶς ἐνταῦθα τὸ ὑπεραῖρον, ἢ νοηθήσεται, ἢ δογματισθήσεται; ποῦ δὲ μετρεῖται τὸ ἄπειρον; ἵν' ὃ τῶν περατουμένων ἐστὶ, τάχα πάθῃ θεότης, βαθμοῖς μετρουμένη καὶ ὑποβάσεσιν. ταῦτα ἐνόσουν ἐκεῖνος ὁ μέγας ἄνθρωπος τοῦ θεοῦ, καὶ ἀληθῶς θεολόγος, καὶ μετὰ τοῦ πνεύματος περὶ τούτων κινούμενος, τί χρὴ λέγειν ἕτερον, ἢ ὅτι νέαν ἱερουσαλὴμ, καὶ κιβωτὸν ἄλλην ὑπὲρ ὑδάτων φερομένην, ὥσπερ ὁ μέγας ἐκεῖνος νῶε, καὶ τοῦ δευτέρου τούτου κόσμου πατὴρ, τήνδε τὴν ἐκκλησίαν καλεῖσθαι πεποίηκεν; τάχα τι, κατακλυσμοῦ τῶν ψυχῶν, καὶ τῆς τῶν αἱρετικῶν ἐπηρείας σαφῶς ὑπεραίρουσαν. καὶ ὅσῳ πλήθει τῶν ἄλλων ἐλείπετο, τοσοῦτον εὐδοξίᾳ κρατοῦσαν, καὶ τὸ τῆς ἱερᾶς πάσχουσαν βηθλεὲμ, ἣν οὐδὲν ἐκώλυσεν καὶ μικρὰν εἶναι πόλιν, καὶ τῆς οἰκουμένης μητρόπολιν, ὡς χριστοῦ καὶ τροφὸν καὶ μητέρα, τοῦ τὸν κόσμον καὶ ποιήσαντος καὶ νικήσαντος. τεκμήριον δὲ τοῦ λόγου, καὶ γὰρ ἡνίκα παρὰ τοῦ θερμοτέρου μέρους τῆς ἐκκλησίας κατεστασιάσθημεν, γράμματι κλαπέντες καὶ ῥήμασι τεχνικοῖς εἰς πονηρὰν κοινωνίαν, μόνος μὲν ἐπιστεύθη τὴν διάνοιαν ἄτρωτον ἔχειν, καὶ μὴ τῷ μέλανι τὴν ψυχὴν συμμελαίνεσθαι, εἰ καὶ ἁπλότητι

συνηρπάσθη, καὶ τὸν δόλον ἐκ τοῦ τῆς ψυχῆς ἀδόλου μὴ ἐφυλάξατο. μόνος δὲ, μᾶλλον δὲ πρῶτος, τὸ στασιάζον πρὸς ἡμᾶς, ζήλῳ τῆς εὐσεβείας, ἑαυτῷ τε καὶ τοῖς ἄλλοις κατήλλαξε, τελευταῖον τὸ ἀποδραμὸν, καὶ πρῶτον προσδραμὸν, αἰδοῖ τε τοῦ ἀνδρὸς, καὶ τῇ τοῦ δόγματος καθαρότητι. ὥστε καὶ τὸν πολὺν σάλον τῶν ἐκκλησιῶν κατασβεσθῆναι, καὶ στῆναι τὴν καταιγίδα εἰς αὔραν, ταῖς ἐκείνου λυθεῖσαν εὐχαῖς τε καὶ παραινέσεσιν, ἔτι δεῖ καὶ νεανιεύσασθαι, μηδὲ ἡμῶν κοινωνῶν καὶ τῆς εὐσεβείας, καὶ τῆς ἐνεργείας. οἱ πρὸς πᾶν ἀγαθὸν αὐτῷ συναιρόμενοι, καὶ οἷον παρομαρτοῦντες καὶ παραθέοντες, ἐνταῦθα πλεῖστον μέρος συνεισενεγκεῖν ἠξιώθημεν. ἀλλ' ὁ μὲν περὶ τούτων λόγος μικρόν τι προεκδραμὼν, ἐνταῦθα μενέτω. τίς δ' ἂν τῶν ἐκείνου καλῶν, ἢ τὸ πλῆθος ἐξαριθμήσαιτο, ἢ τὰ πλείω παραδραμεῖν ἐθέλων, μὴ χαλεπῶς εὕροι τὸ παρεθέν; ἀεὶ γὰρ τὸ τὴν διάνοιαν ἐπεισιὸν, κρεῖττον τῶν προειληφότων φαίνεται. καὶ μετὰ τούτου γίνομαι. καὶ πλεῖον ἐμοὶ τοῦ, τί χρὴ παραλιπεῖν, ἢ τοῖς ἄλλοις ἐπαινέταις τοῦ, τί χρὴ λέγειν, ἡ ἀπορία. ὥστε μοι σφόδρα τινὰ, ζημίαν γίνεσθαι τὴν περιουσίαν, καὶ δοκιμάζεσθαι τὴν διάνοιαν, τὰ ἐκείνου δοκιμάζειν ἐπιχειροῦσαν, καὶ οὐκ ἔχουσαν τὸ νικῶν εὑρεῖν ἐν τοῖς ὁμοτίμοις. ὅπερ γὰρ ἐπὶ

τῶν σταθερῶν ὑδάτων ὁρῶμεν συμβαῖνον, ὅταν ψηφὶς ἐμπεσοῦσα κέντρον γένηται, ἄλλος ἐπ' ἄλλῳ κύκλος ἐγειρόμενος, καὶ συνεχῶς ἐπιφθάνων ἀεὶ λύει τὸν ἔξωθεν, τοῦτο καὶ αὐτῷ μοι συμβέβηκεν ἄντικρυς. τὸ μὲν ἔτι νοσοῦν ἦλθε, τὸ δὲ ἐπεισῆλθε, τὸ δ' ὑπεχώρησε, καὶ κάμνω περὶ τὴν αἵρεσιν, ἀεὶ τοῦ προκαταλαβόντος ὑπεξισταμένου τῷ ἐπεισρέοντι. τίς μὲν γὰρ ἐκείνου περὶ τὰ κοινὰ σπουδαιότερος; τίς δὲ τὰ οἴκοι φιλοσοφώτερος; ἐπειδὴ καὶ οἶκον ἐμέρισεν αὐτῷ, καὶ κτῆσιν σύμμετρον, ὁ πάντα καλῶς καὶ ποικίλως οἰκονομῶν θεός. τίς δὲ πένησι τῷ ἀτιμωτάτῳ μέρει τῆς ὁμοτίμου φύσεως, ἢ τὴν ψυχὴν συμπαθέστερος, ἢ τὴν χεῖρα δαψιλέστερος; τῷ ὄντι γὰρ ὡς οἰκονόμος τῶν ἀλλοτρίων διενοεῖτο περὶ τῶν ἰδίων, ἐπικουφίζων τὴν πενίαν εἰς δύναμιν, καὶ δαπανώμενος οὐ τοῖς περιττοῖς μόνον, ἀλλὰ δὴ καὶ τοῖς ἀναγκαίοις, ὅπερ δὴ σαφεστάτη φιλοπτωχίας ἀπόδειξις. καὶ διδοὺς μερίδα, οὐ τοῖς ἑπτὰ μόνον, κατὰ τὴν τοῦ σολομῶντος νομοθεσίαν, ἀλλ' εἰ προσέλθοι καὶ ὄγδοος, μηδ' ἐνταῦθα μικρολογούμενος, ἀλλ' ἥδιον ἀποκτώμενος, ἢ κτωμένους ἄλλους γινώσκομεν. ἀναιρῶν συνδέσμους καὶ χειροτονίαν, ὅπερ ἐμοὶ δύναται μικρολογίαν καὶ δοκιμασίαν τοῦ ληψομένου, ὅστις τε ἄξιος, καὶ ὅστις οὔ. καὶ ῥῆμα γογγυσμοῦ μετὰ τῆς ἐπι-

δόσεως

δόσεως. ὅπερ γὰρ πάσχουσιν οἱ πολλοί, διδόντες μὲν, τὸ δὲ προθύμως οὐ προστιθέντες, ὃ τοῦ παρέχειν μεῖζόν ἐστι καὶ τελεώτερον. πολλῷ γὰρ βέλτιον εἶναι, διὰ τοὺς ἀξίους ὀρέγειν καὶ τοῖς ἀναξίοις, ἢ τοὺς ἀξίους ἀποστερεῖν, δέει τῶν ἀναξίων. καὶ τοῦτο εἶναι φαίνεται, τὸ χρῆναι πέμπειν τὸν ἄρτον ἑαυτοῦ καθ' ὕδατος ὡς οὐ παρασυρησόμενον, οὐ δὲ ἀπολούμενον τῷ δικαίῳ τούτων ἐξετάσει, ἀλλ' ἐνταῦθα καταντήσοντα, οὗ πάντα κεῖται τὰ ἡμέτερα, καὶ ἀπαντήσονται ἐν καιρῷ, κἂν ἡμεῖς μὴ τοῦτο νομίζωμεν. τὸ δὲ κάλλιστόν τε καὶ μέγιστον, ὅτι τῷ μεγαλοψύχῳ προσῆν καὶ τὸ ἀφιλότιμον, ὅσον δὲ καὶ οἷον, δηλώσων ἔρχομαι.

Τὰ μὲν γὰρ χρήματα κοινὰ, καὶ ἡ προθυμία τοῦ παρέχειν, αὐτῷ τε καὶ τῇ ὁμοζύγῳ πρὸς τὸ κάλλιστον ἁμιλλωμένοις. τῆς ἐπιδόσεως δὲ τὸ πλεῖστον, τῇ ἐκείνης χειρὶ παρῆκεν, ὡς ἀρίστης οἰκονόμου τῶν τοιούτων, καὶ πιστοτάτης. τίνος δὴ γυναικὸς λέγω καὶ οἵας, ἣ μὴ δὲ τὸ ἀτλαντικὸν πέλαγος, ἢ εἴ τι ἄλλο τῶν μεγίστων, ἤρκεσεν ἂν ἀπαντλούμενον. τοσοῦτος ἔρως τοῦ παρέχειν αὐτῇ, καὶ οὕτως ἄμετρος. ἢ τὴν σολομώντειον βδέλλαν εἰς τοὐναντίον ἐζήλωσε, τῇ περὶ τὸ κρεῖττον ἀπληστίᾳ, τὴν εἰς τὸ χεῖρον νικήσασα, καὶ κόρον οὐκ ἔχουσα τῆς περὶ τὸ εὖ ποιεῖν προθυμίας. ἣ μὴ ὅτιγε τὴν οὐσίαν ἅπαντα, ὅσηπε

ἣν αὐτῆς, καὶ ὅση προσεγένετο, μικροτέραν ἡγεῖτο τῆς οἰκείας ἐφέσεως, ἀλλὰ καὶ ἑαυτὴν καὶ τοὺς παῖδας ἑτοίμως ἀπέδοτο ἄν, εἴπως ἐνῆν, ὃ καὶ πολλάκις αὐτῆς λεγούσης ἤκουσα, ὥστε ἐκδαπανηθῆναι τοῖς πένησι. ταύτῃ τὰς ἡνίας ὅλας ἐπαφῆκε τῆς ἐπιδόσεως, ὃ καὶ παραδείγματος ἐμοί, γοῦν, κρεῖττον ὑπολαμβάνεται. τὸ μὲν γὰρ εἰς χρήματα μεγαλόψυχον, καὶ παρ' ἄλλοις οὐ χαλεπῶς εὕροι τις ἄν, ὅσα τε εἰς τὰς κοινὰς καὶ πολιτικὰς ἀπόλλυται φιλοτιμίας, ὅσα τε θεῷ διὰ τῶν πενήτων δανείζεται, καὶ μόνα τοῖς ἀναλίσκουσι θησαυρίζεται, τῆς δὲ ἐνθένδε τούτῳ δόξης, οὐκ ἔστιν ὅντινα παραχωρήσαντα ῥᾳδίως εὑρίσκομεν. τοῦ μὲν γὰρ δαπανᾶν, καὶ ἡ φιλοδοξία τοῖς πολλοῖς παρέχει τὸ πρόθυμον, οὗ δὲ ἀφανὴς ἡ ἐπίδοσις, ἐκεῖ καὶ τὸ παρέχειν ἀμβλύτερον. ἡ μὲν οὖν χεὶρ τοσαύτη, καὶ τὰ πλείω τοῖς εἰδόσι παρήσομεν. ὥστε εἴ τι καὶ ἡμῖν μαρτυρεῖται τοιοῦτον, ἐξ ἐκείνης εἶναι τῆς πηγῆς, κἀκείνου μοῖραν τοῦ ῥεύματος. τίς δὲ μετὰ θεοῦ μάλλον, ἢ τῷ βήματι προσήγαγεν, ἢ τὰς κατ' αὐτοῦ ὕβρεις ἐζηλοτύπησεν, ἢ τὴν ἀνιέρων σὺν φόβῳ τὴν ἱερὰν ἐκάθηρε τράπεζαν; τίς δ' οὕτως ἀρρεπεῖ γνώμῃ, καὶ σταθμοῖς δικαιοσύνης, ἢ δίκην ἔκρινεν, ἢ κακίαν ἐμίσησεν, ἢ ἀρετὴν ἐτίμησεν, ἢ τοὺς ἀρίστους προὐτίμησεν; τίς μὲν

οὕτως

οὕτως συγγνώμων τοῖς ἁμαρτάνουσιν, ἢ τοῖς δυσδρομοῦσι σύνδρομος; τίς δὲ μᾶλλον, ῥάβδου καὶ βακτηρίας καιρὸν ἐπιστάμενος, τῇ βακτηρίᾳ τὸ πλέον ἔνεμεν; τίνος δὲ οἱ ὀφθαλμοὶ μᾶλλον ἦσαν ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τούς τε ἄλλους, καὶ ὅσοι θεῷ ζῶσιν ἐν μοναδικῷ βίῳ καὶ ἀζύγῳ, γῆν καὶ τὰ περὶ τὴν γῆν ἀτιμάσαντες; τίς δὲ πλέον, ἢ τῦφον ἐκόλασεν, ἢ ταπεινοφροσύνην ἠγάπησεν; καὶ ταύτην οὐκ ἐπιπλάστως οὐδ' ἐξ ἐπιπολῆς, ὡς οἱ πολλοὶ τῶν νῦν προσποιουμένων φιλοσοφεῖν, καὶ κομψοὶ τὸ φαινόμενον, κατὰ τὰς ἀφρονεστάτας τῶν γυναικῶν, αἱ ἀποροῦσαι κάλλους οἰκείου, πρὸς τὰ χρώματα καταφεύγουσι, καὶ εἰσί πως, ὡς ἂν εἴποιμι, κοσμίως θεατριζόμεναι, δι' εὐσχημοσύνην ἀσχήμονες, καὶ δι' αἶσχος αἰσχρότεραι. οὐ γὰρ ἐν ἐσθῆτι τὸ ταπεινὸν ἦν αὐτῷ, ἀλλ' ἐν ψυχῆς καταστήματι. οὐδὲ θρύψις αὐχένος, ἢ φωνῆς ὕφεσις, ἢ προσώπου νεῦσις, ἢ βάθος ὑπήνης, ἢ κεφαλῆς ἐν χρῷ κόσμησις, ἢ βαδίσματος ἦθος τὸ ταπεινὸν ὑπεκρίνετο, τὰ πρὸς ὀλίγον τυπούμενα, καὶ τάχιστα ἐλεγχόμενα. πᾶν γὰρ ὃ προσποιητὸν, οὐδὲ μόνιμον, ἀλλ' ἦν ὁ αὐτὸς ὑψηλότατος μὲν βίῳ, ταπεινότατος δὲ τῷ φρονήματι, καὶ τὴν μὲν ἀρετὴν ἀπρόσιτος, τὴν συνουσίαν δὲ καὶ λίαν εὐπρόσιτος. καὶ συνήθης μὲν, τὴν ἀμπεχόνην ἐπίσης φαύλων, καὶ τὸ ὑψηλὸν,

καὶ τὸ ταπεινόν. ὑπὲρ δὲ πολλοὺς τὴν ἔνδοξον
λαμπρότητα, καὶ γαστρὸς νόσον, καὶ ἀπληστίαν
θαυμάζων μὲν, ἢ καί τις ἄλλος, οὐ διώκων δέ. τὸ
μὲν, ἵνα καθαίρηται, τὸ δὲ, ἵνα μὴ ὑπεραίρηται,
» τῷ καινῷ θηρώμενος τὸ εὐδόκιμον. πολιτικοῦ
» μὲν γὰρ ἔργον εἶναι, πάντα ποιεῖν καὶ λέγειν,
» ἐξ ὧν εὐδοκιμήσει παρὰ τοῖς ἔξωθεν, ᾧ μηδέν
» ἐστι τοῦ παρόντος βίου μακαριώτερον. πνευμα-
» τικοῦ δὲ, καὶ τοῦ καθ' ἡμᾶς, πρὸς ἓν μόνον βλέ-
» πειν, τὴν σωτηρίαν. καὶ ὃ μὲν ἂν εἰς τοῦτο φέρῃ,
» μέγα οἴεσθαι. ὃ δ' ἂν μὴ, διαπτύειν ὡς τοῦ μηδε-
» νὸς ἄξιον. καὶ διὰ τοῦτο, τὸ μὲν ὁρώμενον ἀτιμά-
» ζειν. ὅπως δ' ἂν τὰ ἐντὸς κάλλιστα ἔχοι, τοῦτο μό-
» νον σκοπεῖν, καὶ ταῦτα περὶ πολλοῦ ποιεῖσθαι,
» ἐξ ὧν αὐτός τε πλείστου ἄξιος ἔσται, καὶ τοὺς ἄλ-
» λους ἕλξει δι' ἑαυτοῦ πρὸς τὸ βέλτιστον. ὃ δὲ
κάλλιστον τῶν ἐκείνου καὶ ἰδιώτατον, καὶ οὐδὲ
τοῖς πολλοῖς ἀγνοούμενον, ἡ ἁπλότης, καὶ τὸ τοῦ
ἤθους ἄδολόν τε καὶ ἀμνησίκακον. ἄλλος μὲν γὰρ
ἄλλό τι τῶν παλαιῶν ἢ τῶν νέων κατωρθωκέ-
ναι πιστεύεται, ὡς ἕκαστος ἔτυχεν ἐκ θεοῦ χάρι-
τός τινος ἠξιωμένος. ἰὼβ τὸ ἐν τοῖς πάθεσι καρ-
τερικὸν καὶ ἀνάλωτον, μωϋσῆς καὶ δαβὶδ τὸ
πρᾶον, σαμουὴλ τὸ χρηματίσαι, βλέπων τὰ ἔμ-
προσθεν, φινεὲς τὸν ζῆλον, ἀφ' οὗ καὶ ὀνομάζεται,
παῦλος, καὶ πέτρος, τὸ σύντονον τοῦ κηρύγμα-
τος, οἱ

τος, οἱ τοῦ ζεβεδαίου τὸ μεγαλόφωνον, ὃ καὶ βροντῆς υἱοὺς αὐτοὺς προσηγόρευσε. καὶ τί ἂν καταριθμοίην ἅπαντας; οὐ γὰρ ἐνδώσει ὁ λόγος. στεφάνου δὲ, καὶ τοῦ ἐμοῦ πατρὸς, οὐδὲν οὕτως, ὡς τὸ ἀπόνηρον γνώρισμα. ὁ μὲν γὰρ οὐδὲ κινδυνεύων ἐμίσει τοὺς βάλλοντας, ἀλλ᾽ ἐλιθάζετο μὲν, ὑπὲρ δὲ τῶν λιθαζόντων ηὔχετο, ὡς χριστοῦ μαθητὴς, ὑπὲρ οὗ καὶ τὸ πάσχειν ἦν αὐτῷ μεῖζον τοῦ θανάτου, καρποφορῶν τῷ θεῷ τὴν μακροθυμίαν. τῷ δὲ, οὐδὲν μέσον ἦν τῆς ἐπιπλήξεως καὶ τῆς ἀφέσεως, ὡς μικροῦ καὶ κλέπτεσθαι τὸ λυποῦν τῷ τάχει τῆς συγχωρήσεως. θεοῦ μὲν ὀργῆς φυγίαν τινὰ καὶ πιστεύομεν καὶ ἀκούομεν, τὸ λεῖμμα τῆς κατὰ τὴν ἀξίαν κινήσεως, ἐπειδὴ θεὸς ἐκδικήσεων κύριος. εἰ γὰρ καὶ κλίνει διὰ φιλανθρωπίαν ἐκ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, ἀλλ᾽ οὐ πάντῃ συγχωρεῖ τοῖς ἁμαρτάνουσιν, ἵνα μὴ τῇ χρηστότητι χείρους γίνωνται. ὁ δὲ οὐδὲν ὑπεκράτει τοῖς παροξύνουσι, καίτοιγε οὐδὲ παντάπασιν ἄτρωτος ἦν θυμῷ, κἂν τοῖς πνευματικοῖς μάλιστα, τῷ ζήλῳ νικώμενος. πλὴν, εἴ που τύχοι, παρεσκευασμένος καὶ ὡπλισμένος, καὶ ὡς πρὸς ἀντίπαλον τὸ λυποῦν πόῤῥωθεν παρατεταγμένος. οὕτω δὲ, οὐδ᾽ ἂν μυριάσι μετεκινήθη, τὸ δὴ λεγόμενον. καὶ ὑπὲρ ἐκείνου γλυκὺ τὸ πάθος. ὁ μὲν γὰρ θυμὸς ἦν αὐτῷ, οὐ κατὰ τὴν

ὁμοίωσιν τοῦ ὄφεως ἔνδοθεν ὑποσμύχων, καὶ πρὸς
ἄμυναν εὐτρεπής, οὐδ᾽ εἰς ὀργὴν φθάνων ἐκ τοῦ
πρώτου κινήματος, καὶ αὐτῆς ἐνδόσεως ἔφεσιν, ἀλλὰ
κατὰ τὸ κοῦφον τῆς μελίσσης, δίχα τοῦ θανα-
τοῦν τὸν πλησσόμενον. τὸ δὲ φιλάνθρωπον ὑ-
πὲρ ἀνθρώπων. τροχοὶ πολλάκις ἠπειλοῦντο καὶ
μάστιγες, καὶ οἱ παραστησόμενοι πλησίον. καὶ ὁ
κίνδυνος, ἢ νώτων θλῖψις, ἢ παρειῶν ὕβρις, ἢ
πὺξ κατὰ κόρρης, οὕτω τὴν ἀπειλὴν διελύετο.
ἐσθὴς περιῃρεῖτο καὶ ὑποδήματα, καὶ κατὰ γῆς
ὁ κακοῦργος, εἶτα ὁ θυμὸς οὐκ ἦν ἐπὶ τὸν ἠδικη-
κότα, τὸν δὲ προθύμως ὑπουργήσαντα, ὡς κα-
κὸν ὑπηρέτην. πῶς ἄν τις μᾶλλον ἐφάνη χρη-
στὸς ὤν, ἢ θεῷ δῶρα προσφέρειν ἄξιος; οὐ γὰρ ἔφθα-
νε κεκινημένος πολλάκις, καὶ ὑπεραπελογεῖτο τοῦ
κινήσαντος, ἐρυθριῶν ὡς οἰκείοις, τοῖς ἐκείνου
πταίσμασι. δρόσος ὑφίσταται μᾶλλον ἡλιακὴν
ἀκτῖνα ἑωθινὰ βάλλουσαν, ἤ τι παρέμενεν ἐκεί-
νῳ θυμοῦ λείψανον. ἀλλ᾽ ὁμοῦ τε ἐφθέγγετο, καὶ
ὁ λόγος τοῖς ῥήμασι συναπήρχετο, μόνον ἀφεὶς
τὸ φιλάγαθον. καὶ οὔποτε ἡλίου φανεὶς μακρό-
τερος, οὐδὲ τὴν ἀπολλύουσαν καὶ φρονίμους ὀρ-
γὴν γεωργήσας, ἤ τι τῆς ἑαυτοῦ κακίας ἐνσημή-
νας τῷ σώματι, τὸ δὲ γαληνὸν διασώζων κἀν
τῷ κινήματι. τοιγαροῦν συνέβαινεν ἐκείνῳ τὸ
παραδοξότατον, οὐ μόνῳ μὲν ἐπιτιμᾶν, μόνῳ

δὲ ὑπὸ

δὲ ἀπὸ τῶν ἐγκαλουμένων ἀγαπᾶσθαί τι καὶ
θαυμάζεσθαι, νικῶντος τοῦ χρηστοῦ τὴν θερμότη-
τα, καὶ ὄντως τιμιώτερον εἶναι τὸ, τῷ δικαίῳ
παιδεύεσθαι, ἢ τῷ πονηρῷ καταλείφεσθαι. τοῦ
μὲν γοῦν καὶ τὸ τραχὺ προσηνὲς διὰ τὴν ὠφέλειαν,
τοῦ δὲ καὶ τὸ χρηστὸν ὕποπτον, διὰ τὸ κακόηθες.
καίτοι δὲ οὕτως ἔχων ψυχῆς καὶ ἤθους ἁπλοϊ-
κοῦ καὶ θεοειδοῦς, ὅμως τι τοῖς ὑβρισταῖς καὶ
φοβερὸς ἦν διὰ τὴν εὐσέβειαν, μᾶλλον δὲ, οὐδ᾽
ἄλλό τι τὸ πλῆττον ἦν, ἢ ἁπλότης καταφρονου-
μένη. οὐ γὰρ ἦν αὐτὸν εὐχῆς ἢ κατάρας προέσθαι
ῥῆμα καὶ μή τι δοῦναι παραυτίκα, ἢ ἀγαθὸν διαρ-
κὲς, ἢ λυπηρὸν πρόσκαιρον. τὸ μὲν γοῦν ἦν ἐκ βά-
θους ψυχῆς, τὸ δὲ, ἐπὶ χείλεσι μόνον, καὶ πα-
τρική τις ἐπίπληξις, πολλοῖς γέ τοι τῶν λελυ-
πηκότων, οὐδὲ ὑπερήμερος ἀπήντησεν ἡ ἀντίδο-
σις, οὐδ᾽ ὀπισθόπους ἡ δίκη. τόσον δὴ τὸ ποιητικόν.
ἀλλὰ παρ᾽ αὐτὰ τῆς κινήσεως ἐπλήγησαν, ἐπε-
στράφησαν, προσῆλθον, ἐγονυπέτησαν, συγγνώ-
μης ἔτυχον, ἀπῆλθον ἡττημένοι καλῶς, ἀμείνους
ἐγένοντο καὶ σωφρονισθέντες, καὶ συγγνωσθέντες.
ἐπεὶ καὶ τὸ σύγγνωμον πολλάκις μέγα πρὸς σωτη-
ρίαν, αἰδοῖ κατεῖργον τὸν ἀδικήσαντα, καὶ μετάγον
εἰς φίλτρον ἐκ φόβου, τὴν ἀσφαλεστέραν εὔνοιαν.
ἐπαιδεύθησαν δὲ, οἱ μὲν ὑπὸ βοῶν ἀναρριφθέντες,
τῇ ζεύγλῃ τετρυχωμένων, καὶ ἀπαντησάντων

ἀθρόως, οὔπω τούτων πρότερον πεπονθότων. οἱ δὲ ἵπποις σφενδονηθέντες καὶ συμπατηθέντες, τῶν δυσπειθεστάτων τε καὶ ἡμερωτάτων. οἱ δὲ πυρετοῖς ἀλύτοις καταληφθέντες, καὶ φαντασίαις ὧν τετολμήκασιν. οἱ δὲ ἄλλος ἄλλό τι παιδαγωγηθέντες, καὶ μαθόντες τὴν ὑπακοὴν ἐξ ὧν ἔπαθον. ἆρ᾽ οὖν τὸ μὲν ἐπιεικὲς τοσοῦτον αὐτῷ, καὶ οὕτω γνώριμον. ἐντελείας δὲ, καὶ τῆς περὶ τὸ πρακτέον ἀρετῆς, παρῆκεν ἑτέρῳ τὸ πλέον ἔχειν; οὐ μὲν οὖν. ἀλλ᾽ ἦν ὁ αὐτὸς ἥμερος μὲν, εἴ καί τις ἄλλος, ἐνεργὸς δὲ κατὰ τὸ ἥμερον. δύο γὰρ τούτων ὡς τὰ πολλὰ μαχομένων ἀλλήλοις, καὶ ἀντικαθισταμένων, ἁπλότητος καὶ τραχύτητος, καὶ τῆς μὲν, τὸ ἥμερον ἐχούσης μετὰ τοῦ ἀπράκτου, τῆς δὲ, τὸ πρακτικὸν δίχα τοῦ φιλανθρώπου, ἐκείνῳ συνῆλθε θαυμασίως ἀμφότερα. πράττειν μὲν, ὡς αὐστηρῷ μετὰ τῆς ἡμερότητος, ὑφίεσθαι δὲ, ὡς ἀπράκτῳ, μετὰ τῆς ἐντελείας, ἐν προστασίαις, ἐν παῤῥησίαις, ἐν εἴδει παντὶ κυβερνήσεως. τὸ γὰρ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακὸν, τῷ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον εἴασε κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον, ἀλλ᾽ ἓν ἀρετῆς εἶδος, ὡς μάλιστα ἐνῆν, ἐξ ἀμφοτέρων ἀπηκριβώσατο. τὸν δὴ τοιοῦτον μὲν γεγονότα, οὕτω δὲ τῆς ἱερωσύνης προστάντα, τοιαύτης δὲ παρὰ

πᾶσι

πᾶσι δόξης τετυχηκότα, τί θαυμαστὸν καὶ σημείων ἀξιωθῆναι, οἷς βεβαιοῖ θεὸς τὴν εὐσέβειαν; ἓν δὲ τῶν περὶ ἐκείνην θαυμάτων. ἔκαμνεν ἀῤῥωστίᾳ, καὶ πονηρῶς εἶχε τοῦ σώματος, καὶ τί θαυμαστὸν, ἢ κακοπαθοῦσι καὶ ἅγιοι; εἴτε εἰς κάθαρσιν καὶ τῆς μικρᾶς ἰλύος, εἴτε εἰς βάσανον ἀρετῆς, καὶ πεῖραν φιλοσοφίας, εἴτε εἰς παίδευσιν τῶν ἀσθενεστέρων ἐν ἐκείνοις μανθανόντων τὸ καρτερεῖν, ἀλλὰ μὴ ἐκκακεῖν τοῖς πάθεσιν. ἔκαμνεν οὖν, καὶ ὁ καιρὸς ἦν τὸ ἅγιον πάσχα καὶ περιβόητον, ἡ βασίλισσα τῶν ἡμερῶν ἡμέρα, καὶ ἡ λαμπρὰ νὺξ, λύουσα τὸ σκότος τῆς ἁμαρτίας, καθ' ἣν ἡμεῖς ὑπὸ πλουσίῳ φωτὶ τὴν σωτηρίαν ἡμῶν αὐτὴν ἑορτάζομεν, καὶ τῷ φωτὶ δι' ἡμᾶς νεκρωθέντι συννεκρωθέντες, καὶ ἀνισταμένῳ συνανιστάμεθα. ἐνταῦθα μὲν δὴ τοῦ καιροῦ τὸ πάθος. τὸ δὲ ἦν, ὡς ἐν βραχεῖ διηγήσασθαι. πυρετὸς μὲν σφοδρὸς καὶ διακαὴς, πᾶν τὸ βάθος συνέφλεγεν, ἡ δὲ δύναμις ἐπελελοίπει, τῶν σιτίων δὲ ἀποκέκλειστο, ὕπνος δὲ ἀπελήλατο, ἀπορία δὲ εἶχε, καὶ παλμοῖς συνεκόπτετο. τὰ δ' εἴσω τοῦ σώματος ἅπαντα, ἥ τε ὑπερῷα, καὶ ὅσον ὑπεραιώρηται, τοσούτοις ἕλκεσιν ἐξήνθηκει, καὶ οὕτω πικροῖς τε καὶ συνεχέσιν, ὥστε μὴ δὲ ὕδατι ῥᾴδιον εἶναι τὸν πόρον, μὴ δὲ ἀκίνδυνον. ἤρκουν δὲ οὔτε ἰατρῶν τέχναι, οὔτε οἰκείων εὐ-

χεῖ, καὶ λίαν προσλιπαρούντων, οὔτε θεραπεία πᾶσα προσαγομένη. ὁ μὲν οὖν ἐν τούτοις ἦν, πνέων μικρὰ καὶ ἀπεγνωσμένα, καὶ μηδὲ τῶν παρόντων ἐπαισθανόμενος, ἀλλ' ὅλος τῆς ἐκδημίας ὤν, καὶ τῶν πάλαι ποθουμένων αὐτῷ καὶ ηὐτρεπισμένων. ἡμᾶς δὲ εἶχε τὸ ἱερὸν, μύστας ὁμοῦ καὶ ἱκέτας, ἐπειδὴ τῶν ἄλλων ἀπεγνώκειμεν ἁπάντων, πρὸς τὸν μέγαν ἰατρὸν καὶ τὴν τῆς νυκτὸς ἐκείνης δύναμιν καταφεύγοντας, καὶ τὴν τελευταίαν ἐπικουρίαν. τί καὶ φῶ. ἑορτάσοντας, ἢ θρηνήσοντας, πανηγυρίσοντας, ἢ τιμήσοντας τὸν οὐκέτι ἐνταῦθα, τὰ ἐπιτάφια. ὢ τῶν δακρύων ἐκείνων, ἃ παρὰ παντὸς ἐχεῖτο τοῦ λαοῦ τηνικαῦτα. ὢ φωνῶν καὶ βοῶν καὶ ὕμνων, ταῖς ψαλμῳδίαις συγκιρναμένων. ἐζήτουν παρὰ τοῦ ἱεροῦ τὸν ἱερέα, παρὰ τοῦ μυστηρίου, τὸν μυσταγωγὸν, παρὰ τοῦ θεοῦ, τὸν ἄξιον παραστάτην. καὶ ταῦτα ἦν, ἐξαρχούσης τῆς ἐμῆς μαρίας, καὶ ἀνακρουομένης τὸ τύμπανον, οὐ τὸ ἐπινίκιον, ἀλλὰ τὸ ἱκέσιον, καὶ τότε πρῶτον ἀναισχυντεῖν μαθούσης ὑπὸ τοῦ πάθους, καὶ καταβοώσης τοῦ λαοῦ τε ὁμοίως καὶ τοῦ θεοῦ. τοῦ μὲν, συναλγεῖν πασχούσῃ, καὶ προσφιλοτιμεῖσθαι τοῖς δάκρυσι, τοῦ δὲ, ἐπακούειν τῶν δεομένων, πάντων αὐτὸν τῶν περὶ τούτου θαυμάτων, καὶ γοῦν εὑρετικὸν τὸ πάσχειν, ὑπομιμνήσκουσα. τί οὖν

ἐνταῦθα ὁ τῆς νυκτὸς ἐκείνης, καὶ τοῦ κειμένου θεός; φρίττειν ἐπέρχεταί μοι τοῖς ἑξῆς προσιόντι τοῦ διηγήματος. φρίττοιτε δὲ καὶ ὑμεῖς οἱ ἀκούοντες. μὴ ἀπιστοίητε δέ, οὐ γὰρ ὅσιον, ἡμῶν καὶ περὶ ἐκείνου διηγουμένων. παρῆν ὁ τοῦ μυστηρίου καιρός, καὶ ἡ σεβάσμιος στάσις καὶ τάξις, τοῖς τελουμένοις ἐφησυχάζουσα. ὁ δὲ παρὰ τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ τῆς ἱερᾶς νυκτὸς, διανίσταται. μικρὸν ὑποκινεῖται πρῶτον, εἶτα στεῤῥότερον. εἶτα καλέσας τῶν παραμενόντων ἕνα θεραπευτὴν ἐξ ὀνόματος μικρᾷ πάνυ καὶ ἀμυδρᾷ τῇ φωνῇ, παρεῖναί τε, καὶ ὀρέγειν ἐσθῆτα, καὶ χεῖρα ὑπέχειν ἐκέλευεν. καὶ ὃς παρῆν μετ᾽ ἐκπλήξεως, καὶ ὑπηρέτει προθύμως. καὶ ὃς ὡς βακτηρείᾳ τῇ χειραγωγίᾳ χρησάμενος, μιμεῖται τὸν ἐπὶ τοῦ ὄρους μωϋσέα, καὶ τὰς παρειμένας χεῖρας εἰς εὐχὴν σχηματίσας, συντελεῖ προθύμως ἢ προτελεῖ τοῦ λαοῦ τὰ μυστήρια. ῥήμασι μὲν ὀλίγοις, καὶ ὅσοις ἔσθενεν, διανοίᾳ δὲ ὡς ἐμοὶ δοκεῖ, καὶ λίαν τελεωτάτῃ. ὦ τοῦ θαύματος. ἄνευ βήματος, ἐπὶ βήματος. ἄνευ θυσιαστηρίου, θύτης. ἱερεὺς, πόῤῥω τῶν τελουμένων. καὶ ταῦτα παρῆν αὐτῷ παρὰ τοῦ ἁγίου πνεύματος. αὐτῷ μὲν γινωσκόμενα, τοῖς παροῦσι δὲ οὐχ ὁρώμενα. εἶτα ἐπειπὼν τὰ τῆς εὐχαριστίας ῥήματα οὕτως, ὡς σύνηθες, καὶ τὸν λαὸν

κατευλογήσας, πάλιν τῆς κλίνης γίνεται, τροφῆς τε μικρόν τι προσιέμενος, καὶ ὕπνου μεταλαβὼν, ἀνακαλεῖται τὸ πνεῦμα, καὶ ταῖς κατὰ μικρὸν προσθήκαις, τῆς ὑγείας συναυξηθείσης, ἡ καινὴ παρῆν ἡμέρα τῆς ἑορτῆς, ἣν οὕτως ὀνομάζομεν, τὴν πρώτην κυριακὴν, μετὰ τὴν ἀναστάσιμον ταύτην ἔχοντες, καὶ τὸ ἱερὸν καταλαβὼν, σὺν παντὶ τῷ τῆς ἐκκλησίας πληρώματι, ἐγκαινίζει τὴν σωτηρίαν, καὶ θύει τὰ χαριστήρια. καί μοι τί τοῦτο τὸ ἔργον, τοῦ περὶ τὸν Ἐζεκίαν θαύματος ἆρά τι μικρότερον, ὃν ἀσθενήσαντα καὶ δεηθέντα, προσθήκῃ ζωῆς ὁ θεὸς ἐδόξασεν; καὶ τοῦτο ἐγνώρισε τῇ σκιᾷ τῶν ἀναβαθμῶν ἐπαναχθείσῃ, κατὰ τὴν αὐτοῦ τοῦ σωθέντος αἴτησιν, ὁμοῦ τε τῇ χάριτι, καὶ τῷ σημείῳ τὸν βασιλέα τιμῶν, καὶ τῇ προσθήκῃ τῆς ἡμέρας, τὴν τῶν ἡμερῶν προσθήκην πιστούμενος. τὸ δ' αὐτὸ καὶ περὶ τὴν μητέρα τὴν ἐμὴν συνηνέχθη θαῦμα, οὐ μικρὸν ὕστερον. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν, ταύτην τε γὰρ τὰ εἰκότα τιμήσομεν, εἴπερ τινὰ οὖσαν τιμῆς ἀξίαν, ἐκείνῳ τε χαριούμεθα τῇ κοινωνίᾳ τοῦ διηγήματος. ἅπτεται κἀκείνης ἀῤῥωστία, τῆς πάντα καρτερικῆς καὶ γενναίας, καὶ ἀνόσου τὸν ἅπαντα χρόνον. πολλῶν δὲ ὄντων τῶν λυπηρῶν, ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, ἡ ἀσιτία τὸ βαρύτατον ἦν, ἐπὶ συχνὰς ἡμέρας τοῦτο κιν-

δυνευούσῃ, καὶ μηδὲν εὑρισκούσῃ τοῦ κακοῦ φάρ-
μακον. πῶς οὖν τρέφει ταύτην θεός; οὐ μάννα
βρέξας, ὡς τὸν πάλαι τῷ ἰσραὴλ, ἢ πέτραν ῥή-
ξας, ἵνα πηγάσῃ λαῷ διψῶντι, ἢ κόραξιν ἐστιά-
σας, ὡς τὸν ἠλίαν ἐκεῖνον, ἢ προφήτῃ μεταρσίῳ
κορέσας, ὡς τὸν δανιὴλ πρότερον ἐν λάκκῳ λι-
μώττοντα. τίνα δὲ τρόπον; ἔδοξεν ἐμὲ τὸν αὐ-
τῇ φίλτατον, προετίματο γὰρ ἡμῶν ἄλλος οὐδ' ἐν
ὀνείρῳ, ἀθρόως ἐπιστάντα, νυκτὸς, μετὰ κανοῦ καὶ
ἄρτων τῶν λαμπροτάτων, ἐπευξάμενόν τε αὐ-
τοῖς, καὶ σφραγίσαντα, ὥσπερ φίλον ἡμῖν, θρέ-
ψαί τε καὶ ῥῶσαι, καὶ συναγαγεῖν τὴν δύναμιν.
καὶ ἡ τῆς νυκτὸς ὄψις, ἔργον ἦν ἀληθείας. ἐξ ἐκεί-
νου γὰρ ἑαυτῆς γίνεται, καὶ τῆς χρηστοτέρας ἐλ-
πίδος. τῷ, τούτου δῆλον ἐναργεῖ, καὶ φανερῷ γε-
νέσθαι γνωρίσματι. ἐπειδὴ γὰρ τῆς ἡμέρας
ἐπιλαβούσης, εἰσελθὼν τότε πρὸς αὐτὴν ὄρθριος,
πρῶτον μὲν φαιδροτέραν ἢ πρόσθεν ἐθεασά-
μην. ἔπειτα, πῶς ἡ νὺξ, καὶ ὅτου δέοιτο, τὰ
συνήθη δὴ ταῦτα, ἐπυνθανόμην. σύ με ἔθρε-
ψάς, φησιν, ὦ τέκνον μάλα ἑτοίμως καὶ γαλη-
νῶς, ἔπειτα ἐρωτᾷς τὸ, πῶς ἔχοιμι. λίαν κα-
λῶς τε καὶ φιλανθρώπως. καὶ ἅμα κατένευον
αἱ θεραπεύτριαι, πρὸς τοῦτο μὴ ἀντιτείνειν, ἀλλ'
ἑτοίμως δέχεσθαι τὴν ἀπόκρισιν, μὴ ἀθυμίᾳ κα-
ταβληθείη, γυμνωθείσης τῆς ἀληθείας. ἐν ἔπι

προσθήσω τὴν κοινῶν ἀμφοτέροις. πλέοντί μοι τὸ παρθενικὸν πέλαγος, ἀπὸ τῆς ἀλεξανδρέων ἐπὶ τὴν ἑλλάδα, ἔπλεον δὲ παντελῶς ἔξω τῆς ὥρας, οὕτω τοῦ πόθου πείθοντος, ἐπὶ νηὸς αἰγιναίας, αὕτη γάρ με καὶ μάλιστα προὔτρεψεν, ὡς οἰκείοις προσδραμόντα τοῖς ἄξουσι. πλέοντι δὲ οὕτως ὡς ὀλίγον ἀνήχθημεν, δεινὸς συμπίπτει χειμὼν, καὶ οἷον μὴ πολλῶν πρότερον μνημονεύειν εἶχον, ὡς ἔφασκον, οἱ συμπλέοντες. πάντων δὲ τὸν κοινὸν θάνατον δεδοικότων, ὁ τῆς ψυχῆς ἦν ἐμοὶ φοβερώτερος, ἐκινδύνευον γὰρ ἄθλιος ἀπελθεῖν καὶ ἀτελέσατος, ποθῶν τὸ πνευματικὸν ὕδωρ ἐν τοῖς φονικοῖς ὕδασι. διὰ ταῦτα ἐβόων, ἱκέτευον, ᾔτουν μικρὰν προθεσμίαν, καὶ συνεβόων οἱ συμπλέοντες, καὶ ταῦτα ἐν τοῖς κοινοῖς κινδύνοις, ὡς οὐδὲ τῶν ἐπιτηδείων τινὲς, ξένοι φιλάνθρωποι, τὸ συναλγεῖν μαθόντες ἐκ τῶν κινδύνων. ταῦτα ἔπασχον μὲν ἐγὼ, συνέπασχον δὲ οἱ γεννήτορες, διὰ νυκτερινῆς φαντασίας τοῦ κινδύνου μετέχοντες, καὶ ἀπὸ γῆς ἐβοήθουν, τῶν κυμάτων δι᾽ εὐχῆς κατεπάδοντες, ὡς ὕστερον συμβαλόντες ἔγνωμεν, τὸν καιρὸν, ἡνίκα ἐπανήλθομεν. ταῦτα καὶ ἡμῖν ἐδήλωσεν ὕπνος σωτήριος, ἐπειδήποτε τοῦτον ἔγνωμεν μικρὸν ὑπανέντος τοῦ κλύδωνος. ἐρινύος ἐκράτουν ἐγὼ, φοβερὸν βλεπούσης, καὶ ἀπειλούσης τὸν κίνδυνον. ταύτης

γὰρ ἡμῖν σαφῶς ἡ νὺξ ὑπέγραφεν. ἄλλος ἐδόκει τῶν ἐμπλεόντων, ἦν δὲ παῖς τῶν συνουστάτων ἐμοὶ καὶ φιλτάτων, καὶ ὑπεραγωνιώντων. οὕτως ἔχοντος, τὴν μητέρα τὴν ἐμὴν ἐπιβᾶσαν τῆς θαλάσσης, καὶ τῆς νηὸς λαβομένην, ἐξέλκειν ταύτην εὐθὺ τὴν γῆν, οὐ σὺν πολλῷ τῷ πόνῳ, καὶ ἡ ὄψις ἐπιστεύετο, ἡμεροῦτο γὰρ ἡ θάλασσα, καὶ ῥόδος εἶχεν ἡμᾶς αὐτίκα, οὐ πολὺ τὸ ἐν μέσῳ κακοπαθήσαντας. ἐκείνου τοῦ κινδύνου καὶ ἡμεῖς δῶρον γεγόναμεν, καθυποσχόμενοι, εἰ σωθείημεν, ἡμᾶς αὐτοὺς τῷ θεῷ, καὶ δεδωκότες ὡς ἀπεσώθημεν. τὰ μὲν δὴ κοινὰ τοιαῦτα. πάλαι δὲ οἶμαι θαυμάζειν τινὰς τῶν τὰ ἐκείνου σαφῶς ἐγνωκότων, ὅτι πολλὰ μὲν τούτων οὔπω κατα γεγόναμεν, ὡς μόνα πρὸς εὐφημίαν ἔχοντες, τῆς δὲ τῶν καιρῶν δυσχερείας τὴν μνήμην ἀνεθέμεθα, πρὸς οὓς παραταξάμενος ἐκεῖνος φαίνεται, ὥσπερ ἢ ἀγνοήσαντες ταῦτα, ἢ μὴ μεγάλα νομίζοντες. φέρε οὖν καὶ ταῦτα προσθῶμεν τοῖς εἰρημένοις.

Ἤνεγκεν ὁ καθ' ἡμᾶς καιρὸς πρῶτον κακὸν, οἶμαι δὲ καὶ τελευταῖον, τὸν ἀποστάτην καὶ τοῦ θεοῦ καὶ τῶν λογισμῶν βασιλέα, ὃς μικρὸν μὲν ἔργον ἡγησάμενος εἶναι πέρσας χειρώσασθαι, μέγα δὲ τοὺς χριστιανοὺς παραστήσασθαι, καὶ ἅμα τῶν ἀγόντων αὐτὸν δαιμόνων συμπειθόντων, οὐδὲν εἶδος ἀσεβείας ἐνέλιπεν. πεί

θων, ἀπειλῶν, σοφιζόμενος, ἕλκων πρὸς ἑαυτόν, οὐ μόνον οἷς ἐτεχνάζετο, ἀλλὰ καὶ οἷς ἐβιάζετο. οὐ μὴν λαθεῖν οἷός τε ἦν, κλέπτων τὸν διωγμὸν σοφιστικαῖς ἐπινοίαις, οὐδὲ μὴν καὶ φανερῶς τῇ δυναστείᾳ χρώμενος, ἵν' ἑνί γε τῷ τρόπῳ πάντως ἁλῶμεν, ἢ κακουργηθέντες, ἢ βιασθέντες. τούτων τίς μᾶλλον ἢ ὑπερφρονήσας, ἢ καταλύσας εὑρίσκεται; τὸ μὲν οὖν ὑπερφρονήσεως πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο σημεῖον, οἵ τε τοξόται, καὶ ὁ τούτων στρατηγός, οὓς ἐπῆγεν ἐκεῖνος τοῖς ἱεροῖς οἴκοις ἡμῶν, ὡς ἢ παραληψόμενος, ἢ κατασκεψόμενος. ἐπειδὴ γὰρ πολλοῖς προσβαλὼν ἄλλοις, κἀνταῦθα ἧκεν μετὰ τοῦ ἴσου φρονήματος, καὶ τὸ ἱερὸν ἐξῄτει μετὰ τῶν προσταγμάτων, τοσοῦτον ἀποσχέσθαι τοῦ, τι καταπράξασθαι ὧν ἐβούλετο, ὥστε εἰ μὴ θᾶττον ὑπεκλίθη τῷ ἐμῷ πατρὶ, ἢ παρ' ἑαυτοῦ συνεὶς, ἢ τινὸς συμβουλεύσαντος ἀκούσας, κἂν εἰς τοὺς πόδας ξανθεὶς ἀπηλλάγη, ζέσαντος ἐπ' αὐτὸν θυμῷ καὶ ζήλῳ περὶ τοῦ ναοῦ τοῦ ἱερέως. τὴν καταλύσιν δὲ, πῶς ἄν τις μᾶλλον φανείη πραγματευσάμενος, ἢ δημοσίᾳ μὲν εὐχαῖς καὶ δεήσεσι πανδήμοις βάλλων τὸν ἀλιτήριον, καὶ οὐδὲ τὸν καιρὸν εὐλαβούμενος, ἰδίᾳ δὲ τὴν νυκτερινὴν παράταξιν κατ' αὐτοῦ προβαλλόμενος χαμευνίαν μὲν, τὰς γηραιὰς ἐκείνας, καὶ δροσερὰς κατατρύχων σάρκας, δάκρυσι δὲ πηγάζων τὸ ἔδαφος,

ἔδαφος, μικροῦ καὶ εἰς ἐνιαυτὸν ὅλον, καὶ τοῦτο τῷ τῶν κρυπτῶν γνώστῃ μόνῳ φιλοσοφῶν. ἡμᾶς δὲ λανθάνειν ἐπιχειρῶν, διὰ τὸ ἀνεπίδεικτον, ὥσπερ ἔφην, τῆς εὐλαβείας. καὶ λαθὼν ἂν ἦν παντάπασιν, εἰ μή ποτε ἀθρόως ἐπεισελθὼν ἐγώ, καὶ χαμευνίας σύμβολα θεασάμενος, καὶ τὴν περὶ αὐτὸν πυθόμενος τίνα ταῦτα ἦν, ἔγνων τῆς νυκτὸς τὸ μυστήριον. ἕτερον δὲ τοῦ αὐτοῦ καιροῦ καὶ τῆς αὐτῆς ἀνδρείας διήγημα. ἐστασίαζεν ἡ καισαρέων πόλις, περὶ προβολὴν ἀρχιερέως, τοῦ μὲν ὑπεξελθόντος, τοῦ δὲ ἐπιζητουμένου, καὶ ἡ στάσις θερμή, καὶ μὴ ῥᾳδίαν τὴν λύσιν ἔχουσα, φύσει τε γάρ, περὶ τοῦτο μάλιστα, στασιώδης ἡ πόλις διὰ θερμότητα πίστεως, καὶ τὸ τῆς καθέδρας ἐπίδοξον, πλείω τὴν φιλονεικίαν εἰργάζετο. ταῦτ' ἦν, καὶ παρῆσαν τῶν ἐπισκόπων τινὲς τὸν ἀρχιερέα δώσοντες. ὡς δ' εἰς πλείους τοῦ δήμου διαιρεθέντος, καὶ ἄλλων ἄλλον προβαλλομένων, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν, ὡς ἕκαστος ἔτυχεν ἢ φιλίας πρός τινας ἔχων, ἢ πρὸς θεὸν εὐλαβείας, τέλος συμφρονήσας ὁ δῆμος ἅπας, τὸν πρῶτον παρ' αὐτοῖς ἕνα, βίῳ μὲν ἐξειλεγμένον, οὔπω δὲ τῷ θείῳ βαπτίσματι κατεσφραγισμένον, τοῦτον ἄκοντα συναρπάσαντες, καὶ ἅμα στρατιωτικῆς χειρὸς συλλαβομένης αὐτοῖς τηνικαῦτα ἐπιδημούσης,

εὐθὺ τὸ βῆμα ἔθεσαν, καὶ τοῖς ἐπισκόποις προσήγαγον, τελεσθῆναί τε ἠξίουν, καὶ κηρυχθῆναι, πειθοῖ βίαν ἀναμίξαντες. οὐ λίαν μὲν εὐτάκτως, λίαν δὲ πιστῶς καὶ διαπύρως. κἀνταῦθα οὐκ ἔστιν εἰπεῖν, ὅν τινα εὐδοκιμώτερον ἐκείνου καὶ θεοσεβέστερον ἀνέδειξεν ὁ καιρός. τί γὰρ γίνεται; καὶ ποῖ περιῆλθεν ἡ στάσις; ἐβιάσθησαν, ἥγνισαν, ἀνεκήρυξαν, εὐθὺ τὸν θρόνον ἔθεσαν χειρὶ μᾶλλον, ἢ γνώμῃ, καὶ διαθέσει πνεύματος. ἐδηλώθη δὲ τοῖς μετὰ ταῦτα. ὡς γὰρ ἀπηλλάγησαν ἄσμενοι, καὶ γνώμης ἐγένοντο κύριοι, βουλὴν βουλεύονται σὺν ἀλλήλοις, οὐκ οἶδα μὲν εἰ πνευματικήν, βουλεύονται δ' ὅμως, μηδὲν κυρίους ἡγεῖσθαι τῶν πεπραγμένων, μηδὲ τὴν κατάστασιν ἔγκριτον, τήν τε βίαν ἐπικαλοῦντες αὐτῷ, μηδὲν ἧττον βιασθέντι, καὶ ῥημάτων λαμβανόμενοί τινων, ὡς εἰρημένων τηνικαῦτα προπετέστερον, ἢ σοφώτερον. οὐ μὴν ὁ μέγας ἀρχιερεὺς, καὶ δίκαιος τῶν πραγμάτων ἐξεταστὴς ἢ συναπήχθη τοῖς ταῦτα βουλευομένοις, ἢ τὴν γνώμην ἐπῄνεσεν, ἀλλ' ἔμεινεν ἀκλινὴς καὶ ἀήττητος, οὐδέν γε ἧττον, ἢ μηδὲ βιασθεὶς ὅλως. χρῆναι γὰρ κοινῆς οὔσης τῆς βίας, ἢ κατηγοροῦντας αὐτοὺς κατηγορεῖσθαι, ἢ ἀφιέντας ἀφίεσθαι, ἢ τό γε δικαιότερον, μήτ' ἀφιέντας, ἀφίεσθαι. εἰ μὲν γὰρ αὐτοὺς εἶναι συγγνώμης ἀξίους,

κἀκεῖνον

κἀκεῖνον πάντως. εἰ δὲ μηδὲ πῶς ἐκεῖνον, σχολῇ
γ' ἂν αὐτούς. ἄλλως τε βέλτιον εἶναι, τότε κιν-
δυνεύειν καὶ ἀντιτείνειν μέχρι παντὸς, ἢ ὕστερον
ἐπιβουλεύειν, κἂν τούτῳ τῷ καιρῷ μάλιστα, ἡνί-
κα καὶ τὰς οὔσας ἔχθρας καταλύειν ἄμεινον ἦν,
ἢ τὰς οὐκ οὔσας προσεπινοεῖν. εἶχε γὰρ οὕτως. πα-
ρῆν μὲν ὁ βασιλεὺς, βρέμων χριστιανοῖς, δι' ὀρ-
γῆς δὲ ἡ χειροτονία, ἠπειλεῖτο δὲ ὁ προβληθεὶς,
ἐπὶ ξυροῦ δὲ ἡ πόλις, ἢ μηκέτ' εἶναι μετὰ τὴν ἡ-
μέραν ἐκείνην, ἢ περισωθῆναι, καί τινος φιλαν-
θρωπίας τυχεῖν. προσεγεγόνει γὰρ οἷς παρώξυνε
τὸ περὶ τῆς τύχης, ἐν καιρῷ τῆς δυστυχίας πε-
ριλυθείσης, καὶ ἡ περὶ τὸν ἄνδρα καινοτομία,
ὡς τῶν δημοσίων σεσυλημένων. ἐζήτει δὲ ὁ τοῦ
ἔθνους ἄρχων ὅτι χαρίσαιτο τῷ καιρῷ, κἀκεῖνόν
τι διαθείη κακὸν, οὐδὲ ἄλλως πρὸς αὐτὸν ἔχων
ἐπιτηδείως, ἀλλ' ὡς ἐξ ἀντιπολιτείας διάφο-
ρος ὤν. ἐκάλει δὲ δι' ἐπιστολῶν τοὺς χειροτονήσαν-
τας ὡς κατηγορήσοντας, οὐκέτι ἀπραγμόνως
ἀλλ' ἤδη τι καὶ ἀπειλῆς προστιθεὶς, ὡς τοῦτο ἀπαι-
τοῦντος τοῦ βασιλέως. τότε τοίνυν καὶ πρὸς αὐ-
τὸν ἐλθούσης ἐπιστολῆς, οὐδὲν δείσας, οὐδὲ μι-
κρὸν ἐπισχὼν, σκοπῶμεν τὴν παῤῥησίαν ὅση, καὶ
μεθ' ὅσου τοῦ πνεύματος, ἐκ τῶν ἀντεπεσταλμένων,
ἡμεῖς φησιν ὦ κράτιστε ἡγεμὼν, πάντων τῶν
πραττομένων ἔχομεν ἐξεταστὴν ἕνα καὶ βασι-

λέα, τὸν νῦν πολεμούμενον, ἐκεῖνος καὶ τὴν νῦν ἐξετάσει χειροτονίαν, καὶ ἔνθεσμον καὶ φίλην αὐτῷ περιῆλθε, ὑμᾶν δὲ ἄλλο μέν τι βιάζεσθαι βουλομένοις, καὶ πάνυ ῥᾷστον. ἓν δὲ οὐδεὶς ἡμᾶς ἀφαιρήσεται, τὸ συνηγορεῖν, ὡς ὀρθῶς καὶ δικαίως πεπραγμένοις, τοῖς πεπραγμένοις, εἰ μὴ καὶ τὸν θεῖόν τε τὸν νόμον, οἷς οὐ θεμιτὸν παρακύπτειν εἰς τὰ ἡμέτερα. τοῦτο τὸ γράμμα καὶ αὐτὸς ἐθαύμασεν ὁ δεξάμενος, εἰ καὶ πρὸς ὀλίγον ἐχαλέπηνεν, ὡς οἱ πολλοὶ τῶν τὰ ἐκείνου καλῶς γινωσκόντων ἀπήγγελλον. τοῦτο καὶ βασιλέως τὴν ὁρμὴν ἔστησεν, καὶ τοῦ κινδύνου τὴν πόλιν ἀπήλλαξεν. οὐ φαύλως δ' ἂν προσθείην, ὅτι καὶ τῆς αἰσχύνης ἡμᾶς. τοῦτο τοῦ μικροπολίτου τὸ ἔργον, καὶ τῆς καθέδρας τὰ δεύτερα ἔχοντος. ἆρ' οὐ πολλῷ βέλτιον οὕτω πρωτεύειν, ἢ ἀπὸ τῶν ὑψηλοτέρων θρόνων φθέγγεσθαι; καὶ κρατεῖν ἐν τοῖς πράγμασι μᾶλλον, ἢ τοῖς ὀνόμασιν; ὃ δὲ τελευταῖον μὲν τῶν ἐκείνου τῇ τάξει, πρῶτον δὲ τῇ δυνάμει καὶ μέγιστον, τίς οὕτως ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης, ὥστε ἀγνοεῖν; ἐστασίαζε πάλιν ἡ αὐτὴ πόλις ἐπὶ τοῖς αὐτοῖς, τάχιστα προσληφθέντος τοῦ καλῶς βιασθέντος, καὶ πρὸς θεὸν ἐκδημήσαντος, ὑπὲρ οὗ γενναίως καὶ ἀνδρικῶς ἐν τοῖς διωγμοῖς ἠγωνίσατο. καὶ ἡ στάσις ἦν, ὅσῳ θερμοτέρα, τοσούτῳ καὶ ἀλογωτέρα. οὐ γὰρ ἠγνόει

τὸ ὑπεραῖρον, ὥσπερ οὐδ᾽ ἐν ἄστρασιν ἥλιος, ἀλλὰ καὶ λίαν ἐπίδηλον ἦν, τοῖς τε ἄλλοις ἅπασι, καὶ τοῦ λαοῦ μάλιστα τῷ ἐγκρίτῳ τε καὶ καθαρωτάτῳ. ὅσον τε περὶ τὸ βῆμα, καὶ ὅσον ἐν τοῖς καθ᾽ ἡμᾶς ναζιραίοις, ἐφ᾽ οἷς ἔδει τὰς τοιαύτας προβολὰς κεῖσθαι μόνοις, ἢ ὅτι μάλιστα. καὶ οὐ δεῖ ἂν ἦν ταῖς ἐκκλησίαις κακὸν, ἀλλὰ μὴ τοῖς εὐπορωτάτοις τε καὶ δυνατωτάτοις, ἢ φορᾷ δήμου καὶ ἀλογίᾳ, καὶ τούτων αὐτῶν μάλιστα τοῖς εὐωνοτάτοις. νῦν δὲ κινδυνεύω τὰς δημοσίας ἀρχὰς εὐτακτοτέρας ὑπολαμβάνειν τῶν ἡμετέρων, αἷς ἡ θεία χάρις ἐπιφημίζεται. καὶ βελτίω τῶν βιούτων διοικητὴν φόβον, ἢ λόγον. ἐπεὶ τίς ἂν ἐπ᾽ ἄλλον ἦλθε, τῶν εὖ φρονούντων, σὲ παραλιπὼν τὴν θείαν καὶ ἱερὰν κεφαλήν; τὸν ὑπὸ τῶν χειρῶν κυρίου ἐζωγραφημένον, τὸν ἄζυγα, τὸν ἀκτήμονα, τὸν ἄσαρκον, μικροῦ καὶ ἀναίμονα, τὸν ἐν λόγοις μετὰ τὸν λόγον, τὸν ἐν φιλοσόφοις σοφὸν, τὸν ἐν κοσμικοῖς ὑπερκόσμιον, τὸν ἐμὸν ἑταῖρον καὶ συνεργὸν, τὸν συμμύστην τῆς ψυχῆς, ἵν᾽ εἴπω τι τολμηρότερον, καὶ βίου κοινωνὸν καὶ παιδεύσεως. ἐβουλόμην ἐλευθερίαν ἔχειν τὸν λόγον, ἐν ἄλλοις σε γράφων, ἀλλὰ μὴ παρόντος σου τὰ τοιαῦτα ἐξετάζεσθαι, καὶ ὑφίεσθαι τὰ πλείω διὰ κολακείας ὑπόνοιαν. ἀλλ᾽ ὅμοι λέγειν ὁ λόγος ὥρμησεν, τὸ πνεῦμα μὲν

ᾔδει τὸν ἑαυτοῦ, πῶς γὰρ οὔ; ἀντιστατεῖ δὲ ὁ φθόνος. τὸ δὲ ὧν, αἰσχύνομαι λέγειν. εἴθε δὲ μηδ᾽ ἄλλων λεγόντων ἀκούειν ἦν, καὶ κωμῳδούντων ἐπιμελῶς τὰ ἡμέτερα. ἡμεῖς μὲν οὖν καθάπερ οἱ ποταμοὶ τῶν πετρῶν τὰς ἐν μέσῳ τῷ ῥεύματι παραδράμωμεν, σιωπῇ τιμῶντες τὰ λήθης ἄξια. αὐτοὶ δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου προΐωμεν. ᾔδει τὰ τοῦ πνεύματος ἀκριβῶς ὁ τοῦ πνεύματος, καὶ διὰ τοῦτο μηδὲν ταπεινὸν φρονεῖν ᾤετο δεῖν, μηδὲ κατὰ συστάσεις καὶ προλήψεις μάχεσθαι, χάριτι πλέον, ἢ θεῷ νέμοντας, ἀλλὰ πρὸς ἓν βλέπειν μόνον τὸ τῶν ἐκκλησιῶν ὄφελος, καὶ τὴν κοινὴν σωτηρίαν. διὰ τοῦτο ἔγραφεν, ἐνουθέτει, συνήρμοζε τὸν λαὸν, τοὺς ἱερέας, τούς τε ἄλλους, καὶ ὅσοι τοῦ βήματος. διεμαρτύρετο, ἐψηφίζετο, ἐχειροτόνει, καὶ μήπω παρών. ἐδίδου τῇ πολιᾷ τὸ ἐναυθεντεῖν, ὡς οἰκείοις, τοῖς ἀλλοτρίοις. καὶ τέλος, ἐπειδὴ κανονικὴν ἔδει γενέσθαι τὴν χειροτονίαν αὐτῷ, λείποντος ἑνὸς τῷ ἀριθμῷ τῶν ἀνακηρυξόντων, τοῦ σκίμποδος ἑαυτὸν ἀναρπάσας, γήρᾳ καὶ νόσῳ συντετριμμένος, ἐπὶ τὴν πόλιν νεανικῶς ἵεται, μᾶλλον δὲ φέρεται νεκρῷ τῷ σώματι, καὶ μικρὰ πνέοντι. καλὸν ἐντάφιον αὐτῷ κἂν εἴ τι δέοι παθεῖν, τὴν σπουδὴν ἐκείνην ἔσεσθαι πεπεισμένος. γίνεται δέ τι κἀνταῦθα σημεῖον οὐκ ἀπιστούμενον,

ῥώννυται τῷ πόνῳ, νεάζει τῇ προθυμίᾳ, οἰκονομεῖ, παρατάσσεται, τίθησιν αὐτοῦ τὸν θρόνον, προπέμπεται οὐκ ἔτι σορῷ τῷ φορείῳ, κιβωτῷ δὲ θείᾳ χρησάμενος. ἣν δὲ ἄρτι μακροθυμίαν ἐπαινῶν ἐπαυσάμην, ταύτην ἐνταῦθα καὶ πλέον δείκνυσιν. οὐ γὰρ φερόντων τὴν συλλειτουργῶν τὴν αἰσχύνην τῆς ἥττης, καὶ τὴν ἐν τοῖς πράγμασι τοῦ γέροντος δυναστείαν, καὶ διὰ τοῦτο δυσχεραινόντων αὐτῷ καὶ λοιδορουμένων, ἴσχυσεν οἷς ἐκαρτέρει καὶ τούτων ὑπὲρ αὐτὸν γενέσθαι, μέγιστον εὑρὼν εἰς συμμαχίαν τὴν ἐπιείκειαν, καὶ τὸ μὴ αὐτὸν λοιδορεῖν λοιδορούμενον. τί γὰρ ἦν δεινὸν, εἰ τοῖς πράγμασι νικήσας, φέροι τῇ γλώσσῃ νικώμενος. χειροῦται οὕτω κἀκείνους εἶτα τῇ μακροθυμίᾳ, προσλαβὼν καὶ τὸν χρόνον τῆς γνώμης σύμμαχον. ὥστε ἀπελογοῦντο, προσέπιπτον, μεταβάλλοντες εἰς θαῦμα τὴν ἀγανάκτησιν. ᾐσχύνοντο τοῖς προτέροις, ἐχρῶντο πατριάρχῃ καὶ νομοθέτῃ καὶ δικαστῇ, τὸ μισεῖν ἀποῤῥίψαντες. τοῦ δὲ αὐτοῦ ζήλου, καὶ ἡ κατὰ τὴν αἱρετικῶν ἔνστασις, ἡνίκα ἐπεστράτευσεν ἡμῖν μετὰ τῆς βασιλικῆς ἀσεβείας, ὡς καταστρεψόμενοι καὶ ἡμᾶς, καὶ τοῖς ἄλλοις προσθήσοντες, ἤδη σχεδὸν πᾶσι δεδουλωμένοις. οὐ δὲ γὰρ ἐνταῦθα μικρόν τι μέρος ἡμῖν συνεισήνεγκεν, καὶ παρ' ἑαυτοῦ καὶ παρ' ἡμῶν ἴσως, οὓς ἐπῄνει κἀκείνοις ὡς

πικροτάτοις θηρίοις, οὐκ ἀγεννεῖς σκύλακας, γυμνάζων πρὸς τὴν εὐσέβειαν. σὺ ἀμφοτέροις μέμφομαι. καί μοι μηδεὶς δυσχεραίνητε τῆς παρρησίας, ἐκρήξω γὰρ τὸ λυποῦν, εἰ καὶ φορτικώτερον, ὅτι με τοῖς τοῦ βίου κακοῖς δυσχεραίνοντα, καὶ τῆς ἐρημίας ἐρῶντα, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν καθ' ἡμᾶς, καὶ τὴν κοινὴν ταύτην ζάλην καὶ κόνιν, ὡς ἔχω τάχους, ἐκκλίνειν φιλονεικοῦντα, καὶ εἰς τὸ ἀσφαλὲς ἀποσώζεσθαι, οὐκ οἶδ' ὅπως τῇ φορτικῇ καὶ ἐπιβούλῳ τῶν ψυχῶν ἀγορᾷ ταύτῃ φέροντες παραδεδώκατε, δι' εὐπρεποῦς ὀνόματος τῆς ἱερωσύνης, ἐξ ὧν ἤδη μοι τὰ μὲν συνέβη κακὰ, τὰ δὲ ἐλπίζεται. τὸ γὰρ ἤδη παθεῖν, καὶ πρὸς τὸ μέλλον πως δύσελπι, κἂν ὁ λογισμὸς ἄλλο τι πείθῃ τὸ κρεῖττον ὑποτιθέμενος. οὐκ ἂν οὐδὲ τοῦτο τῶν ἐκείνου καλῶν παρέλθοιμι. πάντα μὲν ἦν καρτερικὸς, καὶ κρείττων τοῦ προβλήματος. τῇ τελευταίᾳ δὲ νόσῳ κακοπαθῶν, ἣ τῷ γήρᾳ συνεπέθετο, καὶ ταύτῃ χρονίᾳ καὶ σφαλερᾷ, τὸ μὲν ἀρρωστῆσαι κοινὸν πρὸς τοὺς ἄλλους ἔχων ἀνθρώπους, τοῦτο δὲ, οὐκ ἔτι κοινὸν, ἀλλὰ σφόδρα ἐκείνου καὶ τοῖς ἄλλοις ἀκόλουθον θαύμασιν. οὐ γὰρ ἔστιν ὅτε μὴ τῷ πάθει στενοχωρούμενος, καὶ πολλάκις γε τῆς ἡμέρας, ἔστι δὲ ὅτε καὶ ὥρας, ὑπὸ μόνης ἐρρώννυτο τῆς λειτουργίας, καὶ ὑπε-

χώρει

χώρει τὸ πάθος, ὥσπερ ἐξ ἐγκλήσεως φυγαδευό-
μενον. ζήσας δὲ σχεδόν τι περὶ τὰ ἑκατὸν ἔτη,
πέρα τῶν Δαυιτικῶν ὅρων, περὶ τὸν καθ' ἡμᾶς
χρόνον, καὶ τούτων αὐτῶν ἐν τῇ ἱερωσύνῃ πέν-
τε καὶ τεσσαράκοντα, μέτρον τῆς ἀνθρωπίνης
ζωῆς, ἔπειτα ἐν γήρᾳ καλῷ καταλύει τὸν
βίον. καὶ ποῦ, πῶς; ἐν τοῖς τῆς εὐχῆς ῥήμασί
τε καὶ σχήμασιν. οὐδὲν μὲν κακίας ἴχνος, πλεῖ-
στα δὲ ἀρετῆς καταλιπὼν ὑπομνήματα. τοιγαρ-
οῦν καὶ τὸ σέβας αὐτῷ πλεῖον, ἢ κατὰ ἄν-
θρωπον, ἐν ταῖς πάντων γλώσσαις καὶ διανοίαις,
καὶ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν, ὅστις ἐκείνου μεμνη-
μένος, οὐχὶ καὶ τὴν φαντασίαν ἀσπάζεται.
ποῦ δὴ τὸ τῆς γραφῆς, χεῖρα θεὶς ἐπὶ στόματι.
Τοιοῦτος μὲν ὁ βίος αὐτῷ, τοιαύτη δὲ ἡ τοῦ βίου
συμπλήρωσις, καὶ τελείωσις. ἐπεὶ δὲ καὶ μνημόσυ-
νον τῆς ἐκείνου μεγαλοψυχίας ἔδει τῷ βίῳ κατα-
λιπεῖν, τί μᾶλλον ἔδει, ἢ τὸν νεὼν τοῦτον, ὃν Θεῷ
τε ἤγειρε καὶ ἡμῖν; ὀλίγα μὲν τῷ λαῷ προσχρη-
σάμενος, τὰ πλείω δὲ οἴκοθεν εἰσενεγκών,
ἔργον οὐ σιωπῆς ἄξιον, μεγέθει μὲν ὑπὲρ τοὺς
πολλούς, κάλλει δὲ σχεδὸν ὑπὲρ ἅπαντας, ὀκ-
τὼ μὲν ἰσοπλεύροις εὐθείαις εἰς ἑαυτὸν ἀπαντῶν-
τα, κιόνων δὲ καὶ στοῶν κάλλεσι διορόφων, εἰς
ὕψος αἰρόμενον, καὶ τοῖς ὑπὲρ αὐτῶν πλάσμα-
σιν, οὐ λειπομένοις τῆς φύσεως. οὐρανῷ δὲ ἄνωθεν

καταστράπτοντα, πηγαῖς δὲ φωτὸς πλουσίαις τὰς ὄψεις περιαυγάζοντα, ὥσπερ ἀληθῶς φωτὸς οἰκητήριον. δρόμοις τε ἀμφιθέτοις ὕλης τῆς λαμπροτάτης ἰσογωνίοις κυκλούμενον, καὶ πολὺν τὸν ἐν μέσῳ τόπον περιλαμβάνουσι. πυλῶν δὲ καὶ προπυλαίων προλάμποντα χάρισι, καὶ πόρρωθεν τοὺς προσιόντας δεξιούμενον. καὶ οὔπω λέγω τὸν ἔξωθεν κόσμον λίθου τετραπέδου καὶ εἰς τεῖχος συνηρμοσμένου κάλλος καὶ μέγεθος. ὅσος τε μετὰ μέτρου ἐν ἕδραις καὶ κεφαλίσιν, αἳ τὰς γωνίας διειλήφασιν. καὶ ὅσος ἐπιχώριος, μηδὲν τοῦ ξένου λειπόμενος, ζώνας τε πολυειδεῖς καὶ ποικίλας, προβεβλημένας τε καὶ ἐνυφασμένας, ἀπὸ κρηπῖδος εἰς κορυφήν, ἢ ζημιοῖ τὸν θεατὴν τὴν ὄψιν ὁείξουσα. πῶς ἂν ὁ λόγος ἔργον τοσούτου χρόνου καὶ πόνου, καὶ τοσαύτης χειρὸς, οὕτως ἐν βραχεῖ παραστήσειεν, ἢ τοσοῦτον εἰπεῖν ἀρκέσει; ὅτι πολλῶν τὰς ἄλλας πόλεις κοσμούντων ἔργων, ἰδίων τε καὶ δημοσίων, τοῦτο καὶ μόνον ἰσχύσειν διαβοήτους ἡμᾶς καταστῆσαι τοῖς πλείοσιν. Ἀλλ᾽ ὁ μὲν ναὸς οὕτως ἔχων. ἐπεὶ δὲ καὶ ἱερέως ἔδει, καὶ τοῦτον οἴκοθεν ἐπιδίδωσιν, ἃ μὲν κατὰ τὸν ναὸν οὐκ ἔχω λέγειν, πλὴν ἐπιδίδωσιν. ἐπεὶ δὲ καὶ θυμάτων ἔδει, καὶ ταῦτα προστίθησι, τὰ πάθη τοῦ παιδὸς, καὶ τὴν ἐν τοῖς δεινοῖς καρτερίαν, ἵν᾽ ἔχῃ θεὸς παρ᾽ αὐτοῦ

ὁλοκάρπωμα λογικόν, ἱερεῖον πνευματικόν, ἀντὶ νομικοῦ θύματος, καλῶς δαπανώμενον. τί φὴς ὦ πάτερ; ἱκανὰ ταῦτα; καὶ ἀπέχεις τῶν πόνων τὰς ἀμοιβάς, οἷς ὑπὲρ τοῖς ἐμοῖς λόγοις ἐμόχθησας, τὸν εἴτε προπεμπτήριον, εἴτ' ἐπιτάφιον τοῦτον ἔπαινον; καὶ δίδως εἰρήνην τῷ λόγῳ, τὸν παλαιὸν τρόπον; κἀνταῦθα τοῦτον ὁρίζεις, φθόγγων τὸν κόρον ὡς ἂν εἴη σύμμετρος, ἢ τινὰ προσθήκην ἐπιζητεῖς; ὁρίζεις οἶδ' ὅτι. καὶ γὰρ αὐτάρκης. ἐκεῖνο δὲ προσθεῖναι συγχώρησον. γνώρισον ἡμῖν ποῦ ποτε εἶ δόξης, καὶ τὸ περὶ σὲ φῶς, καὶ τὴν σὴν μετ' ὀλίγον ὁμόζυγον, καὶ τῶν τέκνων ἃ προκατέθαψας, κἀμὲ ταῖς αὐταῖς δέξαι σκηναῖς, ἢ μηδὲν ἔτι, ἢ μικρὰ τῷ βίῳ τούτῳ κακοπαθήσαντα. καὶ πρὸ τῶν σκηνῶν, τῷ γλυκεῖ λίθῳ τούτῳ, ὃν ἀμφοτέροις ἔστησας, τιμῶν κἀνταῦθα τὸν σὸν ἱερὸν καὶ ὁμώνυμον. καὶ τοῦ λόγου συγγνώμην ἔχε, τοῦ τε παρεθέντος καὶ τοῦ προσληφθέντος σὴν χάριν, καὶ διεξάγοις ἀκινδύνως. μάλιστα μὲν ἅπασαν ποίμνην, καὶ πάντας ἀρχιερέας, ὧν ἐκλήθης πατήρ. ἐξαιρέτως δὲ τὸν ὑπὸ σοῦ βιασθέντα καὶ τυραννηθέντα πατρικῶς τε καὶ πνευματικῶς, ὡς ἂν μὴ πάντα σε μεμφοίμην τῆς τυραννίδος. Σοὶ δὲ τί δοκοῦμεν ὦ κριτὰ τῶν ἐμῶν λόγων καὶ κινημάτων; ἢ μὲν αὐτάρκως διειλέχθαι τοῦ

τα, καὶ τῆς σῆς ἐπιθυμίας ἀξίως, τοῦτο ἐπιψή-
φισον, καὶ δεχόμεθα. πάντως δὲ θεοῦ ψῆφος ἡ
σή. ἡ δὲ παρὰ πολὺ τῆς ἐκείνου δόξης, καὶ τῆς
σῆς ἐλπίδος, ἐγγὺς ὁ σύμμαχος. ἐπάφες τὴν
σὴν φωνὴν, τοῖς ἐκείνου καλοῖς προσδοκωμένην
ὡς ὑετὸν πρόϊμον. πάντως δ' ὑπόχρεων ἔχει σε
τῶν μεγίστων, καὶ ὡς ποιμένα ποιμὴν, καὶ ὡς πα
τὴρ υἱὸν τὸν ἐν χάριτι. τί θαυμαστὸν, εἰ διὰ σοῦ βρον
τήσας τῇ οἰκουμένῃ, καὶ αὐτός τι τῆς σῆς φωνῆς
ἀπολαύσειεν; τί δὲ λοιπόν; τῇ πνευματικῇ σάῤ
ῥᾳ, τῇ τοῦ μεγάλου πατρὸς ἡμῶν ἀβραὰμ, καὶ ὁ-
μοζύγῳ καὶ ἰσοχρόνῳ, συμφιλοσοφῆσαι τὰ ἐπι
κήδια. οὐχ ἡ αὐτὴ φύσις ὦ μῆτερ, θεοῦ καὶ ἀν-
θρώπων, μᾶλλον δ' ὅλως, τῶν θείων καὶ τῶν ἐπι-
γείων. παρ' ἐκείνοις μὲν τὸ ἄτρεπτον καὶ ἀθά-
νατον, αὐτοῦ τε τοῦ εἶναι, καὶ τῶν ὅσα τοῦ εἶναι,
τῶν γ' οὖν παγίων τὰ πάγια. τὰ δὲ ἡμέτερα πῶς
ἔχει; ῥεῖ τε καὶ φθείρεται. καὶ ἄλλοτε ἄλλην
λαμβάνει μεταβολήν. ζωὴ γὰρ καὶ θάνατος,
ταῦθ' ἅπερ λέγεται, πλεῖστον ἀλλήλων διαφέ
ρειν δοκοῦντα, εἰς ἄλληλα περιχωρεῖ πως καὶ ἀν-
τικαθίσταται. ἡ μὲν γὰρ ἐκ φθορᾶς ἀρχομένη
τῆς μητρὸς ἡμῶν, καὶ διὰ φθορᾶς ὁδεύουσα, τῆς
ἀεὶ τοῦ παρόντος ἐκστάσεως, εἰς φθορὰν καταστρέ
φει τὴν τοῦ βίου τούτου κατάλυσιν. ὁ δὲ τῶν ἐν-
ταῦθα κακῶν ἀπαλλαγὴν ἔχων, καὶ πρὸς τὴν

ἄνω πολλάκις μετάτων ζωὴν, οὐκ οἶδα εἰ κυρίως προσαγορεύοιτο θάνατος, ἐν ὀνόματι μᾶλλον, ἢ πράγματι τὸ φοβερὸν ἔχων, καὶ κινδυνεύομεν πάσχειν πως ἄλογον πάθος. ἃ μὲν ἐστὶν οὐ φοβερὰ δεδοικότες, ἃ δὲ φοβεῖσθαι ἄξιον, ὡς αἱρετώτερα περιέποντες. μία ζωὴ πρὸς τὴν ζωὴν βλέπειν. εἷς θάνατος ἡ ἁμαρτία, ψυχῆς γὰρ ὄλεθρος. τἆλλα δ' οἷς μέγα φρονοῦσί τινες, ὀνειράτων ὄψις ἐστὶ, κατὰ τῶν ὄντων παίζουσα, καὶ ψυχῆς ἀπατηλὰ φάσματα. ἂν οὕτως ἔχωμεν ὦ μῆτερ, οὔτε τῇ ζωῇ μέγα φρονήσομεν, οὔτε τῷ θανάτῳ λίαν ἀνιασόμεθα. τί τοίνυν δεινὸν πεπόνθαμεν, εἰ πρὸς τὴν ἀληθινὴν ζωὴν ἐνθένδε μεταβεβήκαμεν; ἀστροφῶν, καὶ ἰλίγγων, καὶ κόρων, καὶ τῆς αἰσχρᾶς φορολογίας ἀπηλλαγμένοι, μετὰ τῶν ἑστώτων καὶ οὐ ῥεόντων ἐσόμεθα φῶτα μικρὰ, φῶς τὸ μέγα περιχορεύοντες. ἀλλὰ λυπεῖ σε τὸ τῆς διαζεύξεως, ἀλλ' εὐφραινέτω τὸ τῆς ἐλπίδος. ἀλλὰ δεινὸν ἡ χηρεία, ἐκείνῳ δὲ οὐ δεινὸν, καί που τὸ τῆς ἀγάπης ἀγαθὸν, ἑαυτῷ τὰ ῥᾴω διδόντα, τῷ πλησίον ἀπονέμειν τὰ προσαντέστερα. τί δὲ καὶ δεινὸν ὅλως, τῇ λυπηθησομένῃ μετὰ μικρόν; ἐγγὺς ἡ προθεσμία, τὸ λυπηρὸν οὐκ ἐπίμονον. μὴ φορτίζωμεν ἀγεννέσι λογισμοῖς τὰ κουφότατα. μεγάλων ἐστερήμεθα, καὶ γὰρ τετυχή-

καὶ μὴν, τὸ μὲν στέρεσθαι, πάντων. τὸ δὲ τυχεῖν, οὐ πολλῶν. μὴ τοῦτο καμπτέτω, ἀλλ᾽ ἐκεῖνο παραμυθείσθω. τὸ γοῦν κρεῖττον, νικᾶν εὐλογώτερον. ἤνεγκας παίδων ἀποβολὴν, τῶν ὡραίων ἔτι, καὶ τοῦ ζῆν ἐπιτηδείων, ἀνδρικώτατα καὶ φιλοσοφώτατα, ἔνεγκε καὶ γηραιοῦ κατάθεσιν σώματος ἤδη τῷ βίῳ κάμνοντος, ᾗ καὶ τὰς αἰσθήσεις ἀπαθεστάτας, ὁ τῆς ψυχῆς τόνος σοι συνετήρησεν. ἀλλὰ δέῃ τοῦ κηδεμόνος, ποῦ δὲ ὁ σὸς οὗτος ἰσαὰκ, ὃν ἀντὶ πάντων σοι καταλέλοιπεν; αἴτει παρ᾽ αὐτοῦ τὰ μικρὰ, τὴν χειραγωγίαν καὶ τὴν δουλείαν, ἀντιδίδου τὰ μείζονα, τὴν μητρικὴν εὐλογίαν, καὶ τὰς εὐχὰς, καὶ τὴν ἐκεῖθεν ἐλευθερίαν. ἀγανακτεῖς νουθετουμένη. τοῦτο ἐπαινῶ. καὶ γὰρ πολλοὺς νενουθέτηκας,

οὕσπερ ὁ πολὺς χρόνος ἀπὸ τὴν σὴν σύνε
σιν ἤγαγεν. οὐδὲν ὁ λόγος πρὸς σὲ
τὴν φιλοσοφωτάτην, ἔστω
κοινὸν τοῖς πενθοῦσι πα
ραμυθίας φάρ-
μακον, ὡς
ἂν εἰ
δοιεν ἄν-
θρώπους ἀνθρώ-
ποι προπέμποντες.

ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΑΝΖΗΝΟΥ ΤΟΥ θεολόγου εἰς Γρηγόριον ἐπίσκοπον Νύσσης τοῦ μεγάλου Βασιλείου ἀδελφὸν, ἐπιστάντα μετὰ τὴν χειροτονίαν, λόγος.

Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν, οὐδέ τις σταθμὸς τῆς καλονῆς αὐτοῦ. φίλος πιστὸς, σκέπη κραταιὰ, καὶ ὠχυρωμένον βασίλειον. φίλος πιστὸς, θησαυρὸς ἔμψυχος. φίλος πιστὸς, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολλύ. φίλος πιστὸς, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη, κατὰ καιρὸν, ἀνοιγόμενά τε καὶ μεταλαμβανόμενα. φίλος πιστὸς, λιμὴν ἀναψύξεως. ἂν δὲ καὶ συνετὸς ᾖ, πόσῳ μᾶλλον; ἂν δὲ καὶ παιδείαν ἄκρος, καὶ παιδείαν παντοίαν, τήν τε ἡμετέραν λέγω, καὶ τήν ποτε ἡμετέραν, ὅσῳ λαμπρότερον. ἂν δὲ καὶ υἱὸς φωτὸς, ἢ ἄνθρωπος τοῦ θεοῦ, ἢ ἐγγίζων θεῷ, ἢ ἀνὴρ ἐπιθυμιῶν τῶν κρειττόνων, ἢ τί τῶν τοιούτων ὀνομάζεσθαι ἄξιος, οὓς ἡ γραφὴ τιμᾷ, τοὺς ἐνθέους καὶ ὑψηλούς, καὶ τῆς ἄνω μερίδος, τοῦτο μὲν ἤδη δῶρον θεοῦ, καὶ φανερῶς ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν. ἂν δὲ καὶ παρὰ φίλου πρὸς ἡμᾶς ἥκων, καὶ τούτου τήν τε ἀρετὴν ὁμότιμον, καὶ τὴν φιλίαν τὴν ἡμετέραν, ἔτι τερπνό-

τερόν τε καὶ χαριέστερον, καὶ μύρου τοῦ κοσμοῦν
τος πώγωνά τε ἱερέως, καὶ ὤαν ἐνδύματος εὐω
δέστερον. ἆρ' οὖν ἱκανὰ ταῦτα, καὶ μετρίως ὑ-
μῖν τὸν ἄνδρα ὁ λόγος ἔγραψεν; ἢ δεῖ καθάπερ
τοὺς ἐπιμελεῖς τῶν ζωγράφων πολλάκις ἐπιβάλ
λειν τὰ χρώματα. ἵνα τελεωτέραν ὑμῖν τὴν τοῦ
λόγου γραφὴν παραστήσωμεν. καὶ δὴ γράψο
μεν ὑμῖν τελεώτερον καὶ σαφέστερον. τίς νομο
θετῶν ἐπιφανέστατος; μωϋσῆς. τίς ἱερέων
ἁγιώτατος; ἀαρών. οὐχ ἧττον ἀδελφοὶ τὴν εὐσέ
βειαν, ἢ τὰ σώματα. μᾶλλον δὲ, ὁ μὲν θεὸς φα-
ραὼ καὶ τοῦ ἰσραὴλ προστάτης καὶ νομοθέτης, καὶ
τῆς νεφέλης εἴσω χωρῶν, καὶ θείων μυστηρίων ἐπό
πτης τε καὶ μυσταγωγὸς, καὶ τῆς σκηνῆς τῆς ἀλη-
θινῆς τεχνίτης, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄν-
» θρωπος. ἱερεῖς δὲ ὁμοίως ἀμφότεροι. μωσῆς
» γάρ φησι καὶ ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ. ὁ μὲν,
ἄρχων ἀρχόντων, καὶ ἱερεὺς ἱερέων, χρώμενος
μὲν ὅσα γλώσσῃ τῷ ἀαρὼν, αὐτὸς δὲ τὰ πρὸς θεὸν
ἐκείνῳ γινόμενος. ὁ δὲ μετ' ἐκεῖνον μὲν εὐθὺς, πο-
λὺ δὲ πρὸ τῶν ἄλλων ἀξίᾳ τε καὶ τῇ πρὸς θεὸν
ἐγγύτητι. ἀμφότεροι βασανίζοντες αἴγυπτον,
θάλασσαν τέμνοντες, τὸν ἰσραὴλ διεξάγοντες, τοὺς
ἐχθροὺς βαπτίζοντες, ἄρτον ἄνωθεν ἕλκοντες, ὕ-
δωρ ἄπιστον ἐν ἐρήμῳ, τὸ μὲν ἐκδιδόντες, τὸ δὲ
γλυκαίνοντες. ἀμφότεροι καταπολεμοῦντες τὸν
ἀμαλὴκ

ἀμαλὴκ ἐκτάσει χειρῶν ἁγίᾳ, καὶ τύπῳ μυστη-
ρίου μείζονος. ἀμφότεροι πρὸς τὴν γῆν τῆς ἐπαγ-
γελίας καὶ ὁδηγοῦντες, καὶ σπεύδοντες. μή τι
γνωριμώτερον τῆς εἰκόνος; οὐ σαφῶς ὑμῖν τὸν
ὁμώνυμον ἐμοὶ καὶ ὁμόψυχον ὁ ζωγράφος λό-
γος ἀνετυπώσατο; τούτων ὁ μὲν ἔχρισεν ἡμᾶς, καὶ
κρυπτομένους εἰς μέσον ἤγαγεν, οὐκ οἶδ' ὅτι πα-
θὼν, ἢ πῶς κινηθεὶς, ἀναξίως τοῦ ἐν αὐτῷ πνεύμα-
τος. καὶ γὰρ εἰ βραχύτερος ὁ λόγος, ὅμως εἰρήσε-
ται. πάντα οἴσει φιλία καὶ πάσχουσα, καὶ ἀ-
κούουσα. ὁ δὲ παρακαλέσων ἥκει, καὶ συμβιβά-
σων τῷ πνεύματι. μέγα μὲν ὅτι καὶ νῦν ἐμοὶ, πῶς
δ' οὐ μέγιστον; ὅσγε πάντας ὑμᾶς τοῦ βίου προε-
στησάμην, μέμφομαι δὲ, ὅτι τῆς χρείας ὕστερος.
πῶς μετὰ τὴν ἧτταν καὶ καταδρομὴν ἡ συμμα-
χία, ὦ φίλων ἄριστε καὶ συμμάχων, καὶ μετὰ τὴν
ζάλην ὁ κυβερνήτης; καὶ μετὰ τὴν οὐλὴν τὸ
φάρμακον; πότερον, ὡς φιλάδελφος ᾐσχύνθης
τὴν τυραννίδα, ἢ καὶ αὐτὸς ὡς δυνάστης ἐδυσχέ-
ρανας τὴν ἀπείθειαν; ποτέρῳ τῶν ἀδελφῶν
ἐγκαλεῖς, καὶ πότερον ἀφίεις τῆς μέμψεως;
φθέγξομαι πρός σε τῶν τοῦ ἰὼβ ῥημάτων, καὶ
αὐτὸς ἀλγῶν πρὸς φίλον, εἰ καὶ μὴ τοιοῦτον, μὴ
δ' ἐφ' ὁμοίοις τοῖς πάθεσι. ποτέρῳ πρόσκεισαι, ἢ
τίνι μέλλεις βοηθεῖν; ἆρ' οὐχ ᾧ πολλὴ ἰσχύς; οὐχ ᾧ
πολλὴ σοφία καὶ ἐπιστήμη; ἐγὼ γὰρ ὁρῶ πολλοὺς

τὴν νῦν καὶ τὴν πάσχοντας, οἳ ῥᾷον ἂν τοῖς ὑψηλοῖς τὰ μέγιστα συγχωρήσαιμεν, ἢ τοῖς ταπεινοῖς τὰ ἐλάχιστα. τοῦτο μὲν οὖν, αὐτὸς ἂν εἰδείης, οὐ γὰρ ἐμοί τι θέμις περὶ σοῦ τῶν οὐ καλῶν ἀποφαίνεσθαι, ὅς σε καλοῦ παντὸς ὅρον καὶ κανόνα τίθεμαι. καὶ ἅμα μὴ ταχὺς εἶναι εἰς κρίσιν, ἀπὸ τῆς γραφῆς νενουθέτημαι. ἐγὼ δέ, τὸν λόγον ὑπέχειν ἕτοιμος καὶ σοί, καὶ παντὶ τῷ βουλομένῳ διὰ φιλίαν, τῆς ἐμῆς εἴτε ἀπειθείας, ὡς ἄν τινες ὀνομάσαιεν, εἴτε προμηθείας, ὡς ἐμαυτὸν πείθω, καὶ ἀσφαλείας, ὡς ἂν εἰδείης μὴ πάντῃ ἀτόπῳ φίλῳ χρώμενος καὶ ἀμαθεῖ. ἀλλ' ἔστιν ἃ καὶ συνορᾶν δυναμένῳ τῶν πολλῶν ἄμεινον, καὶ θαρροῦντι μέν, ἃ θαρρεῖν ἄξιον, φοβουμένῳ δέ, οὗ ἐστὶ φόβος, καὶ ἃ μὴ δεῖ φοβεῖσθαι, τοῖς νοῦν ἔχουσι φοβερώτερον. τί οὖν δοκεῖ; καὶ τί βέλτιον; νῦν ὑπόσχωμεν τὰς εὐθύνας ὑμῖν, τοῦτο κελεύετε, καὶ οὐκ ἀποδοκιμάζετε τὸν καιρόν; ὁ δέ ἐστι πανήγυρις, ἀλλ' οὐ δικαστήριον. ἢ τοῦτο μὲν εἰς ἄλλον καιρὸν καὶ σύλλογον ἀποθώμεθα, καὶ γάρ ἐστι μακρότερος, ἢ κατὰ τὸν παρόντα καιρὸν ὁ λόγος. Ἡμεῖς δέ τι φθεγξόμεθα πρὸς ὑμᾶς τῆς πανηγύρεως ἄξιον, ἵνα μὴ νήστεις ὑμᾶς ἀπολύσωμεν αὐτοί, καὶ ταῦτα ὄντες οἱ ἑστιάτορες. ἁγνίσωμεν ἡμᾶς αὐτοὺς ἀδελφοὶ τοῖς μάρτυσι. μᾶλλον δέ, ᾧ κἀκεῖνοι, δι' αἵματος καὶ τῆς ἀληθείας ἡγνίσθησαν. ἐλευθερωθῶμεν παντὸς μο-

λυσμοῦ

λυσμοῦ σαρκὸς καὶ πνεύματος, νιψώμεθα, καθαροὶ γενώμεθα, παραστήσωμεν καὶ αὐτοὶ τὰ σώματα ἡμῶν καὶ τὰς ψυχάς, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ταύτην ἡμῶν καὶ ἔντευξιν. οὐδὲν γὰρ οὕτω τῷ καθαρῷ τίμιον, ὡς καθαρότης, ἢ κάθαρσις. ἀθλήσωμεν, διὰ τοὺς ἀθλητάς. νικήσωμεν, διὰ τοὺς νικητάς. μαρτυρήσωμεν τῇ ἀληθείᾳ, διὰ τοὺς μάρτυρας. οὕτω τοῖς ἄθλοις αὐτῶν χαρισώμεθα, ἵνα καὶ αὐτοὶ στεφανῖται γενέσθαι, καὶ τῆς αὐτῆς κληρονόμοι δόξης, τῆς τε παρ' ἡμῶν ὑπαρχούσης αὐτοῖς, καὶ τῆς ἐν οὐρανοῖς ἀποκειμένης, ἧς ὑπομνήματα καὶ χαρακτῆρες μικροί τινες τὰ ὁρώμενα. πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας ἀγωνισώμεθα, πρὸς τοὺς ἀφανεῖς διώκτας καὶ τυράννους. πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, καὶ περὶ τὰ οὐράνια. πρὸς τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς τὸν ἐν τοῖς πάθεσι πόλεμον. πρὸς τὰς καθ' ἑκάστην ἡμέραν τῶν ἔξωθεν συμπιπτόντων, ἐπαναστάσεις. ἐνέγκωμεν θυμόν, ὡς θηρίον, καὶ γλῶσσαν, ὡς τομὸν ξίφος, καὶ ἡδονήν, ὡς πῦρ κατασβέσωμεν. θώμεθα ταῖς ἀκοαῖς θύρας καλῶς ἀνοιγομένας καὶ κλειομένας, καὶ τὸν ὀφθαλμὸν σωφρονίσωμεν. παιδαγωγήσωμεν ἁφὴν λυσσῶσαν, καὶ γεῦσιν σπαράττουσαν, μὴ θάνατος ἀναβῇ διὰ τῶν θυρίδων

ἡμῶν, οὕτω γὰρ ἡγοῦμαι καλεῖσθαι τὰ αἰσθητήρια, καὶ γέλωτος ἀμετρίας καταγελάσωμεν. μὴ κάμψωμεν γόνυ τῇ Βάαλ διὰ τὴν χρείαν. μὴ δὲ διὰ φόβον, τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσωμεν. ἓν φοβηθῶμεν μόνον, τὸ φοβηθῆναί τι θεοῦ πλέον, καὶ καθυβρίσαι τὴν εἰκόνα διὰ κακίας. ἐν πᾶσι, τὸν θυρεὸν τῆς πίστεως ἀναλάβωμεν, καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ διαφύγωμεν. καὶ οὗτος ἀληθινὸς ὁ πόλεμος, καὶ αὕτη παράταξις μεγάλη, καὶ τοῦτο, μέγα τρόπαιον. εἰ οὕτως συνεληλύθαμεν, ἢ συντρέχομεν, ὄντως κατὰ χριστὸν ἡ πανήγυρις, ὄντως τοὺς μάρτυρας τετιμήκαμεν, ἢ τιμήσομεν. ὄντως χορεύομεν ἐπινίκια. εἰ δὲ γαστρὸς ἡδοναῖς χαριζόμενοι, καὶ τρυφήσοντες πρόσκαιρα, καὶ εἰσοίσοντες τὰ καινούμενα, καὶ κραιπάλης χωρία ταῦτα, οὐ σωφροσύνης ὑπολαμβάνοντες, καὶ πραγματειῶν καιροὺς καὶ πραγμάτων, ἀλλ' οὐκ ἀναβάσεως ἢ θεώσεως, ἵν' οὕτως εἰπεῖν τολμήσω, ἧς οἱ μάρτυρες μεσιτεύουσι, πρῶτον μὲν, οὐδὲ τὸν καιρὸν ἐπιγινώσκω. τί γὰρ τὰ ἄχυρα πρὸς τὸν σῖτον; τί δὲ θρύψεις σαρκὸς πρὸς μαρτύρων παλαίσματα; ἐκεῖνα τῶν θεάτρων, ταῦτα τῶν ἐμῶν συλλόγων. ἐκεῖνα τῶν ἀκολάστων, ταῦτα τῶν σωφρονούντων. ἐκεῖνα τῶν φιλοσάρκων, ταῦτα τῶν λυομένων ἀπὸ τοῦ σώματος. ἔπειτα, βούλομαι μὲν εἰπεῖν τι καὶ τολμηρότερον, φείδομαι

ρον, φείδομαι δὲ τῆς βλασφημίας αἰδοῖ τῆς ἡμέρας, πλὴν οὐ ταῦτα ἀπαιτοῦσι παρ' ἡμῶν οἱ μάρτυρες. οὕτω γὰρ εἰπεῖν μετριώτερον. μὴ γίνωμεν ἀνάγνως τελῶμεν ἀδελφοὶ τὰ ἅγια, μηδὲ τὰ ὑψηλὰ ταπεινῶς, μηδ' ἀτίμως τὰ τίμια, μηδέ, συνελόντα εἰπεῖν, χοϊκῶς τὰ τοῦ πνεύματος. πανηγυρίζει καὶ ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα. ἑορτάζει καὶ ἕλλην, ἀλλ' ὡς ἀρέσκει τοῖς δαίμοσιν. ἡμῖν δέ, ὡς πάντα πνευματικά, πρᾶξις, κίνημα, βούλημα, λόγος, ἄχρι καὶ βαδίσματος, καὶ ἐνδύματος, ἄχρι καὶ νεύματος, εἰς πάντα τοῦ λόγου φθάνοντος, καὶ ῥυθμίζοντος τὸν κατὰ θεὸν ἄνθρωπον, οὕτω καὶ τὸ πανηγυρίζειν, καὶ τὸ φαιδρύνεσθαι. οὐ γὰρ κωλύω τὴν ἄνεσιν, ἀλλὰ κολάζω τὴν ἀμετρίαν. ἂν οὕτω συνιῶμεν, καὶ οὕτω πανηγυρίζωμεν, μέγα μὲν ὅτι καὶ αὐτοὶ τευξόμεθα τῶν αὐτῶν ἄθλων, εἰπεῖν, καὶ τῆς αὐτῆς δόξης κληρονομήσωμεν, ἃ γὰρ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἀνθρώπινός ποτε νοῦς ἀνετυπώσατο, κατ' ἐξουσίαν πλάττων μακαριότητα, ταῦτα νομίζομεν ἀποκεῖσθαι τοῖς καθηραμένοις δι' αἵματος, καὶ τὴν χριστοῦ θυσίαν μιμησαμένοις. ἀλλὰ τήν γε λαμπρότητα τῶν ἁγίων μαρτύρων ὀψόμεθα, οὐδὲ γὰρ τοῦτο μικρόν, ὡς ὁ ἐμὸς λόγος, καὶ εἰς τὴν χαρὰν τοῦ αὐτοῦ κυρίου, εἰσελευσόμεθα, καὶ τῷ φωτὶ τῆς μακαρίας καὶ

ἁγίας τριάδος εὖ οἶδ' ὅτι ἐλλαμφθησόμεθα τρα-
νότερόν τε καὶ καθαρώτερον. εἰς ἣν πεπιστεύκα-
μεν, καὶ ἣ λατρεύομεν, καὶ ἣν ὁμολογοῦμεν ἔμ-
προσθεν θεοῦ καὶ ἀνθρώπων. μηδὲν δεδοικότες,
μηδένα αἰσχυνόμενοι. μὴ τοὺς ἔξωθεν ἐχθρούς, μὴ τοὺς
ἐν ἡμῖν αὐτοῖς ψευδοχρίστους, καὶ πολεμίους τοῦ
πνεύματος. καὶ ὁμολογοίημεν μέχρι τῆς ἐσχά-
της ἀναπνοῆς ἐν πολλῇ παρρησίᾳ, τὴν καλὴν πα-
ρακαταθήκην τῶν ἁγίων πατέρων τῶν ἐγγυ-
τέρω χριστοῦ, καὶ τῆς πρώτης πίστεως, τὴν σύντρο-
φον ἡμῖν ἐκ παίδων ὁμολογίαν, ἣν πρῶτον ἐφθεγ-
ξάμεθα, καὶ ἣ τελευταῖον συναπέλθοιμεν. τοῦτο
εἰ μή τι ἄλλο ἐντεῦθεν ἀποφερόμενοι, τὴν εὐσέ-
βειαν. ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ καταλλάξας ἡμᾶς
ἑαυτῷ διὰ τοῦ σταυροῦ, διὰ τῆς ἁμαρτίας πολε-
μωθέντας, ὁ εὐαγγελισάμενος εἰρήνην τοῖς ἐγ-
γύς, καὶ τοῖς μακράν, οἷς τε ὑπὸ νόμον, καὶ τοῖς
ἔξω νόμου, ὁ τῆς ἀγάπης πατήρ, ἡ ἀγάπη, ταῦτα
γὰρ πρὸ τῶν ἄλλων χαίρει καλούμενος, ἵνα νο-
μοθετήσῃ καὶ τοῖς ὀνόμασι τὸ φιλάδελφον, ὁ τὴν
καινὴν ἐντολὴν δοὺς ἐν τῷ τοσοῦτον ἀγαπᾶν ἀλ-
λήλους, ὅσον καὶ ἠγαπήμεθα, ὁ δοὺς καὶ τυραν-
νεῖν καλῶς, καὶ τυραννεῖσθαι διὰ τὸν φόβον, καὶ
ἀναδύεσθαι σὺν λόγῳ, καὶ θαρρεῖν πάλιν διὰ
τὸν λόγον. ὁ καὶ τὰ μεγάλα ποίμνια καταρτί-
ζων, καὶ τὰ μικρὰ μεγαλύνων διὰ τῆς χάριτος,

αὐτὸς κατὰ τὸ πλῆθος τῆς ἑαυτοῦ χρηστότητος, ἡμᾶς μὲν παρακαλέσαι παρακλήσει πολλῇ, καὶ εἰς τὰ ἔμπροσθεν ἄγοι, συμποιμαίνων, καὶ διασώζων τὸ ποίμνιον. ὑμᾶς δὲ καταρτίσειεν εἰς πᾶν ἔργον ἀγαθὸν, καὶ πνευματικῶς πανηγυρίζειν ἐν τοῖς μάρτυσι πείσειε, καὶ τῆς ἐκεῖθεν τρυφῆς καταξιώσειεν, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία. καὶ ὀφθέντας ἐν δικαιοσύνῃ, τῆς ἑαυτοῦ δόξης κορέσειεν, ἐπιφθείσης ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἡ τιμὴ καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΤΈΛΟΣ.

a b c d e f g h i k l m n o p q r ſ t.
Omnes ſunt quaterniones, præter t duernionem.

VENETIIS, IN AEDIBVS HAERE
DVM ALDI, ET ANDREAE
ASVLANI SOCERI,

M. D. XXXVI.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΒΙΒΛΟΣ, ΠΕΡΙ ΑΝΘΡΩΠΟΥ.

Εἰς τὸν μέγαν Βασίλειον.

Κἂν σὸς μελιττόγλωττος ἔστη ῥοῦς πατέρων
τοῦ θανάτου θᾶττόν σε καθηρπακότος,
ἀλλὰ τὸ λεῖπον τῆς ῥοῆς ὑπερχέει
ὁ γρήγορος νοῦς, ἀπό σου καθὰ πάλιν
ἄρδευμα, καὶ γοῦν σῶν ὅδε γλωττισμάτων
ἐξ ὧν ἐπλήσθη χύμα λαβὼν τοῦ λόγου.

Στίχοι εἰς τὸν ἅγιον Γρηγόριον Νικήτα.

Βίβλος ἐγὼ μεγάλοιο ἀδελφοῦ Βασιλείου
Γρηγορίου τελέθω τέρματος εὐφυέος.
Αὐτίκα γοῦν μετόπισθε τανηλεγέος θανάτοιο
οἷά τις ἡνίοχος ἅρμασι τῆς σοφίης
ὑψὸς ἐπεμβαὼς, ὠχήσατο ἰσόθεος φὼς,
οὗ καὶ ἀνεπλήρου τέρματα εὐφραδέως.
Ἔπρεπε γοῦν πλάσιν ἀνθρωπείου, κατασκευήν τε,
ἣ πολυφραδμοσύνη ἐξερέειν κοσμίως.
Τοῦ καὶ ἀπὸ στομάτων καταλείβεται ὑγρὸν ἔλαιον
ἦκα μάλα προχέον, ἄφθονον, ἡδύπλεον.

Ἄλλου, ἐλεγειοηρῶοι ἐκ τοῦ ἐναντίου.

Νυσσαέων ἀγακλειτοῖο τόδε πρῆγμα,
ἀτρεκέως ἀγορεῦον τῶν μερόπων τετρακτύν.

Τῷ ἀδελφῷ δούλῳ θεοῦ Πέτρῳ Γρηγόριος ἐπίσκοπος Νύσσης.

Εἰ ταῖς διὰ τῶν χρημάτων τιμαῖς ἔδει γεραίρειν τοὺς κατ᾽ ἀρετὴν διαφέροντας, μικρὸς ἂν, καθὼς φησὶν ὁ Σολομὼν, ὅλος ὁ κόσμος τῶν χρημάτων ἐφάνη πρὸς τὸ γενέσθαι τῆς σῆς ἀρετῆς ἰσοστάσιος. ἐπειδὴ κρεῖττον ἢ κατὰ πλούτου τιμὴν, ἡ χρεωστουμένη τῇ σεμνότητί σου χάρις ἐστίν. ἀπαιτεῖ δὲ τὸ ἅγιον πάσχα τὴν συνήθη τῆς ἀγάπης δωροφορίαν, ἣν προσάγομέν σου τῇ μεγαλοφροσύνῃ δῶρον ὦ ἄνθρωπε τοῦ θεοῦ, μικρότερον μὲν, ἢ ὡς ἄξιον εἶναί σοι προσκομίζεσθαι, τῆς γε μὴν δυνάμεως ἡμῶν οὐκ ἐνδεέστερον. τὸ δὲ δῶρον, λόγος ἐστὶν, οἷον ἱμάτιόν τι πενιχρὸν ἐκ τῆς πτωχῆς ἡμῶν διανοίας οὐκ ἀπόνως ἐξυφασμένον. ἡ δὲ τοῦ λόγου ὑπόθεσις τολμηρὰ μὲν ἴσως τοῖς πολλοῖς εἶναι δόξει, πλὴν οὐκ ἔξω τοῦ πρέποντος ἐνομίσθη. μόνος γὰρ ἀξίως τὴν κτίσιν τοῦ θεοῦ κατενόησεν, ὁ κατὰ θεὸν κτισθεὶς ὄντως, καὶ ἐν εἰκόνι τοῦ κτίσαντος τὴν ψυχὴν μεμορφωμένος Βασίλειος, ὁ κοινὸς ἡμῶν πατὴρ καὶ διδάσκαλος, ὃς τὴν ὑψηλὴν τοῦ παντὸς διακόσμησιν εὔληπτον τοῖς πολλοῖς διὰ τῆς ἰδίας θεωρίας ἐποίησε, καὶ τὸν ἐν τῇ ἀλη-

θινῇ σοφίᾳ παρὰ τοῦ θεοῦ συστάντα κόσμον γνώριμον τοῖς διὰ τῆς συνέσεως αὐτοῦ τῇ θεωρίᾳ προσαγομένοις ἐποίησας. ἡμεῖς δὲ καὶ τοῦ θαυμάζειν αὐτὸν κατ᾽ ἀξίαν ἐνδεῶς ἔχοντες, ὅμως τὸ λεῖπον τοῖς τεθεωρημένοις τῷ μεγάλῳ προσθεῖναι διενοήθημεν. οὐχ ὡς νοθεύοντες δι᾽ ὑποβολῆς τὸν ἐκείνου πόνον, οὐδὲ γὰρ θέμις τὸ ὑψηλὸν ἐκεῖνο καθυβρισθῆναι στόμα τοῖς ἡμετέροις ἐπιφημιζόμενον λόγοις, ἀλλ᾽ ὡς μὴ δοκεῖν ἐλλιπῆ τοῦ διδασκάλου τὴν δόξαν ἐν τοῖς μαθηταῖς αὐτοῦ εἶναι. εἰ γὰρ λειπούσης τῆς ἑξαημέρου, τῆς εἰς τὸν ἄνθρωπον θεωρίας μηδεὶς τῶν μαθητευσάντων αὐτῷ σπουδήν τινα πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν εἰσηνέγκατο, ἔχοι ἂν εἰκότως κατὰ τῆς μεγάλης αὐτοῦ δόξης ὁ μῶμος λαβὴν, ὡς μὴ βουληθέντος ἕξιν τινὰ κατανοητικὴν τοῖς ἀκροαταῖς ἐνεργάσασθαι. νυνὶ δὲ κατὰ δύναμιν ἡμῶν ἐπιτολμησάντων τῇ ἐξηγήσει τοῦ λείποντος, εἰ μέν τι τοιοῦτον ἐν τοῖς ἡμετέροις εὑρεθείη, οἷον τῆς ἐκείνου διδασκαλίας μὴ ἀνάξιον εἶναι, εἰς τὸν διδάσκαλον πάντως τὴν ἀναφορὰν ἕξει, εἰ δὲ μὴ καθίκοιτο τῆς μεγαλοφυοῦς θεωρίας ὁ ἡμέτερος λόγος, ὁ μὲν ἔξω τῆς τοιαύτης ἔσται κατηγορίας, τοῦ μὴ βούλεσθαι δοκεῖν τοῖς μαθηταῖς ἐγγενέσθαι τι δεξιὸν, ἐκφυγὼν τὴν μέμψιν, ἡμεῖς δ᾽ ἂν εἰκότως ὑπεύθυνοι δόξαιμεν

τοῖς

τοῖς μωμοσκοποῦσιν, ὡς οὐ χωρήσαντες ἐν τῷ μικροφυεῖ τῆς καρδίας ἡμῶν τοῦ καθηγητοῦ τὴν σοφίαν. ἔστι δὲ οὐ μικρὸς ὁ προκείμενος ἡμῖν εἰς θεωρίαν σκοπὸς, οὐδέ τινος τῶν ἐν κόσμῳ θαυμάτων τὰ δεύτερα φερόμενος, τάχα δὲ καὶ μείζων ἑκάστου τῶν γιγνωσκομένων, διότι οὐδὲν ἕτερον θεῷ ἐκ τῶν ὄντων ὁμοιῶται, πλὴν τῆς κατὰ τὸν ἄνθρωπον κτίσεως. ὥστε παρὰ τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν πρόχειρον ἡμῖν τὴν ἐπὶ τοῖς λεγομένοις συγγνώμην εἶναι, κἂν πολὺ κατόπιν τῆς ἀξίας ὁ λόγος ἔλθοι. δεῖ γὰρ οἶμαι τῶν περὶ τὸν ἄνθρωπον ἁπάντων, τῶν τε προγεγενῆσθαι πεπιστευμένων, καὶ τῶν εἰσύστερον ἐκβήσεσθαι προσδοκωμένων, καὶ τῶν νῦν θεωρουμένων μηδὲν παραλιπεῖν ἀνεξέταστον. ἡ γοῦν ἂν ἐλλιπεστέρα τοῦ ἐπαγγέλματος ἡ σπουδὴ διελέγχοιτο, εἰ τοῦ ἀνθρώπου προκειμένου τῇ θεωρίᾳ, παρεθείη τι τῶν συντεινόντων πρὸς τὴν ὑπόθεσιν. ἀλλὰ καὶ τὰ δοκοῦντα περὶ αὐτὸν ἐναντίως ἔχειν, διὰ τὸ μὴ τὰ αὐτὰ τοῖς ἐξ ἀρχῆς γεγενημένοις, καὶ νῦν περὶ τὴν φύσιν ὁρᾶσθαι διά τινος ἀναγκαίας ἀκολουθίας, ἔκ τε τῆς γραφικῆς ὑφηγήσεως, καὶ ἐκ τῆς παρὰ τῶν λογισμῶν εὑρισκομένης ἐπινοίας συναρτῆσαι προσήκει, ὡς ἂν συμβαίνοι πᾶσα ἡ ὑπόθεσις εἱρμῷ καὶ τάξει τῶν ἐναντίως ἔχειν δοκούντων, πρὸς ἓν καὶ τὸ αὐτὸ πέρας συμφε-

ρομένων. οὕτω καὶ τῆς θείας δυνάμεως ἐλ-
πίδα, τοῖς ὑπὲρ ἐλπίδα, καὶ πόρον τοῖς ἀμη-
χάνοις ἐφευρισκούσης. σαφηνείας δὲ χάριν κα-
λῶς ἔχειν ᾠήθην ἐπὶ κεφαλαίων σοι
προθεῖναι τὸν λόγον, ὡς ἂν ἔχοις
πάσης τῆς πραγματείας
ἐν ὀλίγῳ τὴν καθέκα-
στον ἐπιχειρημά-
των εἰδέναι
τὴν δύναμιν.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ, κεφάλαιον πρῶτον, ἐν ᾧ τίς ἐστι μερικὴ περὶ τοῦ κόσμου φυσιολογία, καί τις ἁβροτέρα διήγησις, περὶ τῶν προγεγονότων τῆς τοῦ ἀνθρώπου γενέσεως.

Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, φησὶν ἡ γραφή.
Α' ὅτε συνετελέσθη πᾶν τὸ φαινόμενον, καὶ πρὸς τὴν οἰκείαν θέσιν ἕκαστον τῶν ὄντων ἀποκριθὲν ἀνεχώρησεν, ὅτε περιέχων ἐν κύκλῳ τὰ πάντα τὸ οὐράνιον σῶμα, τὴν δὲ μέσην τοῦ παντὸς ἀπέλαβε χώραν τὰ βαρέα καὶ κατωφερῆ τῶν σωμάτων, γῆ τε καὶ ὕδωρ ἐν ἀλλήλοις διακρατούμενα. σύνδεσμος δέ τις καὶ βεβαιότης τῶν γεγενημένων ἡ θεία τέχνη καὶ δύναμις τῇ φύσει τῶν ὄντων ἐναπετέθη, διπλαῖς ἐνεργείαις ἡνιοχοῦσα τὰ πάντα. στάσει γὰρ καὶ κινήσει τὴν γένεσιν τοῖς μὴ οὖσι, καὶ τὴν διαμονὴν τοῖς οὖσιν ἐμηχανήσατο. περὶ τὸ βαρὺ καὶ ἀμετάθετον τῆς ἀκινήτου φύσεως, οἷον περί τινα πάγιον ἄξονα, τὴν ὀξυτάτην τοῦ πόλου κίνησιν τροχοῦ δίκην ἐν κύκλῳ περιελαύνουσα, καὶ δι' ἀλλήλων ἀμφοτέροις συντηροῦσα τὸ ἀδιάλυτον τῆς τε κυκλοφορουμένης οὐσίας διὰ τῆς ὀξείας κινή

σεως τὸ ναστὸν τῆς γῆς ἐν κύκλῳ περισφιγγούσης, τοῦ τε στεῤῥοῦ, καὶ ἀνενδότου διὰ τοῦ ἀμεταθέτου παγιότητος ἀδιαλείπτως ἐπιτείνοντος τῶν περὶ αὐτὴν κυκλουμένων τὴν δίνησιν. ἴση δὲ καθ' ἑκάτερον τῶν ταῖς ἐνεργείαις διεστηκότων ἡ ὑπερβολὴ ἐναπειργάσθη τῇ τε στασίμῳ φύσει, καὶ τῇ ἀστάτῳ περιφορᾷ. οὔτε γὰρ ἡ γῆ τῆς ἰδίας βάσεως μετατίθεται, οὔτε ὁ οὐρανός ποτε τὸ σφοδρὸν ἐνδίδωσι, καὶ ὑποχαλᾷ τῆς κινήσεως. ταῦτα δὲ καὶ πρῶτα κατὰ τὴν τοῦ περιηκότος σοφίαν, οἷόν τις ἀρχὴ τοῦ παντὸς μηχανήματος προκατεσκευάσθη τῶν ὄντων. δεικνυῶτος οἶμαι τοῦ μεγάλου μωϋσέως διὰ τοῦ, ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν παρὰ τοῦ θεοῦ γεγενῆσθαι εἰπεῖν, ὅτι κινήσεως τε καὶ στάσεως ἔκγονα τὰ ἐν τῇ κτίσει φαινόμενα πάντα, τὰ κατὰ τὸ θεῖον βούλημα παραχθέντα εἰς γένεσιν. τοῦ τοίνυν οὐρανοῦ, καὶ τῆς γῆς ἐκ διαμέτρου πρὸς ἄλληλα κατὰ τὸ ἐναντίον τῆς ἐνεργείας διεστηκότων, ἡ μεταξὺ τῶν ἐναντίων κτίσις ἐν μέρει τῶν παρακειμένων μετέχουσα, δι' ἑαυτῆς μεσιτεύει τοῖς ἄκροις. ὡς ἂν ἐπίδηλον γενέσθαι, τὴν πρὸς ἄλληλα τῶν ἐναντίων διὰ τοῦ μέσου συνάφειαν. τὸ γὰρ ἀεικίνητον, καὶ λεπτὸν τῆς πυρώδους οὐσίας μιμεῖται μέν πως ὁ ἀὴρ, ἔν τε τῷ κούφῳ τῆς φύσεως, καὶ τῷ πρὸς τὴν κίνησιν ἐπιτηδείως ἔχειν. οὐ μὴν τοιοῦτος ἐστὶν, οἷός τις πρὸς τὰ πάγια συγγενείας

ἀλλοτρι

ἀλλοτριοῦσθαι. οὔτε ἀεὶ μένων ἀκίνητος, οὔτε διὰ παντὸς ῥέων καὶ σκεδαννύμενος. ἀλλὰ τῇ πρὸς ἑκάτερον οἰκειότητι οἷόν τι μεθόριον τῆς τῶν ἐνεργειῶν ἐναντιότητος γίνεται, μιγνὺς ἅμα καὶ διαιρῶν ἐν αὐτῷ τὰ διεστῶτα τῇ φύσει. κατὰ τὸν αὐτὸν λόγον, καὶ ἡ ὑγρὰ οὐσία διπλαῖς ποιότησι πρὸς ἑκάτερον τῶν ἐναντίων ἁρμόζεται. τῷ μὲν γὰρ βαρεῖά τε καὶ κατωφερὴς εἶναι, πλὴν πρὸς τὸ γεῶδες τὴν συγγένειαν ἔχει. τῷ δὲ μετέχειν ῥοώδους τινὸς, καὶ πορευτικῆς ἐνεργείας οὐ πάντη τῆς κινουμένης ἠλλοτρίωται φύσεως. ἀλλά τις ἐστὶ καὶ διὰ τούτου μίξις τῶν ἐναντίων, καὶ σύνοδος, τῆς τε βαρύτητος εἰς κίνησιν μετατεθείσης, καὶ τῆς κινήσεως ἐν τῷ βάρει μὴ πεδηθείσης. ὥστε συμβαίνειν πρὸς ἄλληλα τὰ κατὰ τὸ ἀκρότατον τῇ φύσει διεστηκότα διὰ τῶν μεσιτευόντων ἀλλήλοις ἑνούμενα. μᾶλλον δὲ κατὰ τὸν ἀκριβῆ λόγον οὐδὲ αὐτὴ τῶν ἀντικειμένων ἡ φύσις ἀμίκτως πάντη πρὸς τὴν ἑτέραν τοῖς ἰδιώμασιν ἔχει, ὡς ἂν οἶμαι πάντα πρὸς ἄλληλα νεύοι τὰ κατὰ τὸν κόσμον φαινόμενα, καὶ συμπνέοι πρὸς ἑαυτὴν ἡ κτίσις ἐν τοῖς τῶν ἀντικειμένων ἰδιώμασιν εὑρισκομένη. τῆς γὰρ κινήσεως οὐ μόνον κατὰ τὴν τοπικὴν μετάστασιν νοουμένης, ἀλλὰ καὶ ἐν τροπῇ καὶ ἀλλοιώσει θεωρουμένης, πάλιν δ' αὖ, τῆς ἀμεταθέτου φύσεως τὴν κατὰ τὸ ἀλλοιοῦσθαι κίνησιν οὐ προσιεμένης, ἐναλλάξασα τὰς ἰδιότητας ἡ τοῦ θεοῦ σοφία,

τῷ μὲν ἀεικινήτῳ τὸ ἄτρεπτον, τῷ δὲ ἀκινήτῳ τὴν τροπὴν ἐνεπρίησε, προμηθείᾳ τινὶ τάχα τὸ τοιοῦτον οἰκονομήσασα, ὡς ἂν μὴ τὸ τῆς φύσεως ἴδιον, ὅπερ ἐστὶ τὸ ἄτρεπτόν τε καὶ ἀμετάθετον, ἐπί τινος τῶν κατὰ τὴν κτίσιν βλεπομένων, θεὸν νομίζεσθαι τὸ κτίσμα ποιήσειεν. οὐ γὰρ ἔτι θεότητος ὑπόληψιν σχοίη, ὅπερ ἂν κινούμενον, ἢ ἀλλοιούμενον τύχῃ. διὰ τοῦτο ἡ μὲν γῆ στάσιμος ἐστὶ καὶ οὐκ ἄτρεπτος, ὁ δὲ οὐρανὸς τοὐναντίον τὸ τρεπτὸν οὐκ ἔχων, οὐδὲ στάσιμον ἔχει. ἵνα τῇ μὲν ἑστώσῃ φύσει τὴν τροπὴν, τῇ δὲ μὴ τρεπομένῃ, τὴν κίνησιν ἡ θεία συμπλέξασα δύναμις, καὶ ἀλλήλαις ἀμφοτέρας τῇ ἐναλλάξει τῶν ἰδιωμάτων προσοικειώσῃ, καὶ τῆς περὶ τὸ θεῖον ὑπολήψεως ἀλλοτριώσῃ. οὐδέτερον γὰρ ἂν τούτων, καθὼς εἴρηται, τῆς θειοτέρας φύσεως νομισθείη, οὔτε τὸ ἄστατον, οὔτε τὸ ἀλλοιούμενον. ἤδη τοίνυν τὰ πάντα πρὸς τὸ ἴδιον ἔφθασε τέλος. συνετελέσθη γὰρ καθώς φησι μωϋσῆς ὅ, τε οὐρανὸς, καὶ ἡ γῆ, καὶ τὰ διὰ μέσου πάντα, καὶ τῷ καταλλήλῳ κάλλει τὰ καθέκαστον διεκοσμήθη. ὁ οὐρανὸς μὲν ταῖς τῶν φωστήρων αὐγαῖς. θάλαττα δὲ, καὶ ἀὴρ τοῖς νηκτοῖς τε, καὶ ἐναερίοις τῶν ζώων. γῆ δὲ ταῖς παντοίαις τῶν φυτῶν τε καὶ βοσκημάτων διαφοραῖς, ἅπερ ἀθρόως ἅπαντα θείῳ βουλήματι δυναμωθεῖσα κατὰ ταυτὸν ἀπεκύησε. καὶ

πλήρης μὲν ἦν τῶν ὡραίων ἡ γῆ, ὁμοῦ τοῖς ἄνθε-
σι τοὺς καρποὺς ἐκβλαστήσασα. πλήρεις δὲ οἱ λει-
μῶνες τῶν ὅσα τοὺς λειμῶνας ἐπέρχεται. πᾶ-
σαί τε ῥαχίαι, καὶ ἀκρώρειαι, καὶ πᾶν ὅσον πλά-
γιόν τε καὶ ὕπτιον. καὶ ὅσον ἐν κοίλοις τῇ νεοθα-
λεῖ πόᾳ, καὶ τῇ ποικίλῃ τῶν δένδρων ὥρᾳ κατε-
στεφάνωτο, ἄρτι μὲν τῆς γῆς ἀνισχόντων, εὐθὺς δὲ
πρὸς τὸ τέλειον κάλλος ἀναδραμόντων. ἐγεγή-
θει δὲ πάντα κατὰ τὸ εἰκός, καὶ διεσκίρτα τὰ τῷ
προστάγματι τοῦ θεοῦ ζωογονηθέντα βοτά.
κατ᾽ ἀγέλας τε καὶ κατὰ γένη ταῖς λόχμαις
ἐνδιαθέοντα. ταῖς δὲ τῶν μουσικῶν ὀρνίθων
ᾠδαῖς ἁπανταχῆ περιηχεῖτο πᾶν, ὅσον κατηρε-
φές τε καὶ σύσκιον. ἥ τε κατὰ θάλατταν ὄψις, ὡς
εἰκός, ἄλλη τοιαύτη τὶς ἦν, ἄρτι πρὸς ἡσυχίαν τε,
καὶ γαλήνην ἐν ταῖς συναγωγαῖς τῶν κοίλων
καθισταμένη, καθ᾽ ἣν ὅρμοι καὶ λιμένες θείᾳ βου-
λήσει ταῖς ἀκταῖς αὐτομάτως ἐγκοιλανθέντες,
προσημέρουν τῇ ἠπείρῳ τὴν θάλατταν. αἵ τε ἠρε-
μαῖαι τῶν κυμάτων κινήσεις τῷ κάλλει τῶν λει-
μώνων ἀνθωραΐζοντο ὑπὸ λεπταῖς, καὶ ἀπήμο-
σιν αὔραις κατ᾽ ἄκραν τὴν ἐπιφάνειαν γλαφυ-
ρῶς ἐπιφρίσσουσαι. καὶ ἅπας ὁ κατὰ τὴν κτί-
σιν πλοῦτος, κατὰ γῆν τε καὶ θάλατταν ἕτοιμος
ἦν, ἀλλ᾽ ὁ μετέχων οὐκ ἦν.

διατί μετὰ τὴν κτίσιν τελευταῖος ὁ ἄνθρωπος.

οὔπω γὰρ τὸ μέγα τοῦτο καὶ τίμιον χρῆμα ὁ ἄνθρωπος τῷ κόσμῳ τῶν ὄντων ἐπεχωρίαζεν, οὐδὲ γὰρ ἦν εἰκὸς τὸν ἄρχοντα πρὸ τῶν ἀρχομένων ἀναφανῆναι, ἀλλὰ τῆς ἀρχῆς πρότερον ἑτοιμασθείσης, ἀκόλουθον ἦν ἀναδειχθῆναι τὸν βασιλεύοντα. ἐπειδὴ τοίνυν οἷόν τινα βασίλειον καταγωγὴν τῷ μέλλοντι βασιλεύειν ὁ τοῦ παντὸς ποιητὴς προηυτρέπισεν, αὕτη δὲ ἦν γῆ τε καὶ νῆσοι, καὶ θάλαττα, καὶ οὐρανὸς ὑπὲρ τούτων ὀρόφου δίκην ἐπικυρτούμενος, πλοῦτος δὲ παντοδαπὸς τοῖς βασιλείοις τούτοις ἐναπετέθη. πλοῦτον δὲ λέγω πᾶσαν τὴν κτίσιν, ὅσον ἐν φυτοῖς καὶ βλαστήμασι, καὶ ὅσον αἰσθητικόν τε καὶ ἔμπνουν, καὶ ἔμψυχον. εἰ δὲ χρὴ καὶ τὰς ὕλας εἰς πλοῦτον καταριθμήσασθαι, ὅσαι διά τινος εὐχροίας τίμιαι τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ἐνομίσθησαν, οἷον χρυσίον τε, καὶ ἀργύριον, καὶ τῶν λίθων δὴ τούτων, ἃς ἀγαπῶσιν οἱ ἄνθρωποι, καὶ τούτων πάντων τὴν ἀφθονίαν καθάπερ τισὶ βασιλικοῖς θησαυροῖς τοῖς τῆς γῆς κόλποις ἐγκατακρύψας, οὕτως ἀναδείκνυσιν ἐν τῷ κόσμῳ τὸν ἄνθρωπον, τῶν ἐν τούτῳ θαυμάτων, τῶν μὲν, θεατὴν ἐσόμενον, τῶν δὲ, κύριον. ὡς διὰ μὲν τῆς ἀπο-

λαύσεως, τὴν σύνεσιν τοῦ χορηγοῦντος ἔχειν. διὰ
δὲ τοῦ κάλλους τε καὶ μεγέθους τῶν ὁρωμένων,
τὴν ἄρρητόν τε καὶ ὑπὲρ λόγον τοῦ πεποιηκότος
δύναμιν ἀνιχνεύειν. διὰ ταῦτα τελευταῖος μετὰ
τὴν κτίσιν εἰσήχθη ὁ ἄνθρωπος. οὐχ ὡς ἀπόβλητος
ἐν ἐσχάτοις ἀπορριφεὶς, ἀλλ᾽ ὡς ἅμα τῇ γενέσει βα
σιλεὺς εἶναι τῶν ὑποχειρίων προσήκων. καὶ ὥς-
περ τις ἀγαθὸς ἑστιάτωρ, οὐ πρὸ τῆς παρασκευῆς
τῶν ἐδωδίμων τὸν ἑστιώμενον εἰσοικίζεται, ἀλλ᾽ εὐ
πρεπῆ τὰ πάντα παρασκευάσας, καὶ φαιδρύ
νας τοῖς καθήκουσι κόσμοις τὸν οἶκον, τὴν κλι-
σίαν, τὴν τράπεζαν, ἐφ᾽ ἑτοίμοις ἤδη τοῖς πρὸς τὴν
τροφὴν ἐπιτηδείοις, ἐφέστιον ποιεῖται τὸν δαιτυ
μόνα, κατὰ τὸν αὐτὸν τρόπον ὁ πλούσιός τε, καὶ
πολυτελὴς τῆς φύσεως ἡμῶν ἑστιάτωρ παντοίοις
κάλλεσι κατακοσμήσας τὴν οἴκησιν, καὶ τὴν μεγά-
λην ταύτην, καὶ παντοδαπῆ πανδαισίαν ἑτοι-
μασάμενος, οὕτως εἰσάγει τὸν ἄνθρωπον, ἔργον αὐ
τῷ δοὺς, οὐ τὴν κτῆσιν τῶν μὴ προσόντων, ἀλλὰ
τὴν ἀπόλαυσιν τῶν παρόντων. καὶ διὰ τοῦτο δι
πλᾶς αὐτῷ τῆς κατασκευῆς τὰς ἀφορμὰς κα-
ταβάλλεται, τῷ γηΐνῳ τὸ θεῖον ἐγκαταμίξας,
ἵνα δι᾽ ἀμφοτέρων συγγενῶς τε, καὶ οἰκείως πρὸς
ἑκατέραν ἀπόλαυσιν ἔχῃ. τοῦ θεοῦ μὲν διὰ τῆς
θειοτέρας φύσεως, τῶν δὲ κατὰ τὴν γῆν ἀγα-
θῶν, διὰ τῆς ὁμογενοῦς αἰσθήσεως ἀπολαύων.

Ὅτι τιμιωτέρα πάσης τῆς φαινομένης κτίσεως ἡ τοῦ ἀνθρώπου φύσις.

Ἄξιον δὲ μηδὲ τοῦτο παρελθεῖν ἀθεώρητον, ὅτι τοῦ τηλικούτου κόσμου καὶ τῶν κατ' αὐτὸν μερῶν στοιχειωδῶς πρὸς τὴν τοῦ παντὸς σύστασιν ὑποβληθέντων, αὐτοσχεδιάζεταί πως ἡ κτίσις ὑπὸ τῆς θείας δυνάμεως ὁμοῦ τῷ προστάγματι ὑφισταμένη. τῆς δὲ τοῦ ἀνθρώπου κατασκευῆς, βουλὴ προηγεῖται καὶ προτυποῦται παρὰ τοῦ τεχνιτεύοντος, διὰ τῆς τοῦ λόγου γραφῆς τὸ ἐσόμενον, καὶ οἷον εἶναι προσήκει, καὶ πρὸς ποῖον ἀρχέτυπον τὴν ὁμοιότητα φέρειν, καὶ ἐπὶ τίνι γενήσεται, καὶ τί ἐνεργήσει γενόμενον, καὶ τίνων ἡγεμονεύσει, πάντα προδιασκοπεῖται ὁ λόγος. ὡς πρεσβυτέραν αὐτὸν τῆς γενέσεως τὴν ἀξίαν λαχεῖν, πρὶν παρελθεῖν εἰς τὸ εἶναι, τὴν τῶν ὄντων ἡγεμονίαν κτησάμενον. εἶπε γάρ φησιν ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς. ὢ τοῦ θαύματος, ἥλιος κατασκευάζεται, καὶ οὐδεμία προηγεῖται βουλὴ, οὐρανὸς ὡσαύτως, ὧν οὐδέν τι τῶν κατὰ τὴν κτίσιν ἴσον ἐστὶ, ῥήματι μόνῳ τὸ τοιοῦ-

τοῦ θαῦμα συνίσταται, οὔτε ὅθεν, οὔτε ὅπως, οὔτε ἄλλό τι τοιοῦτον παρασημηναμένου τοῦ λόγου. οὕτω καὶ τὰ καθ' ἕκαστον πάντα, αἰθὴρ, ἀστέρες, ὁ διὰ μέσου ἀὴρ, θάλαττα, γῆ, ζῶα, φυτὰ, πάντα λόγῳ πρὸς γένεσιν ἄγεται. μόνῃ δὲ τῇ τοῦ ἀνθρώπου κατασκευῇ περιεσκεμμένως πρόσεισιν ὁ τοῦ παντὸς ποιητὴς, ὡς καὶ ὕλην αὐτῷ τῆς συστάσεως προετοιμάσαι, καὶ ἀρχετύπῳ τινὶ κάλλει τὴν μορφὴν ὁμοιῶσαι, καὶ προθέντα τὸν σκοπὸν, οὗ χάριν γενήσεται, κατάλληλον αὐτῷ καὶ οἰκείαν ταῖς ἐνεργείαις δημιουργῆσαι τὴν φύσιν, ἐπιτηδείως πρὸς τὸ προκείμενον ἔχουσαν.

Ὅτι διὰ πάντων ἐπισημαίνει τὴν ἀρχικὴν ἐξουσίαν ἡ τοῦ ἀνθρώπου κατασκευή.

Καθάπερ γὰρ ἐν τῷ βίῳ τούτῳ καταλλήλως τῇ χρείᾳ σχηματίζεται παρὰ τῶν τεχνιτευόντων τὸ ὄργανον, οὕτως οἷόν τι σκεῦος εἰς βασιλείας ἐνέργειαν ἐπιτήδειον τὴν ἡμετέραν φύσιν ὁ ἀριστοτέχνης ἐδημιούργησε. τοῖς τε κατὰ τὴν ψυχὴν προτερήμασι καὶ αὐτῷ τῷ τοῦ σώματος σχήματι τοιοῦτον εἶναι παρασκευάσας, οἷον ἐπιτηδείως πρὸς βασιλείαν ἔχειν. ἡ μὲν γὰρ ψυχὴ τὸ βασιλικόν τε καὶ ἐπηρμένον αὐτόθεν δείκνυσι, πόρρω τῆς ἰδιωτικῆς ταπεινότητος κεχωρισμένον, ἐκ τοῦ ἀδέσποτον αὐτὴν εἶναι καὶ αὐτεξού-

σιον ἰδίοις θελήμασιν αὐτοκρατορικῶς διοικουμένην. τίνος γὰρ ἄλλου ἐστὶν, ἢ οὐχὶ βασιλέως ἐστί; καὶ ἔτι πρὸς τούτοις, τὸ τῆς δυναστευούσης τῶν πάντων φύσεως εἰκόνα γενέσθαι, οὐδὲν ἕτερόν ἐστιν, ἢ εὐθὺς βασιλίδα δημιουργηθῆναι τὴν φύσιν. ὥσπερ γὰρ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν οἱ τὰς εἰκόνας τῶν κρατούντων κατασκευάζοντες, τόν τε χαρακτῆρα τῆς μορφῆς ἀναμάσσονται, καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ συνήθειαν καὶ ἡ εἰκὼν, βασιλεὺς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο, διὰ τῆς πρὸς τὸν βασιλέα τοῦ παντὸς ὁμοιότητος, οἷόν τις ἔμψυχος εἰκὼν ἀνεστάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας, καὶ τοῦ ὀνόματος. οὐ πορφυρίδα περικειμένη, οὐδὲ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐπισημαίνουσα, οὐδέ τι τὸ ἀρχέτυπον ἐν τούτοις ἐστὶν, ἀλλ᾽ ἀντὶ μὲν τῆς ἁλουργίδος τὴν ἀρετὴν ἠμφιεσμένη, ὃ δὴ πάντων βασιλικώτατον ἐσθημάτων ἐστίν. ἀντὶ δὲ τοῦ σκήπτρου, τῇ μακαριότητι τῆς ἀθανασίας ἐρειδομένη, ἀντὶ δὲ τοῦ βασιλικοῦ διαδήματος, τῷ τῆς δικαιοσύνης στεφάνῳ κεκοσμημένη. ὥστε διὰ πάντων ἐν τῷ τῆς βασιλείας ἀξιώματι δείκνυσθαι δι᾽ ἀκριβείας πρὸς τὸ ἀρχέτυπον κάλλος ὁμοιωθεῖσαν.

Ὅτι ὁμοίωμα τῆς θείας βασιλείας ὁ ἄνθρωπος.

Τὸ δὲ θεῖον κάλλος οὐ σχήματί τινι καὶ μορφῆς εὐμοιρίᾳ διά τινος εὐχροίας ἀγλαΐζεται, ἀλλ' ἐν ἀφράστῳ μακαριότητι κατ' ἀρετὴν θεωρεῖται. ὥσπερ τοίνυν τὰς ἀνθρωπίνας μορφὰς διὰ χρωμάτων τινῶν ἐπὶ τοὺς πίνακας οἱ γραφεῖς μεταφέρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους βαφὰς ἀπαλείφοντες τῷ μιμήματι, ὡς ἂν δι' ἀκριβείας τὸ ἀρχέτυπον κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα, οὕτω μοι νόει καὶ τὸν ἡμέτερον πλάστην, οἷόν τισι βαφαῖς τῇ τῶν ἀρετῶν ἐπιβολῇ πρὸς τὸ ἴδιον κάλλος τὴν εἰκόνα περιανθήσαντα, ἐν ἡμῖν δεῖξαι τὴν ἰδίαν ἀρχήν. πολυειδῆ δὲ καὶ ποικίλα τὰ οἱονεὶ χρώματα τῆς εἰκόνος, δι' ὧν ἡ ἀληθινὴ ἀναζωγραφεῖται μορφή. οὐκ ἐρύθημα καὶ λαμπρότης, καὶ ἡ ποιὰ τούτων πρὸς ἄλληλα μίξις, οὐδέ τινος μέλανος ὑπογραφὴ ὀφρῦν τε, καὶ ὀφθαλμοὺς ὑπαλείφουσα, καὶ κατά τινα κρᾶσιν τὰ κοῖλα τοῦ χαρακτῆρος ὑποσκιάζουσα, καὶ ὅσα τοιαῦτα ζωγράφων χεῖρες ἐπετεχνήσαντο, ἀλλ' ἀντὶ τούτων, καθαρότης, ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, καὶ ὅσα τοῦ τοιούτου γένους ἐστί, δι' ὧν μορφοῦται τοῖς ἀνθρώποις ἡ πρὸς τὸ θεῖον ὁμοίω

σις. τοιούτοις ἄνθεσιν ὁ δημιουργὸς τῆς ἰδίας
εἰκόνος τὴν ἡμετέραν διεχάραξε φύσιν. εἰ δὲ καὶ
τὰ ἄλλα συνεξετάζοις, δι' ὧν τὸ θεῖον κάλλος χα-
ρακτηρίζεται, εὑρήσεις καὶ πρὸς ἐκεῖνα δι' ἀ-
κριβείας σωζομένην ἐν τῇ καθ' ἡμᾶς εἰκόνι τὴν
ὁμοιότητα. νοῦς καὶ λόγος, ἡ θειότης ἐστίν, ἐν ἀρ-
χῇ τε γὰρ ἦν ὁ λόγος. καὶ οἱ κατὰ παῦλον νοῦν
χριστοῦ ἔχουσι τὸν ἐν αὐτοῖς λαλοῦντα. οὐ πόρ-
ρω τούτων καὶ τὸ ἀνθρώπινον. ὁρᾷς ἐν σεαυτῷ
καὶ τὸν λόγον, καὶ τὴν διάνοιαν μίμημα τοῦ ὄν-
τως νοῦ τε καὶ λόγου. ἀγάπη πάλιν ὁ θεὸς, καὶ
ἀγάπης πηγή. τοῦτο γάρ φησιν ἰωάννης ὁ μέγας,
ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ, καὶ ὁ θεὸς ἀγάπη ἐστί.
τοῦτο καὶ ἡμέτερον πεποίηται πρόσωπον ὁ τῆς
φύσεως πλάστης. ἐν τούτῳ γάρ φησι γνώσονται
πάντες ὅτι μαθηταί μου ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλ-
λήλους. οὐκοῦν μὴ παρούσης ταύτης, ἅπας ὁ
χαρακτὴρ τῆς εἰκόνος μεταπεποίηται. πάντα
ἐπιβλέπει, καὶ πάντα ἐπακούει τὸ θεῖον, καὶ
πάντα διερευνᾶται. ἔχεις καὶ σὺ τὴν δι' ὄψεως
καὶ ἀκοῆς τῶν ὄντων ἀντίληψιν, καὶ τὴν ζητη-
τικήν τε καὶ διερευνητικὴν τῶν ὄντων διάνοιαν.

Ἐξέτασις τῆς τοῦ νοῦ πρὸς τὴν φύσιν συγγενείας,
ἐν ᾧ καὶ ἐκ παρόδου τὸ τῶν ἀνομοίων
διελέγχεται δόγμα.

καὶ με

Καί με μηδεὶς οἰέσθω κατὰ ὁμοιότητα τῆς ἀνθρωπίνης ἐνεργείας ἐν διαφόροις δυνάμεσι, τὸ θεῖον λέγειν τῶν ὄντων ἐφάπτεσθαι. οὐ γὰρ ἐστὶ δυνατὸν ἐν τῇ ἁπλότητι τῆς θεότητος τὸ ποικίλον τε, καὶ πολυειδὲς τῆς ἀντιληπτικῆς ἐνεργείας κατανοῆσαι. οὐδὲ γὰρ ἡμῖν πολλαί τινές εἰσιν αἱ ἀντιληπτικαὶ τῶν πραγμάτων δυνάμεις, εἰ καὶ πολυτρόπως διὰ τῶν αἰσθήσεων τῶν κατὰ ζωὴν ἐφαπτόμεθα. μία γάρ τις ἐστὶ δύναμις, αὐτὸς ὁ ἐγκείμενος νοῦς, ὁ δι' ἑκάστου τῶν αἰσθητηρίων διεξιὼν, καὶ τῶν ὄντων ἐπιδρασσόμενος. οὗτος θεωρεῖ διὰ τῶν ὀφθαλμῶν, τὸ φαινόμενον, οὗτος συνίει διὰ τῆς ἀκοῆς, τὸ λεγόμενον, ἀγαπᾶ τε τὸ καταθύμιον, καὶ τὸ μὴ καθ' ἡδονὴν ἀποστρέφεται, καὶ τῇ χειρὶ χρῆται πρὸς ὅ τι βούλεται, κρατῶν δὲ δι' αὐτῆς, καὶ ἀπωθούμενος, ἅπερ ἂν λυσιτελεῖν κρίνῃ, τῇ τοῦ ὀργάνου συνεργίᾳ εἰς τοῦτο συγχρώμενος. εἰ γὰρ ἐν τῷ ἀνθρώπῳ κἂν διάφορα τύχοι τὰ πρὸς αἴσθησιν κατεσκευασμένα παρὰ τῆς φύσεως ὄργανα, ὁ διὰ πάντων ἐνεργῶν καὶ κινούμενος, καὶ καταλλήλως ἑκάστῳ πρὸς τὸ προκείμενον κεχρημένος, εἷς ἐστι, καὶ ὁ αὐτὸς, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάσσων τὴν φύσιν, πῶς ἄν τις ἐπὶ τοῦ θεοῦ διὰ τῶν ποικίλων δυνάμεων τὸ πολυμερὲς τῆς οὐσίας κατοπτεύσειεν;

ὁ γὰρ πλάσας τὸν ὀφθαλμὸν, καθώς φησιν ὁ προφήτης, καὶ ὁ φυτεύσας τὸ οὖς πρὸς τὰ ἐν αὐτῷ παραδείγματα, τὰς ἐνεργείας ταύτας, οἷον τινὰς γνωριστικοὺς χαρακτῆρας τῇ φύσει τῶν ἀνθρώπων ἐνεσημήνατο. ποιήσωμεν γάρ φησιν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. ἀλλὰ ποῦ μοι τῶν ἀνομοίων ἡ αἵρεσις; τί πρὸς τὴν τοιαύτην ἐροῦσι φωνήν; πῶς διασώσουσιν ἐν τοῖς εἰρημένοις, τοῦ δόγματος αὐτῶν τὴν κενότητα; ἆρα δυνατὸν εἶναι φήσουσι, μίαν εἰκόνα διαφόροις ὁμοιωθῆναι μορφαῖς; εἰ ἀνόμοιος κατὰ τὴν φύσιν τῷ πατρὶ ὁ υἱὸς, πῶς μίαν κατασκευάζει τῶν διαφόρων φύσεων τὴν εἰκόνα; ὁ γὰρ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, εἰπὼν, καὶ διὰ τῆς πληθυντικῆς σημασίας τὴν ἁγίαν τριάδα δηλώσας, οὐκ ἂν τῆς εἰκόνος μοναδικῶς ἐπεμνήσθη, εἴπερ ἀνομοίως ἔχοι πρὸς ἄλληλα τὰ ἀρχέτυπα. οὐ γὰρ ἦν δυνατὸν τῶν ἀλλήλοις μὴ συμβαινόντων εἰς ἓν ἀναδειχθῆναι ὁμοίωμα. ἀλλ' εἰ διάφοροι ἦσαν αἱ φύσεις, διαφόρους πάντως καὶ τὰς εἰκόνας αὐτῶν ἐνεστήσατο, τὴν κατάλληλον ἑκάστῃ δημιουργήσας. ἀλλ' ἐπειδὴ μία μὲν ἡ εἰκὼν, οὐχ ἓν δὲ τὸ τῆς εἰκόνος ἀρχέτυπον, τίς οὕτως ἔξω διανοίας ἐστὶν, ὡς ἀγνοεῖν, ὅτι τὰ τῷ ἑνὶ ὁμοιούμενα, καὶ πρὸς ἄλληλα πάντως ὁμοίως ἔχει; διὰ τοῦτό φησι, τάχα τὴν κακίαν ταύτην ἐν τῇ κα-

τασκευῇ τῆς ἀνθρωπίνης ζωῆς ὁ λόγος ὑποτε-
μνόμενος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ
ὁμοίωσιν ἡμετέραν.

Διατί γυμνὸς τῶν ἐκ φύσεως ὅπλων τε καὶ περικαλυμμάτων ὁ ἄνθρωπος.

Ἀλλὰ τί βούλεται τὸ τοῦ σχήματος ὄρθιον; τί δὲ οὐχὶ συμφυεῖς εἰσιν αἱ πρὸς τὸν βίον δυνάμεις τῷ σώματι; ἀλλὰ γυμνὸς μὲν τῶν φυσικῶν σκεπασμάτων, ἄνοπλος δέ τις καὶ πένης ὁ ἄνθρωπος, καὶ τῶν πρὸς τὴν χρείαν ἐνδεὴς ἁπάντων εὐθὺ τὸν βίον παράγεται, ἐλεεῖσθαι μᾶλλον, ἢ μακαρίζεσθαι κατὰ τὸ φαινόμενον ἄξιος. οὐ προβολαῖς κεράτων καθωπλισμένος, οὐκ ὀνύχων ἀκμαῖς, οὐχ ὁπλαῖς, ἢ ὀδοῦσιν, ἢ τινι κέντρῳ θανατηφόρον ἰὸν ἐκ φύσεως ἔχοντι, οἷα δὴ τὰ πολλὰ τῶν ζώων ἐν ἑαυτοῖς πρὸς τὴν τῶν λυπούντων ἄμυναν κέκτηται. οὐ τῇ τῶν τριχῶν περιβολῇ τὸ σῶμα καλύπτεται, καίτοι γε ἴσως τὸν εἰς ἀρχὴν τῶν ἄλλων προτεταγμένον οἰκείοις ὅπλοις ἔδει περιπεφράχθαι παρὰ τῆς φύσεως, ὡς ἂν μὴ τῆς παρ' ἑτέρων ἐπικουρείας πρὸς τὴν ἰδίαν ἀσφάλειαν δέοιτο. νυνὶ δὲ λέων μὲν, καὶ σῦς, καὶ τίγρις, καὶ πάρδαλις, καὶ εἴ τι τοιοῦτον ἕτερον, ἀρκοῦσαν ἔχει πρὸς σωτη-

είαν τὴν ἐκ φύσεως δύναμιν καὶ τῷ ταύρῳ μὲν τὸ κέρας, καὶ τῷ λαγωῷ τὸ τάχος, καὶ τῇ δορκάδι τὸ πήδημα, καὶ τὸ κατ᾽ ὀφθαλμὸν ἀσφαλὲς, καὶ ἄλλῳ τινὶ ζώῳ τὸ μέγεθος, καὶ ἑτέροις ἡ προνομαία, καὶ τοῖς πετεινοῖς τὸ πτερὸν, καὶ τῇ μελίσσῃ τὸ κέντρον, καὶ πᾶσι πάντως ἕν τι εἰς σωτηρίαν παρὰ τῆς φύσεως ἐμπέφυκε. μόνος δὲ πάντων ὁ ἄνθρωπος τῶν μὲν ταχυδρομούντων ἀργότερος, τῶν δὲ πολυσαρκούντων βραχύτερος, τῶν δὲ τοῖς συμφύτοις ὅπλοις ἠσφαλισμένων εὐαλωτότερος. καὶ πῶς, εἴποι τις, ὁ τοιοῦτος τὴν ἀρχὴν τὴν κατὰ πάντων κεκλήρωται; ἀλλ᾽ οὐδὲν οἶμαι χαλεπὸν δεῖξαι, ὅτι τὸ δοκοῦν ἐπιδεὲς τῆς φύσεως ἡμῶν, ἀφορμὴ πρὸς τὸ κρατεῖν τῶν ὑποχειρίων ἐστίν. εἰ γὰρ οὕτω δυνάμεως εἶχεν ὁ ἄνθρωπος, ὡς τῇ μὲν ὠκύτητι παρατρέχειν τὸν ἵππον, ἄτειπτον δὲ τὸν ἀπὸ στερρότητος ἔχειν τὸν πόδα, ὁπλαῖς τισιν ἢ χηλαῖς ἐρειδόμενον, κέρατα δὲ καὶ κέντρα, καὶ ὄνυχας ἐν ἑαυτῷ φέρειν, πρῶτον μὲν θηριώδης τις ἂν ἦν καὶ δυσάντητος, τοιούτων αὐτοῦ τῷ σώματι συμπεφυκότων. ἔπειτα δὲ παρεῖδεν ἂν τὴν κατὰ τῶν ἄλλων ἀρχὴν, οὐδὲν τῆς συνεργίας τῶν ὑποχειρίων δεόμενος. νυνὶ δὲ τούτου χάριν ἐφ᾽ ἕκαστον τῶν ὑπεζευγμένων ἡμῖν αἱ τοῦ βίου χρεῖαι καταμερί-

θηρίων, ὡς ἀναγκαίαν ποιεῖν τὴν κατ᾿ ἐκείνων ἀρχήν, τὸ μὲν βραδὺ τοῦ σώματος δυσκίνητον, τὸν ἵππον τῇ χρείᾳ προσήγαγέ τε, καὶ ἐδαμάσατο. ἡ δὲ τῆς σαρκὸς γυμνότης, ἀναγκαίαν τὴν τῶν προβάτων ἐπιστασίαν ἐποίησεν, ἐκ τῆς ἐτησίου τῶν ἐρίων φορᾶς τῆς ἡμετέρας φύσεως ἀναπληροῦσαν τὸ λεῖπον. τὸ δὲ τὰς ἀφορμὰς ἡμῖν, τὰς πρὸς τὸν βίον καὶ ἐξ ἑτέρων εἰσάγεσθαι, τὰ ἀχθοφόρα τῶν ζώων ταῖς τοιαύταις ὑπηρεσίαις ὑπέζευξεν. ἀλλὰ μὴν, τὸ μὴ δύνασθαι καθ᾿ ὁμοιότητα τῶν βοσκημάτων ποηφαγεῖν, ὑποχείριον τῷ βίῳ τὸν βοῦν ἀπειργάσατο, τοῖς ἰδίοις πόνοις τὴν ζωὴν ἡμῖν εὐμαρείζοντα. ἐπεὶ δὲ καὶ ὀδόντων, καὶ δήγματος ἦν χρεία πρὸς τὸ καταγωνίζεσθαί τινα τῶν ἄλλων ζώων, διὰ τῆς τῶν ὀδόντων βλάβης, παρέχων ὁ κύων μετὰ τοῦ τάχους τὴν ἰδίαν γένυν τῇ ἡμετέρᾳ χρείᾳ, οἷόν τις ἔμψυχος μάχαιρα τῷ ἀνθρώπῳ γινόμενος. κεράτων δὲ προβολῆς, καὶ ὀνύχων ἀκμῆς, ἰσχυρότερός τε καὶ τομώτερος ἐπινενόηται τοῖς ἀνθρώποις ὁ σίδηρος, οὐκ ἀεὶ συμπεφυκὼς ἡμῖν, ὥσπερ τοῖς θηρίοις ἐκεῖνα, ἀλλ᾿ ἐπὶ καιροῦ συμμαχήσας, τὸ λοιπὸν ἐφ᾿ ἑαυτοῦ μένει. καὶ ἀντὶ τῆς κροκοδείλου φολίδος, ἔστι μὲν καὶ αὐτὸν ἐκεῖνον ὅπλον ποιήσασθαι, κατὰ καιρὸν τὴν δορὰν περιθέμενον.

εἰ δὲ μή, σχηματίζεται καὶ πρὸς ξίφος παρὰ τῆς τέχνης ὁ σίδηρος, ὃς αὐθὶ καιροῦ πρὸς τὸν πόλεμον ὑπηρετήσας, πάλιν ἐλεύθερον τοῦ ἄχθους ἐπ' εἰρήνης τὸν ὁπλίτην κατέλιπεν. ὑπηρετεῖ δὲ τῷ βίῳ καὶ τὸ πτερὸν τῶν ὀρνέων, ὡς μηδὲ τοῦ πτηνοῦ τάχους διὰ τῆς ἐπινοίας ἡμᾶς ἀπολείπεσθαι. τὰ μὲν γὰρ ἐξ αὐτῶν τιθασσὰ γίνεται, καὶ συναγρεύει τοῖς θηρεύουσι, τὰ δὲ δι' ἐκείνων ταῖς χρείαις ἡμῶν διὰ τῆς ἐπινοίας ὑπάγεται. ἀλλὰ καὶ πτερόεντας ἡμῖν τοὺς οἰστοὺς ἡ τέχνη διὰ τῆς ἐπινοίας ποιησαμένη, τὸ πτηνὸν τάχος ταῖς ἡμετέραις χρείαις διὰ τοῦ τόξου χαρίζεται. τὸ δὲ εὐπαθεῖς καὶ εὐπετεῖς ἡμῖν πρὸς τὴν πορείαν εἶναι τὰς βάσεις, ἀναγκαίαν ποιεῖ τὴν ἐκ τῶν ὑποχειρίων συνεργίαν. ἐκεῖθεν γάρ ἐστι τοῖς ποσὶ περιαρμόσαι τὰ πέδιλα.

Διατί ὄρθιον τοῦ ἀνθρώπου τὸ σχῆμα, καὶ ὅτι διὰ τὸν λόγον αἱ χεῖρες, ἐν ᾧ τις καὶ περὶ διαφορᾶς ψυχῶν φιλοσοφία.

Ὄρθιον δὲ τῷ ἀνθρώπῳ τὸ σχῆμα, καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνεται, καὶ ἄνω βλέπει, ἀρχικὰ καὶ ταῦτα, καὶ τὴν βασιλικὴν ἀξίαν ἐπισημαίνοντα. τὸ γὰρ μόνον ἐν τοῖς οὖσι τοιοῦτον εἶναι

τὸν ἄνθρωπον, τοῖς δὲ ἄλλοις ἅπασι πρὸς τὸ κάτω νενευκέναι τὰ σώματα, σαφῶς δείκνυσι τὴν τῆς ἀξίας διαφορὰν, τῶν τε ὑποκυπτόντων τῇ δυναστείᾳ, καὶ τῆς ὑπερανεστώσης αὐτῶν ἐξουσίας. τοῖς μὲν γὰρ ἄλλοις ἅπασι τὰ ἔμπροσθεν κῶλα τοῦ σώματος πόδες εἰσὶ, διότι τὸ κεκυφὸς ἐδεῖτο πάντως τοῦ ὑπερείδοντος. ἐπὶ δὲ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, χεῖρες καὶ τὰ κῶλα ἐγένοντο. τοῦ γὰρ ὀρθίου σχήματος αὐτάρκης ἦν πρὸς τὴν χρείαν μία βάσις διπλοῖς ποσὶν ἐν ἀσφαλείᾳ τὴν στάσιν ἐρείδουσα. ἄλλως δὲ καὶ τῇ τοῦ λόγου χρείᾳ συνεργός ἐστιν ἡ τῶν χειρῶν ὑπουργία. καί τις ἴδιον τῆς λογικῆς φύσεως τὴν τῶν χειρῶν ὑπηρεσίαν εἰπὼν, οὐ τοῦ παντὸς ἁμαρτήσεται. οὐ μόνον πρὸς τὸ κοινὸν τοῦτο, καὶ πρόχειρον ἀποβλέπων τῇ διανοίᾳ, ὅτι γράμμασι τὸν λόγον διὰ τῆς τῶν χειρῶν εὐφυΐας ἐνσημαινόμεθα, ἔστι μὲν γὰρ οὐδὲ τοῦτο λογικῆς χάριτος ἄμοιρον, τὸ φθέγγεσθαι διὰ γραμμάτων ἡμᾶς, καὶ τρόπον τινὰ διὰ χειρὸς διαλέγεσθαι, τοῖς τῶν στοιχείων χαρακτῆρσι τὰς φωνὰς διασώζοντας, ἀλλ᾽ ἐγὼ πρὸς ἕτερον βλέπων, συνεργεῖν φημι τὰς χεῖρας τῇ ἐκφωνήσει τοῦ λόγου. μᾶλλον δὲ πρὶν περὶ τούτου διεξετάσαι, τὸν παρεθέντα λόγον κατανοήσωμεν. μικροῦ γὰρ ἡμᾶς τὸ κατὰ τὴν τάξιν τῶν γεγονότων διέλαθεν. τίνος χά-

ειν προηγεῖται μὲν ἡ βλάστη τῶν ἐκ τῆς γῆς φυομένων, ἐπιγίνεται δὲ τὰ ἄλογα τῶν ζώων, καὶ οὕτω μετὰ τὴν κατασκευὴν τούτων ὁ ἄνθρωπος. τάχα γὰρ οὐ μόνον τὸ ἐκ τοῦ προχείρου νοούμενον διὰ τούτου μανθάνομεν, ὅτι τῶν ζώων ἕνεκεν ἡ πόα χρήσιμος ἐφάνη τῷ κτίσαντι. διὰ δὲ τὸν ἄνθρωπον τὰ βοτά, οὗ χάριν πρὸ μὲν τῶν βοσκημάτων, ἡ ἐκείνων τροφή. πρὸ δὲ τοῦ ἀνθρώπου, τὸ ὑπηρετεῖν μέλλον τῇ ἀνθρωπίνῃ ζωῇ. ἀλλ' ἐμοὶ δοκεῖ δόγμα τι τῶν κεκρυμμένων παραδηλοῦν διὰ τούτων ὁ μωϋσῆς, καὶ τὴν περὶ ψυχῆς φιλοσοφίαν δι' ἀπορρήτων παραδιδόναι, ἣν ἐφαντάσθη μὲν καὶ ἡ ἔξωθεν παίδευσις, οὐ μὴν τηλαυγῶς κατενόησε. διδάσκει γὰρ ἡμᾶς διὰ τούτων ὁ λόγος, ἐν τρισὶ διαφοραῖς τὴν ζωτικὴν, καὶ ψυχικὴν δύναμιν θεωρεῖσθαι. ἡ μὲν γάρ τίς ἐστιν αὐξητική τε μόνον, καὶ θρεπτικὴ τὸ κατάλληλον εἰς προσθήκην τῶν τρεφομένων προσάγουσα, ἣ φυσικὴ λέγεται, καὶ περὶ τὰ φυτὰ θεωρεῖται, ἔστι γὰρ καὶ ἐν τοῖς φυομένοις ζωτικήν τινα δύναμιν αἰσθήσεως ἄμοιρον κατανοῆσαι. ἕτερον δὲ παρὰ τοῦτο ζωῆς εἶδος ἐστὶν ὃ καὶ τοῦτο ἔχει, καὶ τὸ κατ' αἴσθησιν οἰκονομῆσαι προσείληφεν, ὅπερ ἐν τῇ φύσει τῶν ἀλόγων ἐστίν. οὐ γὰρ μόνον τρέφεται καὶ αὔξεται, ἀλλὰ καὶ τὴν αἰσθητικὴν ἐνέργειάν τε, καὶ ἀντίληψιν ἔχει. ἡ δὲ τελεία

ἐν σώματι ζωή, ἐν τῇ λογικῇ τῇ ἀνθρωπίνῃ λέγω καθορᾶται φύσει καὶ τρεφομένῃ, καὶ αἰσθανομένῃ, καὶ λόγου μετεχούσῃ, καὶ νῷ διοικουμένῃ. γένοιτο δ' ἂν ἡ μὲν τοιαύτη τις ἡ τοῦ λόγου διαίρεσις. τῶν ὄντων, τὸ μέν τι νοητόν, τὸ δὲ σωματικὸν πάντως ἐστίν. ἀλλὰ τοῦ μὲν νοητοῦ παρείσθω νῦν ἡ πρὸς τὰ οἰκεῖα τομή, οὐ γὰρ περὶ τούτων ὁ λόγος. τοῦ δὲ σωματικοῦ, τὸ μὲν ἄμοιρον καθόλου ζωῆς, τὸ δὲ μετέχει ζωτικῆς ἐνεργείας. πάλιν τοῦ ζωτικοῦ σώματος, τὸ μὲν αἰσθήσει συζῇ, τὸ δὲ ἀμοιρεῖ τῆς αἰσθήσεως. εἶτα τὸ αἰσθητικὸν τέμνεται πάλιν εἰς λογικόν τε καὶ ἄλογον. διὰ τοῦτο πρῶτον μετὰ τὴν ἄψυχον ὕλην οἷον ὑποβάθραν τινὰ τῆς τῶν ἐμψύχων ἰδέας τὴν φυσικὴν ταύτην ζωὴν συστῆναι λέγει ὁ νομοθέτης ἐν τῇ τῶν φυτῶν βλαστῇ προϋποστᾶσαν. εἶθ' οὕτως ἐπάγει τῶν κατ' αἴσθησιν διοικουμένων τὴν γένεσιν. καὶ ἐπειδὴ κατὰ τὴν αὐτὴν ἀκολουθίαν τῶν διὰ σαρκὸς τὴν ζωὴν εἰληχότων τὰ μὲν αἰσθητικὰ, καὶ δίχα τῆς νοερᾶς φύσεως ἐφ' ἑαυτῶν εἶναι δύναται, τὸ δὲ λογικὸν, οὐκ ἂν ἑτέρως γένοιτο ἐν σώματι, εἰ μὴ τῷ αἰσθητῷ συγκραθείη, διὰ τοῦτο τελευταῖος μετὰ τὰ βλαστήματα καὶ τὰ βοτὰ κατεσκευάσθη ὁ ἄνθρωπος, ὁδῷ τινι πρὸς τὸ τέλειον ἀκολούθως προϊούσης τῆς φύσεως. διὰ πάσης γὰρ ἰδέας τῶν ψυχῶν κατακιρνᾶται τὸ λογικὸν τοῦτο ζῶον ὁ

ἄνθρωπος. τρέφεται μὲν γὰρ κατὰ τὸ φυσικὸν τῆς ψυχῆς εἶδος. τῇ δὲ αὐξητικῇ δυνάμει, ἡ αἰσθητικὴ προσεφύη, μέσως ἔχουσα κατὰ τὴν ἰδίαν φύσιν τῆς τε νοερᾶς, καὶ τῆς ὑλωδεστέρας οὐσίας, τοσούτῳ παχυμερεστέρα ταύτης, ὅσῳ καθαρωτέρα ἐκείνης. εἶτά τις γίνεται πρὸς τὸ λεπτὸν, καὶ φωτοειδὲς τῆς αἰσθητικῆς φύσεως ἡ τῆς νοερᾶς οὐσίας οἰκείωσίς τε καὶ ἀνάκρασις. ὡς ἐν τρισὶ τούτοις τὸν ἄνθρωπον τὴν σύστασιν ἔχειν. καθὼς καὶ παρὰ τοῦ ἀποστόλου τὸ τοιοῦτον ἐμάθομεν, ἐν οἷς πρὸς τοὺς ἐφεσίους ἔφη, προσευχόμενος αὐτοῖς, τὴν ὁλοτελῆ χάριν τοῦ σώματος, καὶ τῆς ψυχῆς, καὶ τοῦ πνεύματος ἐν τῇ παρουσίᾳ τοῦ κυρίου φυλαχθῆναι. ἀντὶ τοῦ θρεπτικοῦ μέρους τὸ σῶμα λέγων. τὸ δὲ αἰσθητικὸν, τῇ ψυχῇ διασημαίνων. τὸ νοερὸν δὲ, τῷ πνεύματι. ὡσαύτως καὶ τὸν γραμματέα διὰ τοῦ εὐαγγελίου παιδεύει ὁ κύριος, πάσης ἐντολῆς προτιθέναι, τὴν εἰς θεὸν ἀγάπην, τὴν ἐξ ὅλης καρδίας καὶ ψυχῆς, καὶ διανοίας ἐνεργουμένην. καὶ γὰρ ἐνταῦθα τὴν αὐτὴν δοκεῖ μοι διαφορὰν ἑρμηνεύειν ὁ λόγος. τὴν μὲν σωματικωτέραν κατάστασιν, καρδίαν εἰπών. ψυχὴν δὲ, τὴν μέσην. διάνοιαν δὲ, τὴν ὑψηλοτέραν φύσιν, τὴν νοεράν τε καὶ ἐρευνητικὴν δύναμιν. ὅθεν καὶ τρεῖς διαφορὰς προαιρέσεως ὁ ἀπόστολος οἶδε. τὴν μὲν σαρκικὴν κα-

τονομάζων, ἢ περὶ γαστέρα, καὶ τὰς περὶ ταύ-
την ἡδυπαθείας ἠσχόληται. τὴν δὲ ψυχικὴν,
ἣ μέσως πρὸς ἀρετὴν καὶ κακίαν ἔχει, τῆς μὲν
ὑπερανεστῶσα, τῆς δὲ, καθαρῶς οὐ μετέχουσα.
τὴν δὲ πνευματικὴν, ἣ τὸ τέλειον ἐν θεωρεῖ τῆς
κατὰ θεὸν πολιτείας. διό φησι πρὸς κοριν-
θίους, τὸ ἀπολαυστικὸν αὐτῶν καὶ ἐμπαθὲς ὀ-
νειδίζων, ὅτι σάρκινοι ἐστὲ, καὶ τῶν τελειοτέ-
ρων δογμάτων ἀχώρητοι. ἑτέρωθι δὲ σύγκρι-
σίν τινα τοῦ μέσου πρὸς τὸ τέλειον ποιούμενος, λέ-
γει. ψυχικὸς δὲ ἄνθρωπος, οὐ δέχεται τὰ τοῦ πνεύ
ματος, μωρία γὰρ αὐτῷ ἐστιν. ὁ δὲ πνευματικὸς,
ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνα-
κρίνεται. ὡς οὖν ἀναβέβηκεν ὁ ψυχικὸς τὸ σαρ
κικὸν, κατὰ τὴν αὐτὴν ἀναλογίαν, καὶ ὁ πνευμα
τικὸς τούτου ὑπερανέστηκεν. ὃ οὖν τελευταῖον
μετὰ πᾶν ἔμψυχον ἡ γραφὴ γεγενῆσθαι λέγει τὸν
ἄνθρωπον, οὐδὲν ἕτερον, ἢ φιλοσοφεῖ τὰ περὶ ψυ
χῆς ἡμῖν ὁ νομοθέτης, ἐπεὶ ἀναγκαίᾳ τινὶ τῇ τά
ξεως ἀκολουθίᾳ τὸ τέλειον ἐν τελευταίοις βλέ-
πων. ἐν μὲν γὰρ τῷ λογικῷ καὶ τὰ λοιπὰ πε-
ριείληπται, ἐν δὲ τῷ αἰσθητικῷ, καὶ τὸ φυσικὸν
εἶδος πάντως ἐστίν. ἐκεῖνο δὲ περὶ τὸ ὑλικὸν
θεωρεῖται μόνον. οὐκοῦν εἰκότως καθάπερ διὰ
βαθμῶν ἡ φύσις, τῶν τῆς ζωῆς λέγω ἰδιωμά-
των, ἀπὸ τῶν μικροτέρων ἐπὶ τὸ τέλειον ποιεῖ

ται τὴν ἄνοδον. ἐπειδὴ τοίνυν λογικόν τι ζῷόν ἐστιν ὁ ἄνθρωπος, κατάλληλον ἔδει τῇ χρείᾳ τοῦ λόγου κατασκευασθῆναι τὸ τοῦ σώματος ὄργανον. καθάπερ τοὺς μουσικοὺς ἔστιν ἰδεῖν πρὸς τὸ τῶν ὀργάνων εἶδος τὴν μουσικὴν ἐκπονοῦντας, καὶ οὔτε διὰ βαρβίτων αὐλοῦντας, οὔτε ἐν αὐλοῖς κιθαρίζοντας. κατὰ τὸν αὐτὸν τρόπον ἔδει τῷ λόγῳ κατάλληλον εἶναι τὴν τῶν ὀργάνων κατασκευὴν, ὡς ἂν προσφυῶς ἀπηχοίη πρὸς τὴν τῶν ῥημάτων χρείαν ὑπὸ τῶν φωνητικῶν μορίων τυπούμενος. διὰ τοῦτο συνηρτήθησαν αἱ χεῖρες τῷ σώματι. εἰ γὰρ καὶ μυρίας ἐστὶν ἀπαριθμήσασθαι τὰς κατὰ τὸν βίον χρείας, πρὸς ἃς τὰ εὐμήχανα ταῦτα καὶ πολυαρκῆ τῶν χειρῶν ὄργανα χρησίμως ἔχει πρὸς πᾶσαν τέχνην, καὶ πᾶσαν ἐνέργειαν, τήν τε κατὰ πόλεμόν τε καὶ εἰρήνην εὐαφῶς μετιόντα, ἀλλὰ καὶ πρὸ τῶν ἄλλων διαφερόντως, τοῦ λόγου χάριν προσέθηκεν αὐτὰς ἡ φύσις τῷ σώματι. εἰ γὰρ ἄμοιρος τῶν χειρῶν ὁ ἄνθρωπος ἦν, πάντως ἂν αὐτῷ καθ' ὁμοιότητα τῶν τετραπόδων καταλλήλως τῇ τῆς τροφῆς χρείᾳ, διεσκεύαστο τοῦ προσώπου τὰ μόρια. ὥστε προμήκη τε τὴν μορφὴν εἶναι, καὶ ὑπὲρ μυκτῆρας ἀπολεπτύνεσθαι, καὶ προβεβλῆσθαι τὰ χείλη τοῦ στόματος τυλώδη καὶ σαθρὰ, καὶ παχέα πρὸς τὴν ἀναίρεσιν τῆς πόας ἐπιτηδείως

ἔχοντα. ἐγκεῖσθαι δὲ τοῖς ὀδοῦσι τὴν γλῶσσαν ἄλλην τινὰ τοιαύτην, πολύσαρκον, καὶ ἀντιτυπῆ καὶ τραχεῖαν, καὶ συγκατεργαζομένην τοῖς ὀδοῦσι τὸ ὑπὸ τὸν ὀδόντα γινόμενον, ἢ ὑγράν τε καὶ διακεχυμένην κατὰ τὰ πλάγια, οἷα ἡ τῶν κυνῶν τε καὶ τῶν λοιπῶν τῶν ὠμοβόρων ἐστὶ, τῷ καρχάρῳ τῶν ὀδόντων μεταξὺ τῶν διαστημάτων ἐνδιαῤῥέουσα. εἰ οὖν μὴ παρῆσαν αἱ χεῖρες τῷ σώματι, πῶς ἂν ἔναρθρος τούτῳ ἐνετυπώθη φωνὴ, τῆς κατασκευῆς τῶν κατὰ τὸ στόμα μορίων οὐ συνδιασχηματιζομένης πρὸς τὴν χρείαν τοῦ φθόγγου; ὡς ἐπάναγκες εἶναι, ἢ βληχᾶσθαι πάντως, ἢ μηκάζειν, ἢ ὑλακτεῖν, ἢ χρεμετίζειν τὸν ἄνθρωπον, ἢ βουσὶν, ἢ ὄνοις βοᾶν παραπλήσιον, ἢ τινα θηριώδη μυκηθμὸν ἀφιέναι. νυνὶ δὲ τῆς χειρὸς ἐντεθείσης τῷ σώματι, εὔσχολόν ἐστι τὸ στόμα τῇ ὑπηρεσίᾳ τοῦ λόγου. οὐκοῦν ἴδιον τῆς λογικῆς φύσεως αἱ χεῖρες ἀναπεφήνασιν, οὕτω τοῦ πλάστου διὰ τούτων ἐπινοήσαντος τῷ λόγῳ τὴν εὐκολίαν.

Ὅτι ὀργανικὸν κατεσκευάσθη τοῦ ἀνθρώπου τὸ σχῆμα πρὸς τὴν τοῦ λόγου χρείαν.

Ἐπειδὴ τοίνυν θεοειδῆ τινα χάριν τῷ πλάσματι ἡμῶν ὁ ποιητὴς δεδώρηται, τῶν ἰδίων ἀγαθῶν ἐνθεὶς τῇ εἰκόνι τὰς ὁμοιότητας, διὰ τοῦτο,

τὰ μὲν λοιπὰ τῶν ἀγαθῶν ἔδωκεν ἐκ φιλοτιμίας τῇ ἀνθρωπίνῃ φύσει. νοῦ δὲ καὶ φρονήσεως οὐκ ἔστι κυρίως εἰπεῖν ὅτι δέδωκεν, ἀλλ' ὅτι μετέδωκε, τὸν ἴδιον αὐτοῦ τῆς φύσεως κόσμον ἐπιβαλὼν τῇ εἰκόνι. ἐπεὶ οὖν νοερόν τι χρῆμα καὶ ἀσώματόν ἐστιν ὁ νοῦς, ἀκοινώνητον ἂν ἔσχε τὴν χάριν, καὶ ἄμικτον, μὴ διά τινος ἐπινοίας φανερουμένης αὐτοῦ τῆς κινήσεως. τούτου χάριν, τῆς ὀργανικῆς ταύτης προσεδεήθη κατασκευῆς, ἵνα πλήκτρου δίκην, τῶν φωνητικῶν μορίων ἁπτόμενος, διὰ τῆς ποιᾶς τῶν φθόγγων τυπώσεως ἑρμηνεύσῃ τὴν ἔνδοθεν κίνησιν. καὶ ὥσπερ τις μουσικῆς ἔμπειρος ὤν, ἂν ἰδίαν ἐκ πάθους μὴ ἔχοι φωνὴν, βουλόμενος δὲ φανερὰν ποιῆσαι τὴν ἐπιστήμην, ἀλλοτρίαις ἐμμελῳδοίη φωναῖς, δι' αὐλῶν, ἢ λύρας δημοσιεύων τὴν τέχνην, οὕτω καὶ ὁ ἀνθρώπινος νοῦς παντοδαπῶν νοημάτων εὑρετὴς ὤν, τῷ μὴ δύνασθαι τοῖς διὰ σωματικῶν αἰσθήσεων, ἐπαϊούσῃ τῇ ψυχῇ δεικνύειν τὰς τῆς διανοίας ὁρμὰς, καθάπερ τις ἁρμοστὴς ἔντεχνος, τῶν ἐμψύχων τούτων ὀργάνων ἁπτόμενος, διὰ τῆς ἐν τούτοις ἠχῆς, φανερὰ ποιεῖ τὰ κεκρυμμένα νοήματα. σύμμικτος δέ τις ἡ μουσικὴ περὶ τὸ ἀνθρώπινον ὄργανον αὐλοῦ καὶ λύρας, ὥσπερ ἐν συνῳδίᾳ τινὶ, κατὰ ταὐτὸν ἀλλήλοις συμφθεγγομένων. τὸ μὲν γὰρ πνεῦμα, διὰ τῆς ἀρτηρίας,

ἀπὸ τῶν πνευματοδόχων ἀγγείων ἀνωθούμενον, ὅταν ἡ ὁρμὴ τοῦ φθεγγομένου πρὸς φωνὴν τονώσῃ τὸ μόριον, ταῖς ἔνδοθεν προσαρασσόμενον προσβολαῖς, αἳ κυκλοτερῶς τὸν αὐλὸν διὰ μέσου διειλήφασι πόρον, μιμεῖταί πως τὴν διὰ τοῦ αὐλοῦ γινομένην φωνὴν, ταῖς ὑμενώδεσιν ἐξοχαῖς ἐν κύκλῳ περιδονούμενον. ὑπερῴα δὲ τὸν κάτωθεν φθόγγον ἐκδέχεται τῷ κατ᾽ αὐτὴν κενώματι, διδύμοις αὐλοῖς τοῖς ἐπὶ τοὺς μυκτῆρας διήκουσι, καὶ οἷον λεπίδων τισὶν ἐξοχαῖς, τοῖς περὶ τὸν ἠθμὸν χόνδροις τὴν φωνὴν περισχίζουσα, γεγωνοτέραν τὴν ἠχὴν ἀπεργάζεται. παρειὰ δὲ καὶ γλῶσσα, καὶ ἡ περὶ τὸν φάρυγγα διασκευὴ, καθ᾽ ἣν ὁ ἀνθερεὼν ὑποχαλᾶται κοιλαινόμενος, καὶ ὀξυτενῶς ἐπιτείνεται. ταῦτα πάντα τὴν ἐν ταῖς νευραῖς τοῦ πλήκτρου κίνησιν ὑποκρίνεται ποικίλως, καὶ πολυτρόπως, ἐπὶ καιροῦ, σὺν πολλῷ τῷ τάχει μεθαρμόζοντα πρὸς τὴν χρείαν τοὺς τόνους. χειλέων δὲ διαστολὴ, καὶ ἐπίμυσις, ταὐτὸν ποιεῖ τοῖς διὰ τῶν δακτύλων ἐπιλαμβάνουσι τοῦ αὐλοῦ τὸ πνεῦμα καὶ τὴν ἁρμονίαν τοῦ μέλους.

Ὅτι διὰ τῶν αἰσθήσεων ὁ νοῦς ἐνεργεῖ.

Οὕτω τοίνυν τοῦ νοῦ διὰ τῆς ὀργανικῆς ταύτης κατασκευῆς ἐν ἡμῖν μουσουργοῦντος τὸν λό-

γον, λογικοὶ γεγόναμεν. οὐκ ἂν, ὡς οἶμαι, ἔχοντες
τὴν τοῦ λόγου χάριν εἰς τὸ βαρύ τε, καὶ ἐπίπονον
τῆς κατὰ τὴν βρῶσιν λατρείας τοῖς χείλεσι τὴν
χρείαν τοῦ σώματος ἐπορείζομεν. νυνὶ δὲ τὴν τοιαύ
την λειτουργίαν αἱ χεῖρες εἰς ἑαυτὰς μετενέγκα
σαι, εὔθετον τῇ ὑπηρεσίᾳ τοῦ λόγου τὸ στόμα κα-
τέλιπον. διπλῆ δὲ περὶ τὸ ὄργανον ἡ ἐνέργεια.
ἡ μὲν πρὸς ἐργασίαν ἠχῆς, ἡ δὲ πρὸς ὑποδοχὴν τῶν
ἔξωθεν νοημάτων. καὶ οὐκ ἐπιμίγνυται πρὸς
τὴν ἑτέραν ἡ ἄλλη, ἀλλὰ παραμένει τῇ ἐνεργείᾳ,
ἐφ᾽ ἣν ἐτάχθη παρὰ τῆς φύσεως, οὐκ ἐνοχλοῦσα
τῇ γείτονι, οὔτε τῆς ἀκοῆς λαλούσης, οὔτε τῆς φω
νῆς ἀκουούσης. ἡ μὲν γὰρ ἀεί τι πάντως προΐε-
ται, ἡ δὲ ἀκοὴ δεχομένη διηνεκῶς, οὐκ ἐμπίπλα-
ται, καθὼς φησί που σολομῶν, ὅ μοι δοκεῖ καὶ μά
λιστα τῶν ἐν ἡμῖν ἄξιον εἶναι καὶ θαυμάζεσθαι,
τί τὸ πλάτος ἐκείνου τοῦ ἔνδοθεν χωρήματος, εἰς
ὃ πάντα συρρεῖ τὰ διὰ τῆς ἀκοῆς εἰσχεόμενα;
τίνες οἱ ὑπομνηματογράφοι τῶν εἰσαγομένων
ἐν αὐτῇ λόγων; καὶ ποῖα δοχεῖα τῶν ἐντιθεμένων
τῇ ἀκοῇ νοημάτων; καὶ πῶς, πολλῶν καὶ παντο-
δαπῶν ἀλλήλοις ἐπεμβαλλομένων, σύγχυσις, καὶ
πλάνη κατὰ τὴν ἐπάλληλον θέσιν τῶν ἐγκει-
μένων οὐ γίνεται; τὸ ἴσον δ᾽ αὖθις καὶ ἐπὶ τῆς
τῶν ὄψεων ἐνεργείας θαυμάσειεν. ὁμοίως γὰρ
καὶ διὰ τούτων ὁ νοῦς τῶν ἔξω τοῦ σώματος ἐπι-

δράσσεται

δράσσεται, καὶ πρὸς ἑαυτὸν ἕλκει τῶν φαινομένων τὰ εἴδωλα, τοὺς χαρακτῆρας τῶν ὁρατῶν ἐν ἑαυτῷ καταγράφων. καὶ ὥσπερ εἴ τις πολύχωρος εἴη πόλις ἐκ διαφόρων εἰσόδων τοὺς πρὸς αὐτὴν συμφοιτῶντας εἰσδεχομένη, οὐκ ἐπὶ ταυτὸ, κατά τι τῶν ἐν τῇ πόλει συνδραμόντες οἱ πάντες, ἀλλ' οἱ μὲν κατὰ τὴν ἀγορὰν, οἱ δὲ κατὰ τὰς οἰκήσεις, ἄλλοι κατὰ τὰς ἐκκλησίας, ἢ τὰς πλατείας, ἢ τοὺς στενωποὺς, ἢ τὰ θέατρα, κατὰ τὴν ἰδίαν ἕκαστος γνώμην μεταχωροῦσι, τοιαύτην τινὰ βλέπω κατὰ τὴν τοῦ νοῦ πόλιν τὴν ἔνδοθεν ἐν ἡμῖν συνῳκισμένην, ἣν διάφοροι μὲν αἱ διὰ τῶν αἰσθήσεων εἴσοδοι καταπληροῦσιν, ἕκαστον δὲ τῶν εἰσιόντων φιλοκρινοῦντι, καὶ διεξετάζων ὁ νοῦς, τοῖς κατάλληλοις τῆς γνώσεως τόποις ἐναποτίθεται. καὶ ὥσπερ ἐπὶ τοῦ κατὰ τὴν πόλιν ὑποδείγματος ἔστι πολλάκις ὁμοφύλους τινὰς ὄντας, καὶ συγγενεῖς μηδὲ τῆς αὐτῆς πύλης ἐντὸς γενέσθαι, ἄλλου κατ' ἄλλην εἴσοδον κατὰ τὸ συμβὰν εἰσδραμόντος, οὐδὲν δὲ ἧττον ἐντὸς τῆς περιβολῆς τοῦ τείχους γενόμενοι, πάλιν μετ' ἀλλήλων εἰσὶ, πρὸς ἀλλήλους οἰκείως ἔχοντες, καὶ τὸ ἔμπαλιν ἔστιν εὑρεῖν γινόμενον. οἱ γὰρ ἀπεξενωμένοι τε, καὶ ἄγνωστοι ἀλλήλων, μιᾷ χρῶνται πρὸς τὴν πόλιν εἰσόδῳ πολλάκις, ἀλλ' οὐ συνάπτει τούτους ἀλλήλοις ἡ κατὰ τὴν εἴσοδον κοι-

νωνία. δύνανται γὰρ καὶ ἐν τῷ γινόμενοι διακριθῆναι πρὸς τὸ ὁμόφυλον. τοιοῦτόν τι βλέπω καὶ ἐπὶ τῆς κατὰ τὸν νοῦν εὐρυχωρίας. πολλάκις γὰρ καὶ ἐκ διαφόρων τῶν αἰσθητηρίων μία γνῶσις ἡμῖν συναγείρεται, τοῦ αὐτοῦ πράγματος πολυμερῶς πρὸς τὰς αἰσθήσεις μεριζομένου. πάλιν δ' αὖ τὸ ἐναντίον ἐστὶν, ἐκ μιᾶς τινος τῶν αἰσθήσεων πολλὰ καὶ ποικίλα μαθεῖν οὐδὲν ἀλλήλοις κατὰ τὴν φύσιν συμβαίνοντα. οἷον, κρεῖττον γὰρ ἐν ὑποδείγματι διασαφηνίσαι τὸν λόγον. προκείσθω ζητεῖσθαι τι περὶ χυμῶν ἰδιότητος, τί μὲν ἡδὺ πρὸς τὴν αἴσθησιν, τί δὲ φευκτὸν τοῖς γευομένοις ἐστίν. οὐκοῦν εὑρέθη διὰ τῆς πείρας, ἥ τε τῆς χολῆς πικρότης, καὶ τὸ προσηνὲς τῆς κατὰ τὸ μέλι ποιότητος. διαφόρων δὲ ὄντων τούτων, μίαν εἰσάγει γνῶσιν τὸ αὐτὸ πρᾶγμα, πολυμερῶς τῇ διανοίᾳ εἰσοικιζόμενον, ἡ γεῦσις, ἡ ὄσφρησις, ἡ ἀκοὴ, πολλάκις δὲ καὶ ἡ ἁφὴ, καὶ ἡ ὄψις. καὶ γὰρ ἰδών τις τὸ μέλι, καὶ τοῦ ὀνόματος ἀκούσας, καὶ τῇ γεύσει λαβὼν, καὶ τὸν ἀτμὸν διὰ τῆς ὀσφρήσεως ἐπιγνοὺς, καὶ τῇ ἁφῇ δοκιμάσας, τὸ αὐτὸ πρᾶγμα δι' ἑκάστου τῶν αἰσθητηρίων ἐγνώρισε. ποικίλα δὲ πάλιν, καὶ πολυειδῆ, διὰ μιᾶς τινος αἰσθήσεως διδασκόμεθα. τῆς τε ἀκοῆς παντοίας δεχομένης φωνὰς, τῆς τε διὰ τῶν ὀφθαλμῶν ἀντιλήψεως, ἀδιάκριτον ἐχού-

σης τὴν

σης τὴν ἐνέργειαν ἐπὶ τῆς τῶν ἑτερογενῶν θεωρίας. ὁμοίως γὰρ λευκῷ τε προσπίπτει καὶ μέλανι, καὶ πᾶσι τοῖς κατὰ τὸ ἐναντίον διεστῶσι τῷ χρώματι. οὕτως ἡ γεῦσις, οὕτως ἡ ὄσφρησις, οὕτως ἡ διὰ τῆς ἀφῆς κατανόησις, παντοδαπῶν πραγμάτων ἑκάστη, διὰ τῆς οἰκείας ἀντιλήψεως τὴν γνῶσιν ἐντίθησιν.

Ὅτι ἀθεώρητος ἡ τοῦ ἀνθρώπου φύσις.

Τί τοίνυν ἐστὶ κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ νοῦς; ὅταν αἰσθητικαῖς δυνάμεσιν ἑαυτὸν ἐπιμερίζων, καὶ δι᾽ ἑκάστης καταλλήλως τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνων. ὅτι γὰρ ἄλλό τι παρὰ τὰς αἰσθήσεις ἐστὶν, οὐκ ἂν οἶμαι τινὰ τῶν ἐμφρόνων ἀμφιβάλλειν. εἰ γὰρ ταυτὸν ἦν τῇ αἰσθήσει, πρὸς ἓν πάντως εἶχε, τῶν κατ᾽ αἴσθησιν ἐνεργουμένων τὴν οἰκειότητα, διὰ τὸ ἁπλοῦν μὲν αὐτὸν εἶναι, μηδὲν δὲ ποικίλον ἐν τῷ ἁπλῷ θεωρεῖσθαι. νυνὶ δὲ πάντων συντιθεμένων, ἄλλο μέν τι τὴν ἀφὴν εἶναι, ἄλλο δὲ τὴν ὄσφρησιν, καὶ τῶν ἄλλων ὡσαύτως ἀκοινωνήτως τε καὶ ἀμίκτως πρὸς ἄλληλα διακειμένων, ἐπειδὴ κατὰ τὸ ἴσον ἑκάστῃ καταλλήλως πάρεστιν, ἕτερόν τινα πάντως αὐτὸν χρὴ παρὰ τὴν αἰσθητὴν ὑποτίθεσθαι φύσιν, ὡς ἂν μή τις ποικιλία τῷ νοητῷ συμμιχθείη. τίς ἔγνω νοῦν κυρίου; φησὶν ὁ ἀπόστολος. ἐγὼ δὲ παρὰ

ἐγὼ φημὶ, τίς τὸν ἴδιον νοῦν κατενόησεν; εἰπά-
τωσαν οἱ τῆς θεοῦ τὴν φύσιν ἐντὸς ποιούμενοι τῆς
ἑαυτῶν καταλήψεως, εἰ ἑαυτοὺς κατενόησαν, εἰ
τοῦ ἰδίου νοῦ τὴν φύσιν ἐπέγνωσαν. πολυμερής
τίς ἐστι, καὶ πολυσύνθετος. καὶ πῶς τὸ νοητὸν
ἐν συνθέσει; ἢ τίς ὁ τῆς τῶν ἑτερογενῶν ἀνα
κράσεως τρόπος; ἀλλ᾽ ἁπλοῦς καὶ ἀσύνθετος.
καὶ πῶς εἰς τὴν πολυμέρειαν τὴν αἰσθητικὴν δια
σπείρεται; πῶς ἐν μονότητι τὸ ποικίλον;
πῶς ἐν ποικιλίᾳ τὸ ἕν; ἀλλ᾽ ἔγνων τῶν ἠπορημέ
νων τὴν λύσιν. ἐπ᾽ αὐτὴν ἀναδραμὼν τοῦ θεοῦ
τὴν φωνήν. ποιήσωμεν γάρ φησιν ἄνθρωπον
κατ᾽ εἰκόνα, καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν. ἡ γὰρ εἰ-
κὼν, ἕως ἂν ἐν μηδενὶ λείπηται τῶν κατὰ τὸ ἀρ-
χέτυπον νοουμένων, κυρίως ἐστὶν εἰκών. καθ᾽ ὃ
δ᾽ ἂν διαπέσῃ τῆς πρὸς τὸ πρωτότυπον ὁμοιό-
τητος, κατ᾽ ἐκεῖνο τὸ μέρος εἰκὼν οὐκ ἔστιν. οὐκοῦν
ἐπειδὴ ἓν τῶν περὶ τὴν θείαν φύσιν θεωρουμέ-
νων ἐστὶ τὸ ἀκατάληπτον τῆς οὐσίας, ἀνάγκη πᾶ
σα καὶ ἐν τούτῳ τὴν εἰκόνα πρὸς τὸ ἀρχέτυπον
ἔχειν τὴν μίμησιν. εἰ γὰρ ἡ μὲν τῆς εἰκόνος φύ-
σις κατελαμβάνετο, τὸ δὲ πρωτότυπον ὑπὲρ
κατάληψιν ἦν, ἡ ἐναντιότης τῶν ἐπιθεωρουμέ-
νων, τὸ διημαρτημένον τῆς εἰκόνος διήλεγχεν. ἐπει
δὴ δὲ διαφεύγει τὴν γνῶσιν ἡ κατὰ τὸν νοῦν τὸν
ἡμέτερον φύσις, ὅς ἐστι κατ᾽ εἰκόνα τοῦ κτίσαντος,

ἀκριβῆ πρὸς τὸ ὑπερκείμενον ἔχει τὴν ὁμοιότητα, τῷ καθ' ἑαυτὸν ἀγνώστῳ χαρακτηρίζων τὴν ἀκατάληπτον φύσιν.

Ἐξέτασις, ἐν τίνι τὸ ἡγεμονικὸν νομιστέον, ἐν ᾧ καὶ περὶ δακρύων, καὶ περὶ γέλωτος φυσιολογία, καὶ θεώρημά τι φυσικὸν περὶ τῆς κατὰ τὴν ὕλην, καὶ τὴν φύσιν, καὶ τὸν νοῦν κοινωνίαν.

Σιγάτω τοίνυν πᾶσα στοχαστικὴ ματαιολογία τῶν μορίοις τισὶ σωματικοῖς τὴν νοητὴν ἐναποκλειόντων ἐνέργειαν. ὧν οἱ μὲν ἐν καρδίᾳ τὸ ἡγεμονικὸν εἶναι τίθενται, οἱ δὲ τῷ ἐγκεφάλῳ τὸν νοῦν ἐνδιαιτᾶσθαι φασὶν ἐπιπολαίοις τισὶ πιθανότησι τὰς τοιαύτας ἐπινοίας κρατοῦντες. ὁ μὲν γὰρ τῇ καρδίᾳ προστιθεὶς τὴν ἡγεμονίαν, τὴν κατὰ τόπον αὐτῆς θέσιν ποιεῖται τοῦ λόγου τεκμήριον, διὰ τὸ δοκεῖν πως, τὴν μέσην τοῦ παντὸς σώματος ἐπέχειν χώραν αὐτὴν, ὡς τῆς προαιρετικῆς κινήσεως εὐκόλως ἐκ τοῦ μέσου πρὸς ἅπαν μεριζομένης τὸ σῶμα, καὶ οὕτως εἰς ἐνέργειαν προϊούσης. καὶ μαρτύριον ποιεῖται τοῦ λόγου, τὴν λυπηράν τε, καὶ θυμώδη τοῦ ἀνθρώπου διάθεσιν, ὅτι δοκεῖ πως τὰ τοιαῦτα πάθη συγκινεῖν τὸ μέρος τοῦτο πρὸς τὴν συμπάθειαν.

οἱ δὲ τὸν ἐγκέφαλον ἀφορῶσι τῷ λογισμῷ,
ὥσπερ ἀκρόπολίν τινα τοῦ παντὸς σώματος τὴν
κεφαλὴν δεδομῆσθαι παρὰ τῆς φύσεως λέγου-
σιν. ἐνοικεῖν δὲ ταύτῃ, καθάπερ τινὰ βασιλέα,
τὸν νοῦν. οἷον τισὶν ἀγγελιαφόροις ἢ ὑπασπισταῖς,
τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δορυφορούμενον.
σημεῖον δὲ καὶ οὗτοι τῆς τοιαύτης ὑπονοίας ποιοῦν-
ται, τὸ παράγεσθαι τοῦ καθεστῶτος τὸν λογισ-
μὸν τῶν κεκακωμένων τὰς μήνιγγας, καὶ τὸ ἐν
ἀγνοίᾳ τοῦ πρέποντος γίνεσθαι τοὺς ἐν μέθῃ καρη-
βαρήσαντας. προστιθέασι δὲ καί τινας φυσικω-
τέρας αἰτίας τῆς τοιαύτης περὶ τὸ ἡγεμονικὸν
ὑπονοίας ἑκάτερος τῶν ταύταις ταῖς δόξαις
παρισταμένων. ὁ μὲν γὰρ πρὸς τὸ πυρῶδες συγ-
γενῶς ἔχειν τὴν ἐκ τῆς διανοίας κίνησιν λέγει,
διὰ τὸ ἀεικίνητον εἶναι καὶ τὸ πῦρ, καὶ τὴν διά-
νοιαν. καὶ ἐπειδὴ πηγάζειν ἐν τῷ μορίῳ τῆς καρ-
δίας ἡ θερμότης ὁμολογεῖται, διὰ τοῦτο τῷ εὐ-
κινήτῳ τῆς θερμότητος τὴν τοῦ νοῦ κίνησιν ἀνα-
κεκρᾶσθαι λέγων, δοχεῖον τῆς νοερᾶς φύσεως
τὴν καρδίαν εἶναι φησὶν, ἐν ᾗ τὸ θερμὸν περιεί-
ληπται. ὁ δὲ ἕτερος, πᾶσι τοῖς αἰσθητηρίοις οἷον
ὑποβάθραν τινὰ καὶ ῥίζαν εἶναι λέγει τὴν μήνιγ-
γα, οὕτω γὰρ ὀνομάζουσι τὸν περιεκτικὸν τοῦ ἐγκε-
φάλου ὑμένα, καὶ τούτῳ πιστοῦται τὸν ἴδιον
λόγον, ὡς οὐχ ἑτέρωθι τῆς νοητικῆς ἐνεργείας καθι-

δρυμένης,

δρυμένης, ἢ μὴ κατ' ἐκεῖνο τὸ μέρος, ᾧ καὶ τὸ οὖς ἐφηρμοσμένον ταῖς ἐμπιπτούσαις αὐτῷ φωνὰς προσαράσσει. καὶ ἡ ὄψις κατὰ τὸν πυθμένα τῆς τῶν ὀφθαλμῶν ἕδρας συμπεφυκυῖα, διὰ τῶν ἐμπιπτόντων ταῖς κόραις εἰδώλων, πρὸς τὸ ἔσω παριεῖται τὴν τύπωσιν. καὶ τῶν ἀτμῶν αἱ ποιότητες, διὰ τῆς τῶν ὀσφρήσεων ὅλης ἐν αὐτῷ διακρίνονται. καὶ ἡ κατὰ τὴν γεῦσιν αἴσθησις, τῇ ἐπικείσει τῆς μήνιγγος δοκιμάζεται ἐκ τοῦ σύνεγγυς, ἐκφύσεις τινὰς νευρώδεις ἀφ' ἑαυτῆς αἰσθητικὰς, διὰ τῶν αὐχενίων σπονδύλων εὐθὺ τὸν ἠθμοειδῆ πόρον κατὰ τὸν αὐτόθι μυὸς ἐγκαταμιξάσης. ἐγὼ δὲ, τὸ μὲν ἐπιταράττεσθαι πολλάκις πρὸς τὰς τῶν παθημάτων ἐπικρατήσεις τὸ διανοητικὸν τῆς ψυχῆς, καὶ ἀμβλυώττεσθαι τῆς κατὰ φύσιν ἐνεργείας τὸν λογισμὸν ἔκ τινος σωματικῆς περιστάσεως, ἀληθὲς εἶναι φημὶ, καὶ πηγήν τινα τοῦ κατὰ τὸ σῶμα πυρώδους, τὴν καρδίαν εἶναι πρὸς τὰς θυμώδεις ὁρμὰς συγκινουμένην. καὶ ἔτι πρὸς τούτοις, τὸ ὑποβεβλῆσθαι τοῖς αἰσθητηρίοις τὴν μήνιγγα, κατὰ τὸν λόγον τῶν τὰ τοιαῦτα φυσιολογούντων, περιπτυσσομένην ἐν ἑαυτῇ τὸν ἐγκέφαλον, καὶ τοῖς ἐκεῖθεν ἀτμοῖς ὑπαλειφομένην, τῶν ταῖς ἀνατομικαῖς θεωρείαις ἐσχολακότων τὸ τοιοῦτον ἀκούων, οὐκ ἀθετῶ τὸ λεγόμενον. οὐ μὴν ἀπόδει-

ξιν περιοῦμεν ταύτην τοῦ, τοπικαῖς τισι περιγραφαῖς ἐμπεριειλῆφθαι τὴν ἀσώματον φύσιν. τάς τε γὰρ παραφορὰς οὐκ ἐκ μόνης καρηβαρείας γίνεσθαι μεμαθήκαμεν, ἀλλὰ καὶ τῶν τὰς πλευρὰς ὑπεζωκότων ὑμένων ἐμπαθῶς διατεθέντων, ὁμοίως ἀῤῥωστεῖν τὸ διανοητικὸν, διορίζονται οἱ τῆς ἰατρικῆς ἐπιστήμονες, φρενῖτιν τὸ πάθος καλοῦντες, ἐπειδὴ φρένες τοῖς ὑμέσι τούτοις ἐστὶ τὸ ὄνομα. καὶ ἡ ἀπὸ τῆς λύπης δὲ περὶ τὴν καρδίαν γινομένη συναίσθησις ἐσφαλμένως ὑπονοεῖται. οὐ γὰρ τῆς καρδίας, ἀλλὰ τοῦ στόμαχος τῆς κοιλίας δριμυσσομένου, εἰς τὴν καρδίαν τὸ πάθος ὑπὸ ἀπειρίας ἀνάγουσι. τοιοῦτον δέ τι φασὶν οἱ ἐπεσκεμμένοι δι᾽ ἀκριβείας τὰ πάθη, ὅτι συμπτώσεως τῶν πόρων, καὶ μύσεως ἐν ταῖς λυπηραῖς διαθέσεσι φυσικῶς περὶ ἅπαν γινομένης, τὸ σῶμα πρὸς τὰς ἐν τῷ βάθει κοιλότητας συνωθεῖται πᾶν, τὸ πρὸς τὴν διαπνοὴν κωλυόμενον. ὅθεν καὶ τῶν ἀναπνευστικῶν σπλάγχνων στενοχωρουμένων τῷ περιέχοντι, βιαιοτέρα πολλάκις ἡ ὁλκὴ τοῦ πνεύματος ἀπὸ τῆς φύσεως γίνεται, πρὸς τὴν τῶν συμπεπτωκότων διαστολὴν τὸ στενωθὲν εὐρυνούσης. τὸ δὲ τοιοῦτον ἆσθμα σύμπτωμα λύπης ποιούμεθα, στεναγμὸν αὐτὸ, καὶ ἀναποτνιασμὸν ὀνομάζοντες. ἀλλὰ καὶ τὸ δοκοῦν ὑποθλίβειν τὸ περικάρδιον μέρος, οὐ τῆς καρ-

δίας, ἀλλὰ τοῦ στόματος ἐστὶ τῆς γαστρὸς ἀηδία, διὰ τῆς αὐτῆς αἰτίας λέγω δὴ, τῆς κατὰ τὴν σύμπτωσιν τῶν πόρων τοῦ χοληδόχου ἀγγείου, τὸν δριμὺν ἐκεῖνον καὶ δακνώδη χυμὸν, ἀπὸ στενοχωρίας ἐπὶ τὸ στόμα τῆς γαστρὸς παρεγχέοντος. ἀπόδειξις δὲ τούτου τὸ ὕπωχρον γίνεσθαι καὶ ἰκτερώδη τοῖς λυπουμένοις τὴν ἐπιφάνειαν, ἀπὸ τῆς ἄγαν συνοχῆς ἐπὶ τὰς φλέβας τὸν ἴδιον χυμὸν τῆς χολῆς ἐπισπειρούσης. ἀλλὰ καὶ τὸ ἐξ ἐναντίου γινόμενον πάθος, τὸ κατὰ τὴν εὐφροσύνην φημὶ, καὶ τὸν γέλωτα, μᾶλλον τὸν λόγον συνίστησι. διαχέονται γάρ πως καὶ διαλύονται δι᾽ ἡδονῆς οἱ τοῦ σώματος πόροι τῶν ἔκ τινος ἀκοῆς ἡδείας διαχυθέντων. ὡς γὰρ ἐκεῖ διὰ τῆς λύπης μύουσιν αἱ λεπταί τε καὶ ἄδηλοι τῶν πόρων διαπνοαὶ, καὶ διασφίγξασαι τὴν ἔνδοθεν τῶν σπλάγχνων διάθεσιν ἐπὶ τὴν κεφαλὴν καὶ τὰς μήνιγγας, τὸν νοτερὸν ἀτμὸν ἀναθλίβουσιν, ὃς πολὺς ἐναπολειφθεὶς ταῖς τοῦ ἐγκεφάλου κοιλότησι, διὰ τῶν κατὰ τὴν βάσιν πόρων, ἐπὶ τοὺς ὀφθαλμοὺς ἐξωθεῖται, τῆς τῶν ὀφρύων συμπτώσεως ἐξελκομένης διὰ σταγόνων τὴν ὑγρασίαν, ἣ δὲ σταγὼν δάκρυον λέγεται, οὕτω μοι νόησον, ἐκ τῆς ἐναντίας διαθέσεως πλέον τοῦ συνήθους εὐρυνομένων τῶν πόρων, ἐφέλκεσθαί τι πνεῦμα δι᾽ αὐτῶν ἐπὶ τὸ βάθος, κἀκεῖθεν πάλιν ἐξω

θεῖσθαι παρὰ τῆς φύσεως διὰ τοῦ κατὰ τὸ στόμα
πόρου, πάντων τῶν σπλάγχνων καὶ μάλιστά γε
τοῦ ἥπατος, ὥς φασι, διά τινος κλόνου καὶ βρασμοῦ
θερμοῦ κινήσεως τὸ τοιοῦτον πνεῦμα συνεξωθούν-
των. ὅθεν εὐκολίαν τινὰ τῇ διεξόδῳ τοῦ πνεύμα-
τος μηχανωμένη ἡ φύσις, ἀνευρύνει τὸν περὶ τὸ
στόμα πόρον, ἑκατέρωθεν περὶ τὸ ἆσθμα τὰς πα-
ρειὰς διαστέλλουσα. ὄνομα δὲ τῷ γινομένῳ, γέλως
ἐστίν. οὔτε οὖν διὰ τοῦτο τῷ ἥπατι τὸ ἡγεμονικὸν
λογιστέον, οὔτε διὰ τὴν περικάρδιον ζέσιν τοῦ αἵ-
ματος ἐν ταῖς θυμικαῖς διαθέσεσιν, ἐν καρδίᾳ
νομιστέον εἶναι τοῦ νοῦ τὴν καθίδρυσιν, ἀλλὰ ταῦ-
τα μὲν εἰς τὰς ποιὰς τῶν σωμάτων κατασκευὰς
ἀνακτέον. τὸν δὲ νοῦν ὁμοτίμως ἑκάστῳ τῶν μο-
ρίων κατὰ τὸν ἄφρασον τῆς ἀνακράσεως λόγον
ἐφάπτεσθαι νομιστέον. κἂν τὴν γραφήν τινες
ἡμῖν πρὸς τοῦτο προτείνωνται, τῇ καρδίᾳ τὸ ἡ-
γεμονικὸν μαρτυροῦσαν, οὐκ ἀνεξετάστως τὸν λό-
γον δεξόμεθα. ὁ γὰρ καρδίας μνησθεὶς, καὶ νε-
φρῶν ἐμνημόνευσεν. εἰπὼν, ἐτάζων καρδίας
καὶ νεφροὺς ὁ θεός. ὥστε ἢ ἀμφοτέροις, ἢ οὐδε-
τέρῳ τὸ νοερὸν κατακλείουσιν. ἀμβλύνεσθαι δὲ
τὰς νοητικὰς ἐνεργείας, ἢ καὶ παντάπασιν
ἀπρακτεῖν ἐν τῇ ποιᾷ διαθέσει τοῦ σώματος δι-
δαχθεὶς, οὐχ ἱκανὸν ποιοῦμαι τοῦτο τεκμήριον
τοῦ, τόπῳ τινὶ τὴν δύναμιν τοῦ νοῦ περιείργεσθαι,

ὡς ταῖς ἐπιγινομέναις τοῖς μέρεσι φλεγμοναῖς τῆς οἰκείας εὐρυχωρίας ἐξειργομένης. σωματικὴ γὰρ ἡ τοιαύτη δόξα, τὸ μὴ δύνασθαι προκατειλημμένου τοῦ ἀγγείου διά τινος τῶν ἐμβεβλημένων, ἕτερόν τι ἐν αὐτῷ χώραν εὑρεῖν. ἡ γὰρ νοητὴ φύσις, οὔτε ταῖς κενώσεσιν ἐμφιλοχωρεῖ τῶν σωμάτων, οὔτε τῷ πλεονάζοντι τῆς σαρκὸς ἐξωθεῖται. ἀλλ' ἐπειδὴ καθάπερ τι μουσικὸν ὄργανον ἅπαν τὸ σῶμα δεδημιούργηται, ὥσπερ συμβαίνει πολλάκις ἐπὶ τῶν μελῳδεῖν μὲν ἐπισταμένων, ἀδυνατούντων δὲ δεῖξαι τὴν ἐπιστήμην, τῆς τῶν ὀργάνων ἀχρηστίας οὐ παραδεχομένης τὴν τέχνην, τὸ γὰρ ἢ χρόνῳ φθαρὲν, ἢ παρερρηγμένον ἐκ καταπτώσεως, ἢ ὑπό τινος ἰοῦ καὶ εὐρῶτος ἠχρειωμένον, ἄφθογγον μένει καὶ ἀνενέργητον, κἂν ὑπὸ τοῦ προέχειν δοκοῦντος κατὰ τὴν αὐλητικὴν τέχνην ἐμπνέηται, οὕτω καὶ ὁ νοῦς δι' ὅλου τοῦ ὀργάνου διήκων, καὶ καταλλήλως ταῖς νοητικαῖς ἐνεργείαις, καθὸ πέφυκεν, ἑκάστου τῶν μορίων προσαπτόμενος, ἐπὶ μὲν τῶν κατὰ φύσιν διακειμένων, τὸ οἰκεῖον ἐνήργησεν, ἐπὶ δὲ τῶν ἀσθενούντων δέξασθαι τὴν τεχνικὴν αὐτοῦ κίνησιν, ἄπρακτός τε καὶ ἀνενέργητος ἔμεινε. πέφυκε γάρ πως ὁ νοῦς πρὸς μὲν τὸ κατὰ φύσιν διακείμενον, οἰκείως ἔχειν, πρὸς δὲ τὸ παρενεχθὲν, ἀπὸ ταύτης ἀλλοτριοῦσθαι.

Καί μοι δοκεῖ φυσικώτερον εἶναι τὸ κατὰ τὸ μέρος τοῦτο θεώρημα, δι' οὗ μαθεῖν ἔστι τῶν ἀστειοτέρων δογμάτων. ἐπειδὴ γὰρ τὸ κάλλιστον πάντων, καὶ ἐξοχώτατον ἀγαθὸν αὐτὸ τὸ θεῖον ἐστὶ, πρὸς ὃ πάντα νένευκεν, ὅσα τοῦ καλοῦ τὴν ἔφεσιν ἔχει, διὰ τοῦτο φαμὲν καὶ τὸν νοῦν, ἅτε κατ' εἰκόνα τοῦ καλλίστου γενόμενον, ἕως ἂν μετέχῃ τῆς πρὸς τὸ ἀρχέτυπον ὁμοιότητος καθόσον ἐνδέχεται, καὶ αὐτὸν ἐν τῷ καλῷ διαμένειν. εἰ δέ πως ἔξω γένοιτο τούτου, γυμνοῦσθαι τοῦ κάλλους τοῦ ἐν ᾧ ἦν. ὥσπερ δὲ ἔφαμεν τῇ ὁμοιώσει τοῦ πρωτοτύπου κάλλους κατακοσμεῖσθαι τὸν νοῦν, οἷόν τι κάτοπτρον τῷ χαρακτῆρι τοῦ ἐμφαινομένου μορφούμενον, κατὰ τὴν αὐτὴν ἀναλογίαν, καὶ τὴν οἰκονομουμένην ὑπ' αὐτοῦ φύσιν ἔχεσθαι τοῦ νοῦ λογιζόμεθα, καὶ τῷ παρακειμένῳ κάλλει καὶ αὐτὴν κοσμεῖσθαι, οἷόν τι κατόπτρου κάτοπτρον γινομένην. κρατεῖσθαι δὲ ὑπὸ ταύτης, καὶ συνέχεσθαι τὸ ὑλικὸν τῆς ὑποστάσεως, περὶ ἣν θεωρεῖται ἡ φύσις. ἕως ἂν οὖν ἔχηται τοῦ ἑτέρου τὸ ἕτερον, διὰ πάντων ἀναλόγως ἡ τοῦ ὄντως κάλλους κοινωνία διέξεισι, διὰ τοῦ ὑπερκειμένου τὸ προσεχὲς καλλωπίζουσα. ἐπειδὰν δέ τις γένηται τῆς ἀγαθῆς ταύτης συμφυΐας διασπασμὸς, ἢ καὶ πρὸς τὸ ἔμπαλιν, ἀντακολουθῇ τῷ ὑποβεβηκότι τὸ ὑπερέχον, τότε αὐτῆς τε

τῆς ὕλης, ὅταν μονωθῇ τῆς φύσεως, διελέγχει τὸ ἄσχημον. ἄμορφον γάρ τι καθ' ἑαυτὴν ἡ ὕλη, καὶ ἀκατασκεύαστον, καὶ τῇ ἀμορφίᾳ ταύτης συνδιεφθάρη τὸ κάλλος τῆς φύσεως, ὃ διὰ τοῦ νοῦ καλλωπίζεται, καὶ οὕτως ἐπ' αὐτὸν τὸν νοῦν τοῦ κατὰ τὴν ὕλην αἴσχους διὰ τῆς φύσεως ἡ διάδοσις γίνεται, ὡς μηκέτι τοῦ θεοῦ τὴν εἰκόνα ἐν τῷ χαρακτῆρι καθορᾶσθαι τοῦ πλάσματος. οἷον γάρ τι κάτοπτρον κατὰ νώτου τὴν τῶν ἀγαθῶν ἰδέαν ὁ νοῦς ποιησάμενος, ἐκβάλλει μὲν τῆς ἐκλάμψεως τοῦ ἀγαθοῦ τὰς ἐμφάσεις, τῆς δὲ ὕλης τὴν ἀμορφίαν εἰς ἑαυτὸν ἀναμάσσεται. καὶ τούτῳ γίνεται τῷ τρόπῳ τοῦ κακοῦ ἡ γένεσις, διὰ τῆς ὑπεξαιρέσεως τοῦ καλοῦ παρυφισταμένη. καλὸν δὲ πᾶν, ὅπερ ἂν τύχῃ πρὸς τὸ πρῶτον ἀγαθὸν οἰκείως ἔχον. ὅτι δ' ἂν ἔξω γένηται τῆς πρὸς τοῦτο σχέσεώς τε καὶ ὁμοιώσεως, ἄμοιρον τοῦ καλοῦ πάντως ἐστίν. εἰ οὖν ἓν μὲν κατὰ τὸν θεωρηθέντα λόγον τὸ ὄντως ἀγαθὸν, ὁ δὲ νοῦς τῷ κατ' εἰκόνα τοῦ καλοῦ γεγενῆσθαι, καὶ αὐτὸς ἔχει τὸ καλὸς εἶναι, ἡ δὲ φύσις ἡ ὑπὸ τοῦ νοῦ συνεχομένη, καθάπερ τις εἰκὼν εἰκόνος ἐστὶ, δείκνυται διὰ τούτων, ὅτι τὸ ὑλικὸν ἡμῶν συνέστηκε μὲν, καὶ περικρατεῖται, ὅταν οἰκονομῆται ὑπὸ τῆς φύσεως. λύεται δὲ καὶ διαπίπτει πάλιν, ὅταν χωρισθῇ τοῦ περικρατοῦντός τε καὶ συνέχοντος, καὶ

διασπασθῇ τῆς πρὸς τὸ καλὸν συμφυΐας. τὸ δὲ τοιοῦτον οὐκ ἄλλως γίνεται, ἢ ὅταν τῆς φύσεως πρὸς τὸ ἔμπαλιν γίνηται ἡ ἐπιστροφή, μὴ πρὸς τὸ καλὸν τῆς ἐπιθυμίας νευούσης, ἀλλὰ πρὸς τὸ χρῇζον τοῦ καλλωπίζοντος. ἀνάγκη γὰρ πᾶσα τῇ πτωχευούσῃ τῆς ἰδίας μορφῆς ὕλῃ κατὰ τὸ ἄσχημόν τε, καὶ ἀκαλλὲς συμμεταμορφοῦσθαι τὸ ὁμοιούμενον. ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐξ ἀκολουθίας τινὸς παρεξητάσθη, διὰ τῆς εἰς τὸ προκείμενον θεωρίας ἐπεισελθόντα. τὸ γὰρ ζητούμενον ἦν, εἰ ἐν μέρει τινὶ τῶν ἐν ἡμῖν ἡ νοερὰ καθίδρυται δύναμις, ἢ διὰ πάντων κατὰ τὸ ἴσον διήκει. τῶν γὰρ τοπικοῖς μέρεσι περιειργόντων τὸν νοῦν, καὶ εἰς σύστασιν τῆς τοιαύτης αὐτῶν ὑπολήψεως προφερόντων τό, μὴ εὐοδοῦσθαι τὴν διάνοιαν ἐπὶ τῶν παρὰ φύσιν διακειμένων τὰς μήνιγγας, ἀπέδειξεν ὁ λόγος, ὅτι κατὰ πᾶν μέρος τοῦ ἀνθρωπίνου συγκρίματος, καθὸ πέφυκεν ἕκαστος ἐνεργεῖν, ἴσως ἡ τῆς ψυχῆς δύναμις ἀνενέργητος μένει, μὴ διαμένοντος ἐν τῇ φύσει τοῦ μέρους. καὶ διὰ τοῦτο ἐξ ἀκολουθίας τὸ προτεθὲν παρενέπεσε τῷ λόγῳ θεώρημα, δι᾽ οὗ μανθάνομεν, ἐν τῷ ἀνθρωπίνῳ συγκρίματι ὑπὸ θεοῦ μὲν διοικεῖσθαι τὸν νοῦν, ὑπ᾽ ἐκείνου δὲ τὴν ὑλικὴν ἡμῶν ζωήν, ὅταν ἐν τῇ φύσει μένῃ. εἰ δὲ παρατραπείη τῆς φύσεως, καὶ τῆς κατὰ τὸν

νοῦν

νοῦ ἐνεργείας ἀλλοτριοῦσθαι. ἀλλ' ἐπανέλθωμεν πάλιν ὅθεν ἐξέβημεν, ὅτι ἐπὶ τῶν μὴ παρατραπέντων ἐκ πάθους τινὸς τῆς φυσικῆς καταστάσεως τὴν οἰκείαν δύναμιν, ὁ νοῦς ἐνεργεῖ, καὶ ἔρρωται μὲν ἐπὶ τῶν συνεστώτων, ἀδυνατεῖ δὲ πάλιν ἐπὶ τῶν μὴ χωρούντων αὐτοῦ τὴν ἐνέργειαν. ἔστι γὰρ καὶ δι' ἑτέρων τὸ περὶ τούτων δόγμα πιστώσασθαι, καὶ ἵνα μὴ βαρὺ τῇ ἀκοῇ τῶν περικεκμηκότων ἤδη τῷ λόγῳ, καὶ περὶ τούτων, ὡς ἂν οἷοί τε ὦμεν, δι' ὀλίγων διαληψόμεθα.

Περὶ ὕπνου καὶ χάσμης, καὶ ὀνείρων αἰτιολογία.

Η ὑλικὴ καὶ ῥοώδης αὕτη τῶν σωμάτων ζωὴ πάντοτε διὰ κινήσεως περιϊοῦσα, ἐν τούτῳ ἔχει τοῦ εἶναι τὴν δύναμιν, ἐν τῷ μὴ στῆναι ποτὲ τῆς κινήσεως. καθάπερ δέ τις ποταμὸς κατὰ τὴν ἰδίαν ῥέων ὁρμὴν, πλήρη μὲν δείκνυσι τὴν κοιλότητα, δι' ἧς ἂν τύχῃ φερόμενος, οὐ μὴν ἐν τῷ αὐτῷ ὕδατι περὶ τὸν αὐτὸν ἀεὶ τόπον ὁρᾶται, ἀλλὰ τὸ μὲν ὑπέδραμεν αὐτοῦ, τὸ δὲ ὑπερρεῖ, οὕτω καὶ τὸ ὑλικὸν τῆς τῇδε ζωῆς διά τινος κινήσεως, καὶ ῥοῆς τῇ συνεχείᾳ τῆς τῶν ἐναντίων διαδοχῆς ἀμείβεται, ὡς ἂν μηδέποτε στῆναι δύνασθαι τῆς μεταβολῆς, ἀλλὰ τῇ δυνάμει τοῦ ἀτρεμεῖν, ἄπαυστον ἔχειν διὰ τῶν ὁμοίων ἐναμειβομένην τὴν κίνησιν. εἰ δέ ποτε κινούμενον παύσοιτο καὶ τοῦ εἶναι πάν-

πῶς τὴν παῦλαν ἔχει. οἷον διεδέξατο τὸ πλῆρες ἡ κένωσις, καὶ πάλιν ἀντεισῆλθεν ἡ πλήρωσις τῇ κενότητι. ὕπνος τὸ σύντονον τῆς ἐγρηγόρσεως ὑπεχάλασεν, εἶτα ἐγρήγορσις τὸ ἀνειμένον ἐτόνωσε. καὶ οὐδέτερον τούτων ἐν τῷ διηνεκεῖ συμμένει, ἀλλ' ὑποχωρεῖ ταῖς παρουσίαις ἀλλήλων ἀμφότερα, οὕτω τῆς φύσεως ἑαυτὴν ταῖς ὑπαλλαγαῖς ἀνακαινιζούσης, ὡς ἑκατέρων ἐν τῷ μέρει μεταλαγχάνουσαν, ἀδιαπτώτως ἀπὸ τοῦ ἑτέρου μεταβαίνειν ἐπὶ τὸ ἕτερον. τό τε γὰρ διαπαντὸς συντετάσθαι ταῖς ἐνεργείαις τὸ ζῶον, ῥῆξίν τινα καὶ διασπασμὸν τῶν ὑπερτεινομένων ποιεῖται μερῶν. ἥ τε διηνεκὴς τοῦ σώματος ἄνεσις διάπτωσίν τινα τοῦ συνεστῶτος καὶ λύσιν ἐργάζεται. τὸ δὲ κατὰ καιρὸν μετρίως ἑκατέρων ἐπιθιγγάνειν, δύναμις πρὸς διαμονήν ἐστι τῆς φύσεως, διὰ τῆς διηνεκοῦς πρὸς τὰ ἀντικείμενα μεταβάσεως, ἐν ἑκατέροις ἑαυτὴν ἀπὸ τῶν ἑτέρων ἀναπαυούσης. οὕτω τοίνυν τετονωμένον διὰ τῆς ἐγρηγόρσεως τὸ σῶμα λαβοῦσα, λύσιν ἐμποιεῖ διὰ τοῦ ὕπνου, τῷ τόνῳ τὰς αἰσθητικὰς δυνάμεις πρὸς καιρὸν ἐκ τῶν ἐνεργειῶν ἀναπαύσασα, οἷόν τινας ἵππους μετὰ τοὺς ἀγῶνας τῶν ἁρμάτων ἐκλύσασα. ἀναγκαία δὲ τῇ συστάσει τοῦ σώματος ἡ εὔκαιρος ἄνεσις, ὡς ἂν ἀκωλύτως ἐφ' ἅπαν τὸ σῶμα διὰ τῶν ἐν αὐτῷ πόρων

ἡ τροφὴ

ἡ τροφὴ διαχέοιτο, μηδενὸς τόνου τῇ διόδῳ παρεμποδίζοντος. καθάπερ γὰρ ἐκ τῆς διαβρόχου γῆς, ὅταν ἐπιλάμψῃ θερμοτέραις ἀκτῖσιν ὁ ἥλιος, ἀτμοί τινες ὁμιχλώδεις ἀπὸ τοῦ βάθους ἀνέλκονται, ὅμοιόν τι γίνεται καὶ ἐν τῇ καθ' ἡμᾶς γῇ, τῆς τροφῆς ἔσωθεν ὑπὸ τῆς φυσικῆς θερμότητος ἀναζεούσης. ἀνωφερεῖς δὲ ὄντες οἱ ἀτμοὶ κατὰ φύσιν καὶ ἀερώδεις καὶ πρὸς τὸ ὑπερκείμενον ἀναπνέοντες, ἐν τοῖς κατὰ τὴν κεφαλὴν γίνονται χωρίοις, οἷόν τις καπνὸς εἰς ἁρμονίαν τοίχου διαδυόμενος, εἶτα ἐντεῦθεν ἐπὶ τοὺς τῶν αἰσθητηρίων πόρους ἐξατμιζόμενοι διαφυρῶνται, δι' ὧν ἀργεῖ κατ' ἀνάγκην ἡ αἴσθησις, τῇ παρόδῳ τῶν ἀτμῶν ἐκείνων ὑπεξιοῦσα. αἱ μὲν γὰρ ὄψεις τοῖς βλεφάροις ἐπιλαμβάνονται, οἷον τινὸς μηχανικῆς μολιβδίνης, τοῦ τοιούτου λέγω βάρους, τοῖς ὀφθαλμοῖς ἐπιχαλώσης τὸ βλέφαρον. παχυνθεῖσα δὲ τοῖς αὐτοῖς τούτοις ἀτμοῖς ἡ ἀκοὴ καθάπερ θύρας τινὸς τοῖς ἀκουστικοῖς μορίοις ἐπιτεθείσης, ἡσυχίαν ἀπὸ τῆς κατὰ φύσιν ἐνεργείας ἄγει, καὶ τὸ τοιοῦτον πάθος ὕπνος ἐστὶν, ἀτρεμούσης ἐν τῷ σώματι τῆς αἰσθήσεως, καὶ παντάπασιν ἐκ τῆς κατὰ φύσιν κινήσεως ἀπρακτούσης, ὡς ἂν εὐπόρευτοι γίνωνται τῆς τροφῆς αἱ ἀναδόσεις, δι' ἑκάστου τῶν πόρων τοῖς ἀτμοῖς συνδιεξιοῦσαι. καὶ τούτου χάριν εἰ στενοχωροῖτο μὲν

ἀπὸ τῆς ἔνδοθεν ἀναθυμιάσεως ἡ περὶ τὰ αἰ-
σθητήρια διασκευή, κωλύοιτο δὲ κατά τινα χρείαν
ὁ ὕπνος, πλήρους γινόμενον τῶν ἀτμῶν τὸ νευ-
ρῶδες, αὐτὸ ὑφ᾽ ἑαυτοῦ φυσικῶς διατείνεται, ὡς
διὰ τῆς ἐκτάσεως τὸ παχυνθὲν ἀπὸ τῶν ἀτμῶν
μέρος ἐκλεπτυνθῆναι, οἷόν τι ποιοῦσιν οἱ διὰ τῆς
σφοδροτέρας στρεβλώσεως, τὸ ὕδωρ τῶν ἱμα-
τίων ἐκθλίβοντες. καὶ ἐπειδὴ κυκλοτερῆ τὰ
περὶ τὸν φάρυγγα μέρη, πλεονάζει δὲ τὸ νευρῶ-
δες ἐν τούτοις, ὅταν καὶ ἀπὸ τούτων ἐξωθῆναι
δέοι τὴν τῶν ἀτμῶν παχυμέρειαν, ἐπειδὴ ἀμή-
χανόν ἐστι δι᾽ εὐθείας ἀποτεῖναι τὸ κυκλοειδὲς μέ-
ρος, εἰ μὴ κατὰ τὸ περιφερὲς σχῆμα διαταθείη,
τούτου χάριν ἀπειληφθέντος ἐν τῷ χάσματι τοῦ
πνεύματος, ὅτε ὁ ἀνθερεὼν ὠθεῖ τὸ κάτω τοῖς γαρ-
γαρεῶσιν ὑποκοιλαίνεται, καὶ τῶν ἐντὸς πάντων
εἰς κύκλου σχῆμα διαταθέντων, ἡ λιγνυώδης ἐ-
κείνη παχύτης ἡ ἐναπειλημμένη τοῖς μέρεσι
συνδιαπνεῖται τῇ διεξόδῳ τοῦ πνεύματος. πολ-
λάκις δὲ καὶ μετὰ τὸν ὕπνον οἶδε τὸ τοιοῦτον συμ-
βαίνειν, ὅταν τι τῶν ἀτμῶν ἐκείνων περιλει-
φθείη τοῖς τόποις, ἄπεπτόν τε καὶ ἀδιάπνευστον.
ἐκ τούτου δείκνυσιν ὁ ἀνθρώπινος νοῦς ἐναρ-
γῶς, ὅτι τῆς φύσεως ἔχεται, συνεστώσης μὲν, καὶ
ἐγρηγορυίας, καὶ αὐτὸς συνεργῶν καὶ κινούμε-
νος. παρεθείσης δὲ τῷ ὕπνῳ, μένων ἀκίνητος. εἰ

μή τις

μή τις ἄρα τὴν ὀνειρώδη φαντασίαν νοῦ κίνη-
σιν ὑπολάβοι κατὰ τὸν ὕπνον ἐνεργουμένην.
ἡμεῖς δὲ φαμὲν, μόνην δεῖν τὴν ἔμφρονά τε καὶ
συνεστῶσαν τῆς διανοίας ἐνέργειαν ἐπὶ τὸν νοῦν
ἀναφέρειν. τὰς δὲ κατὰ τὸν ὕπνον φαντασιώ-
δεις φλυαρίας ἰνδάλματά τινα τῆς κατὰ τὸν
νοῦν ἐνεργείας, οἰόμεθα τῷ ἀλογωτέρῳ τῆς ψυ-
χῆς εἴδει κατὰ τὸ συμβὰν διαπλάττεσθαι. τῶν
γὰρ αἰσθήσεων τὴν ψυχὴν ἀπολυθεισῶν διὰ τοῦ
ὕπνου, καὶ τῶν κατὰ νοῦν ἐνεργειῶν ἐκτὸς εἶναι
κατ' ἀνάγκην συμβαίνει. διὰ γὰρ τούτων, πρὸς τὸν
ἄνθρωπον, ἡ τοῦ νοῦ συνανάκρασις γίνεται. τῶν
οὖν αἰσθήσεων παυσαμένων, ἀργεῖν ἀνάγκη
καὶ τὴν διάνοιαν. τεκμήριον δὲ τὸ, καὶ ἐν τόποις
τε καὶ ἀμηχάνοις πολλάκις δοκεῖν εἶναι τὸν φαν-
ταζόμενον, ὅπερ οὐκ ἂν ἐγένετο, λογισμῷ καὶ
διανοίᾳ τῆς ψυχῆς τηνικαῦτα διοικουμένης.
ἀλλά μοι δοκεῖ ταῖς προτιμοτέραις τῶν δυνά-
μεων τῆς ψυχῆς ἠρεμούσης, φημὶ δὲ τῆς κατὰ
τὸν νοῦν καὶ τὴν αἴσθησιν ἐνεργείας, μόνον τὸ
θρεπτικὸν αὐτῆς μέρος ἐνεργὸν κατὰ τὸν ὕπνον
εἶναι. ἐν δὲ τούτῳ τῶν καθ' ὕπαρ γινομένων εἴδω-
λά τινα, καὶ ἀπηχήματα τῶν τε κατ' αἴσθησιν, καὶ
τῶν κατὰ διάνοιαν ἐνεργουμένων, ἅπερ αὐτῇ διὰ
τοῦ μνημονευτικοῦ τῆς ψυχῆς εἴδους ἐνετυπώ-
θη, ταῦτα καθὼς ἔτυχεν ἀναζωγραφεῖσθαι ἀπη

σχήματός τινος μνημονικοῦ τῷ τοιούτῳ εἴδει τῆς ψυχῆς παραμείναντος. ἐν τούτοις οὖν φαντασιοῦται ὁ ἄνθρωπος, οὐχ εἱρμῷ τινι πρὸς τὴν τῶν φαινομένων ὁμιλίαν ἀγόμενος, ἀλλὰ πεφορημέναις τισὶ καὶ ἀκολούθοις ἀπάταις παραπλανώμενος. καθάπερ δὲ κατὰ τὰς σωματικὰς ἐνεργείας ἑκάστου τῶν μερῶν ἰδιαζόντως τι κατὰ τὴν ἐγκειμένην αὐτῷ φυσικῶς δύναμιν ἐνεργοῦντος, γίνεταί τις καὶ τοῦ ἠρεμοῦντος μέρους πρὸς τὸ κινούμενον συνδιάθεσις, ἀναλόγως καὶ ἐπὶ τῆς ψυχῆς, κἂν τὸ μὲν αὐτῆς ἠρεμῇ, τὸ δὲ κινούμενον τύχῃ, τὸ ὅλον τῷ μέρει συνδιατίθεται. οὐδὲ γὰρ ἐνδέχεται συνδιασπασθῆναι πάντῃ τὴν κατὰ φύσιν ἑνότητα, κρατούσης ἐν μέρει τινὸς τῶν κατ᾽ αὐτὴν δυνάμεων διὰ τῆς ἐνεργείας. ἀλλ᾽ ὥσπερ ἐγρηγορότων τε, καὶ σπουδαζόντων ἐπικρατεῖ μὲν ὁ νοῦς, ὑπηρετεῖ δὲ ἡ αἴσθησις, οὐκ ἀπολείπεται δὲ τούτων ἡ διοικητικὴ τοῦ σώματος δύναμις, ὁ μὲν γὰρ νοῦς πορίζει τὴν τροφὴν τῇ χρείᾳ, ἡ δὲ αἴσθησις τὸ πορισθὲν ὑπεδέξατο, ἡ δὲ θρεπτικὴ τοῦ σώματος δύναμις ἑαυτῇ τὸ δοθὲν προσῳκείωσεν, οὕτω καὶ κατὰ τὸν ὕπνον ἀντιμεθίσταταί πως ἐν ἡμῖν ἡ τῶν δυνάμεων τούτων ἡγεμονία. καὶ κρατοῦντος τοῦ ἀλογωτέρου, παύεται μὲν ἡ τῶν ἑτέρων ἐνέργεια, οὐ μὴν παντελῶς ἀποσβέννυται. ἐπειγομένης δὲ τηνι-

καῦται διὰ τοῦ ὕπνου πρὸς τὴν πέψιν τῆς θρεπτικῆς δυνάμεως, καὶ πᾶσαν τὴν φύσιν πρὸς ἑαυτὴν ἀσχολούσης, οὔτε παντελῶς διασπᾶται ταύτης ἡ κατ' αἴσθησιν δύναμις, οὐ γὰρ ἐνδέχεται τὸ ἅπαξ συμπεφυκὸς διατέμνεσθαι, οὔτε ἀναλάμπειν αὐτῆς ἡ ἐνέργεια δύναται, τῇ τῶν αἰσθητηρίων ἀργίᾳ κατὰ τὸν ὕπνον ἐμπεδηθεῖσα. κατὰ τὸν αὐτὸν δὲ λόγον, καὶ τοῦ νοῦ πρὸς τὸ αἰσθητικὸν εἶδος τῆς ψυχῆς οἰκειουμένου, ἀκόλουθον ἂν εἴη, καὶ κινουμένου τούτου, συγκινεῖσθαι λέγειν αὐτὸν, καὶ ἠρεμοῦντος, συγκαταπαύεσθαι. οἷον δέ τι περὶ τὸ πῦρ γίνεσθαι πέφυκεν, ὅταν μὲν ὑποκρυφθῇ τοῖς ἀχύροις ἁπανταχόθεν, μηδεμιᾶς ἀναπνοῆς ἀναρριπιζούσης τὴν φλόγα, οὔτε τὰ προσπαρακείμενα νέμεται, οὔτε παντελῶς κατασβέννυται, ἀλλ' ἀντὶ φλογὸς, ἀτμός τις διὰ τῶν ἀχύρων ἐπὶ τὸν ἀέρα διέξεισιν, εἰ δέ τινος λάβοιτο διαπνοῆς, φλόγα τὸν καπνὸν ἀπεργάζεται, τὸν αὐτὸν τρόπον καὶ ὁ νοῦς τῇ ἀπραξίᾳ τῶν αἰσθήσεων κατὰ τὸν ὕπνον συγκαλυφθεὶς, οὔτε ἐκλάμπειν δι' αὐτῶν δυνατῶς ἔχει, οὔτε μὴν παντελῶς κατασβέννυται, ἀλλ' οἷον καπνοειδῶς κινεῖται. τὸ μέν τι ἐνεργῶν, τὸ δὲ οὐ δυνάμενος. καὶ ὥσπερ τις μουσικὸς κεχαλασμέναις ταῖς χορδαῖς τῆς λύρας ἐμβαλὼν τὸ πλῆκτρον, οὐ κατ' ἀριθμὸν προάγει τὸ μέλος, οὐ

γὰρ ἂν τὸ μὴ συντεταμένον ἠχήσειεν, ἀλλ' ἡ μὲν χεὶρ τεχνικῶς πολλάκις κινεῖται, πρὸς τὴν τοπικὴν θέσιν τῶν τόνων τὸ πλῆκτρον ἄγουσα, τὸ δὲ ἠχοῦν, οὐκ ἔστιν, εἰ μὴ ὅσον ἄσημόν τινα καὶ ἀσύντακτον ἐν τῇ κινήσει τῶν χορδῶν ὑπηχεῖ τὸν βόμβον. οὕτω διὰ τοῦ ὕπνου τῆς ὀργανικῆς τῶν αἰσθητηρίων κατασκευῆς χαλασθείσης, ἢ καθόλου ἠρεμεῖ ὁ τεχνίτης, εἴπερ τελείαν λύσιν ἐκπληθώρας τινὸς ἢ βαρύτητος πάθοι τὸ ὄργανον, ἢ ἀτόνως τε καὶ ἀμυδρῶς ἐνεργήσει, οὐχ ὑποδεχομένου τοῦ αἰσθητικοῦ ὀργάνου δι' ἀκριβείας τὴν τέχνην. διὰ τοῦτο ἥ τε μνήμη συγκεχυμένη καὶ ἡ πρόγνωσις προκαλύμμασί τισιν ἀμφιβόλοις ἐπιστάζουσα ἐν εἰδώλοις τῶν καθ' ὕπαρ σπουδαζομένων φαντάζεται, καί τι τῶν ἐκβαινόντων πολλάκις ἐμήνυσε. τῷ γὰρ λεπτῷ τῆς φύσεως, ἔχει τι πλέον παρὰ τὴν σωματικὴν παχυμέρειαν εἰς τὸ καθορᾶν τι τῶν ὄντων δύνασθαι. οὐ μὴν δι' εὐθείας τινὸς δύναται διασαφεῖν τὸ λεγόμενον, ὡς τηλαυγῆ τε, καὶ πρόδηλον εἶναι τὴν τῶν προκειμένων διδασκαλίαν. ἀλλὰ λοξὴ καὶ ἀμφίβολος τοῦ μέλλοντος ἡ δήλωσις γίνεται. ὅπερ αἴνιγμα λέγουσιν οἱ τὰ τοιαῦτα ὑποκρινόμενοι. οὕτως ὁ οἰνοχόος ἐκθλίβει τὸν βότρυν τῇ κύλικι τοῦ φαραὼ, οὕτω κανηφορεῖν ὁ σιτοποιὸς ἐφαντάσθη, ἐν οἷς καθ' ὕπαρ ἑκάτερος τὴν σπουδὴν

εἶχεν

εἶχεν ἐν τούτοις εἶναι καὶ διὰ τῶν ὀνείρων οἰόμενος. τῶν γὰρ συνήθων αὐτοῖς ἐπιτηδευμάτων τὰ εἴδωλα τῷ προγνωστικῷ τῆς ψυχῆς ἐντυπωθέντα, παρέχειν ἤδη καιροῦ τῶν ἐκβησομένων διὰ τῆς τοιαύτης τοῦ νοῦ προφητείας καταμαντεύσασθαι. ὁ δὲ δανιὴλ καὶ ἰωσὴφ, καὶ οἱ κατ' ἐκείνους θείᾳ δυνάμει, μηδεμιᾶς αὐτοῖς ἐπιθολούσης αἰσθήσεως τὴν τῶν μελλόντων γνῶσιν προεπαιδεύοντο, οὐδὲν ἔχει πρὸς τὸν προκείμενον λόγον. οὐδὲ γὰρ ἄν τις ταῦτα τῇ δυνάμει τῶν ἐνυπνίων λογίσαιτο, ἐπεὶ πάντως ἐκ τοῦ ἀκολούθου καὶ τὰς καθ' ὕπαρ γινομένας θεοφανείας, οὐκ ὀπτασίαν, ἀλλὰ φύσεως ἀκολουθίαν κατὰ τὸ αὐτόματον ἐνεργουμένην οἰήσεται. ὥσπερ τοίνυν πάντων ἀνθρώπων κατὰ τὸν ἴδιον νοῦν διοικουμένων, ὀλίγοι τινές εἰσιν οἱ τῆς θείας ὁμιλίας ἐκ τοῦ ἐμφανοῦς ἀξιούμενοι, οὕτω κοινῶς πᾶσι καὶ ὁμοτίμως τῆς ἐν ὕπνοις φαντασίας κατὰ φύσιν ἐγγινομένης, μετέχουσι τινὲς, οὐχὶ πάντες, θειοτέρας τινὸς διὰ τῶν ὀνείρων τῆς ἐμφανείας. τοῖς δ' ἄλλοις πᾶσι, κἂν γένηταί τις ἐξ ἐνυπνίων περί τι πρόγνωσις, κατὰ τὸν εἰρημένον γίνεται τρόπον. εἰ δὲ καὶ ὁ αἰγύπτιος, καὶ ὁ ἀσσύριος τύραννος θεόθεν πρὸς τὴν τῶν μελλόντων ὡδηγοῦντο γνῶσιν, ἕτερον ἐστὶ τὸ διὰ τούτων οἰκονομούμενον. φανερωθῆναι γὰρ ἔδει κεκρυμμένην τὴν τῶν

ἁγίων σοφίαν, ὡς ἂν μὴ ἄχρηστος τῷ κοινῷ παρα-
δράμῃ τὸν βίον. πῶς γὰρ ἐγνώσθη τοιοῦτος ὢν δα-
νιὴλ, μὴ τῶν ἐπαοιδῶν καὶ μάγων πρὸς τὴν εὕρε-
σιν τῆς φαντασίας ἀτονησάντων; πῶς δ' ἂν πε-
ριεσώθη τὸ αἰγύπτιον, ἐν δεσμωτηρίῳ καθειρ-
γμένου τοῦ ἰωσὴφ, εἰ μὴ παρήγαγεν εἰς μέσον αὐ-
τὸν ἡ τοῦ ἐνυπνίου κρίσις; οὐκοῦν ἄλλο τι ταῦ-
τα, καὶ οὐχὶ κατὰ τὰς κοινὰς φαντασίας λο-
γίζεσθαι χρή. ἡ δὲ συνήθης αὕτη τῶν ὀνείρων
ὄψις κοινὴ πάντων ἐστὶ, πολυτρόπως, καὶ πολυει-
δῶς ταῖς φαντασίαις ἐγγινομένη. ἢ γὰρ παρα-
μένει, καθὼς εἴρηται, τῷ μνημονικῷ τῆς ψυ-
χῆς τῶν μεθημερινῶν ἐπιτηδευμάτων τὰ ἀπη-
χήματα, ἢ πολλάκις καὶ πρὸς τὰς ποιὰς τοῦ σώ-
ματος διαθέσεις ἡ τῶν ἐνυπνίων κατάστασις ἀ-
νατυποῦται. οὕτω γὰρ ὁ διψώδης ἐν πηγαῖς εἶναι
δοκεῖ, καὶ ἐν εὐωχίαις ὁ τροφῆς προσδεόμενος,
καὶ ὁ νέος σφριγώσης αὐτῷ τῆς ἡλικίας, καταλ-
λήλως τῷ πάθει φαντασιοῦται. ἔγνων δὲ καὶ
ἄλλην ἐγὼ τῶν καθ' ὕπνον γινομένων αἰτίαν, θε-
ραπεύων τινὰ τῶν ἐπιτηδείων ἑαλωκότα φρε-
νίτιδι, ὃς βαρούμενος τῇ τροφῇ πλείονι, τῆς δυ-
νάμεως αὐτοῦ προσενεχθείσης ἐβόα, τοὺς περιεστῶ-
τας μεμφόμενος, ὅτι ἔντερα κόπρου πληρώ-
σαντες εἶεν ἐπιτεθεικότες αὐτῷ. καὶ ἤδη τοῦ σώ-
ματος αὐτῷ πρὸς ἱδρῶτα σπεύδοντος, ᾐτιᾶτο

τοὺς παρόντας ὕδωρ ἔχειν ἡτοιμασμένον, ἐφ' ᾧ τε καταβρέξαι κείμενον, καὶ οὐκ ἐνεδίδου βοῶν, ἕως ἡ ἔκβασις τῶν τοιούτων μέμψεων τὰς αἰτίας ἡρμήνευσεν. ἀθρόως γὰρ ἱδρώς τε πολὺς ἐπερρύη τῷ σώματι, καὶ ἡ γαστὴρ ὑποφθαρεῖσα, τὴν ἐν τοῖς ἐντέροις βαρύτητα διεσήμανεν. ὅπερ τοίνυν ἀμβλυωθείσης ὑπὸ τῆς νόσου τῆς νήψεως ἔπασχεν ἡ φύσις συνδιατιθεμένη τῷ πάθει τοῦ σώματος, τοῦ μὲν ὀχλοῦντος οὐκ ἀναισθήτως ἔχουσα, διασαφῆσαι δὲ τὸ λυποῦν ἐναργῶς, διὰ τὴν ἐκ τῆς νόσου παραφορὰν οὐκ ἰσχύουσα, ὅπερ κατὰ τὸ εἰκὸς, εἰ μὴ ἐξ ἀρρωστίας, ἀλλὰ τῷ κατὰ φύσιν ὕπνῳ τὸ διανοητικὸν τῆς ψυχῆς κατηυνάσθη, ἐνύπνιον ἂν τῷ οὕτως διακειμένῳ ἐγίνετο, ὕδατι μὲν, τῆς τοῦ ἱδρῶτος ἐπιρροῆς, ἐντέρων δὲ βάρει, τῆς κατὰ τὴν στροφὴν ἀχθηδόνος σημαινομένης. ὅπερ καὶ πολλοῖς τῶν τὴν ἰατρικὴν πεπαιδευμένων δοκεῖ, παρὰ τὰς τῶν παθημάτων διαφορὰς καὶ τὰς τῶν ἐνυπνίων ὄψεις τοῖς κάμνουσι γίνεσθαι. ἄλλας μὲν τῶν στομαχούντων, ἑτέρας δὲ τῶν κεκακωμένων τὰς μήνιγγας, καὶ τῶν ἐν πυρετοῖς πάλιν ἑτέρας. τῶν τε κατὰ χολὴν, καὶ τῶν ἐν φλέγματι κακουμένων, οὐ τὰς αὐτάς. καὶ τῶν πληθουσικῶν, καὶ τῶν ἐκτετηκότων πάλιν ἄλλας. ἐξ ὧν ἐστιν ἰδεῖν, ὅτι ἡ θρεπτική τε καὶ αὐξητικὴ δύναμις τῆς ψυχῆς ἔ-

χῆ τι καὶ τοῦ νοθροῦ συγκατεσπαρμένον αὐτῇ διὰ τῆς ἀνακράσεως ὁ τῇ ποιᾷ διαθέσει τοῦ σώματος τρόπον τινὰ συνομοιοῦται, κατὰ τὸ ἐπικρατοῦν πάθος ταῖς φαντασίαις μεθαρμοζόμενον. ἔτι δὲ καὶ πρὸς τὰς τῶν ἠθῶν καταστάσεις τυποῦται τοῖς πολλοῖς τὰ ἐνύπνια. ἄλλα τοῦ ἀνδρείου, καὶ ἄλλα τοῦ δειλοῦ τὰ φαντάσματα. ἄλλοι τοῦ ἀκολάστου ὄνειροι, καὶ ἄλλοι τοῦ σώφρονος. ἐν ἑτέροις ὁ μεταδοτικὸς, καὶ ἐν ἑτέροις φαντασιοῦται ὁ ἄπληστος. οὐδαμοῦ τῆς διανοίας, ἀλλὰ τῆς ἀλογωτέρας διαθέσεως ἐν τῇ ψυχῇ τὰς τοιαύτας φαντασίας ἀνατυπούσης, οἷς προεθίσθη διὰ τῆς καθ' ὕπαρ μελέτης, τούτων τὰς εἰκόνας καὶ ἐν τοῖς ἐνυπνίοις ἀναπλαττούσης.

Ὅτι οὐκ ἐν μέρει τοῦ σώματος ὁ νοῦς, ἐν ᾧ καὶ διάκρισις τῶν τε σωματικῶν καὶ ψυχικῶν κινημάτων.

Ἀλλὰ πολὺ τῶν προκειμένων ἀπεπλανήθημεν. δεῖξαι γὰρ ἡμῖν ὁ λόγος προέθετο τὸ, μὴ μέρει τινὶ τοῦ σώματος ἐνδεδέσθαι τὸν νοῦν, ἀλλὰ παντὸς κατὰ τὸ ἴσον ἐφάπτεσθαι, καταλλήλως τῇ φύσει τοῦ ὑποκειμένου μέρους ἐνεργοῦντα τὴν κίνησιν. ἔστι δὲ ὅπου καὶ ἐπακολουθεῖ ταῖς φυσικαῖς ὁρμαῖς ὁ νοῦς, οἷον ὑπηρέτης γινόμενος. καθη-

γεῖται γὰρ πολλάκις ἡ τοῦ σώματος φύσις, καὶ τοῦ λυποῦντος αἴσθησις, ἐντιθεῖσα καὶ τοῦ εὐφραίνοντος ἐπιθυμίαν. ὥστε ταύτην μὲν τὰς πρώτας παρέχειν ἀρχὰς ἢ βρώσεως ὄρεξιν, ἢ τινος ὅλως τῶν καθ' ἡδονὴν τὴν ὁρμὴν ἐμποιοῦσαν. τὸν δὲ νοῦν ἐκδεχόμενον τὰς τοιαύτας ὁρμὰς ταῖς οἰκείαις περινοίαις, τὰς πρὸς τὸ ποθούμενον ἀφορμὰς συνεκπορίζειν τῷ σώματι. τὸ δὲ τοιοῦτον οὐκ ἐπὶ πάντων ἐστὶν, ἀλλὰ μόνων τῶν ἀνδραποδωδέστερον διακειμένων. οἱ δουλώσαντες τὸν λόγον ταῖς ὁρμαῖς τῆς φύσεως, διὰ τῆς τοῦ νοῦ συμμαχίας, τὸ κατὰ τὰς αἰσθήσεις ἡδὺ δουλοπρεπῶς κολακεύουσιν. ἐπεὶ δὲ τῶν τελειοτέρων οὐχ οὕτως γίνεται. καθηγεῖται γὰρ ὁ νοῦς λόγῳ, καὶ οὐχὶ πάθει, τὸ λυσιτελὲς προαιρούμενος. ἡ δὲ φύσις κατ' ἴχνος ἕπεται τῷ προκαθηγουμένῳ. ἐπειδὴ δὲ τρεῖς κατὰ τὴν ζωτικὴν δύναμιν διαφορὰς ὁ λόγος εὗρε, τὴν μὲν τρεφομένην χωρὶς αἰσθήσεως, τὴν δὲ τρεφομένην μὲν, καὶ αἰσθανομένην, ἀμοιροῦσαν δὲ τῆς λογικῆς ἐνεργείας, τὴν δὲ λογικὴν καὶ τελείαν δι' ἁπάσης διήκουσαν τῆς δυνάμεως, ὡς καὶ ἐν ἐκείναις εἶναι καὶ τῆς νοερᾶς τὸ πλέον ἔχειν, μηδεὶς διὰ τούτων ὑπονοείτω τρεῖς συγκεκροτῆσθαι ψυχὰς ἐν τῷ ἀνθρωπίνῳ συγκείματι ἐν ἰδίαις περιγραφαῖς θεωρουμένας, ὥστε συγκρότημά τι πολλῶν

ψυχῶν τὴν ἀνθρωπίνην φύσιν εἶναι νομίζειν. ἀλλ' ἡ μὲν ἀληθής τε καὶ τελεία, ψυχὴ μία τῇ φύσει ἐστὶν, ἡ νοερά τε καὶ ἄϋλος, ἡ διὰ τῶν αἰσθήσεων τῇ ὑλικῇ κατὰ μιγνυμένη φύσει. τὸ δὲ ὑλῶδες ἅπαν ἐν τροπῇ τε καὶ ἀλλοιώσει κείμενον, εἰ μὲν μετέχοι τῆς ψυχούσης δυνάμεως, κατὰ αὔξησιν κινηθήσεται. εἰ δὲ ἀποπέσοι τῆς ζωτικῆς ἐνεργείας, εἰς φθορὰν ἀναλύσει τὴν κίνησιν. οὔτε οὖν αἴσθησις χωρὶς ὑλικῆς οὐσίας, οὔτε τῆς νοερᾶς δυνάμεως χωρὶς αἰσθήσεως ἐνέργεια γίνεται.

ὅτι κυρίως ψυχὴ, ἡ λογική καὶ ἔστι, καὶ λέγεται. αἱ δ' ἄλλαι ὁμωνύμως κατονομάζονται. ἐν ᾧ καὶ τὸ, διὰ παντὸς τοῦ σώματος διήκειν τὴν τοῦ νοῦ δύναμιν, κατάλλήλως ἑκάστου μέρους προσαπτομένην.

Εἰ δέ τινα τῆς κτίσεως, τὴν θρεπτικὴν ἐνέργειαν ἔχει, ἢ πάλιν, ἕτερα τῇ αἰσθητικῇ διοικεῖται δυνάμει, μήτε ἐκεῖνα αἰσθήσεως, μήτε ταῦτα τῆς νοερᾶς μετέχοντα φύσεως, καὶ διὰ τοῦτο τις ψυχῶν πλῆθος καθυποπτεύει, οὐ κατὰ τὸν διαιροῦντα λόγον ὁ τοιοῦτος τὴν τῶν ψυχῶν διαφορὰν δογματίσει. διότι πᾶν τὸ ἐν τοῖς οὖσι νοούμενον, εἰ μὲν τελείως εἴη ὅπερ ἐστὶ, κυρίως καὶ ὀνομάζεται ὅπερ λέγεται. τὸ δὲ μὴ

διὰ πάντων ὂν ἐκεῖνο, ὃ κατωνόμασται, ματαίαν
καὶ τὴν προσηγορίαν ἔχει. οἷον εἴ τις τὸν ἀληθῆ
δείξειεν ἄρτον, φαμὲν τὸν τοιοῦτον κυρίως ἐπι-
λέγειν τῷ ὑποκειμένῳ τὸ ὄνομα. εἰ δέ τις τὸν ἀπὸ λί-
θου τεχνηθέντα τῷ κατὰ φύσιν ἀντιπαραδεί-
ξειεν, ᾧ σχῆμα μὲν τὸ αὐτὸ, καὶ τὸ μέγεθος ἴσον,
καὶ ἡ τοῦ χρώματος ὁμοιότης, ὥστε διὰ τῶν πλεί-
στων τὸν αὐτὸν εἶναι τῷ πρωτοτύπῳ δοκεῖν,
ἐπιλείπει δὲ αὐτῷ τὸ καὶ τροφὴν δύνασθαι εἶναι,
παρὰ τοῦτο οὐ κυρίως, ἀλλ᾽ ἐκ καταχρήσεως τῆς
ἐπωνυμίας τοῦ ἄρτου τετυχηκέναι τὸν λίθον
λέγομεν. καὶ πάντα τὰ κατὰ τὸν αὐτὸν λόγον,
ἃ μὴ δι᾽ ὅλων ἐστὶν ὅπερ λέγεται, ἐκ καταχρή-
σεως ἔχει τὴν κλῆσιν. οὕτω τοίνυν καὶ τῆς ψυ-
χῆς ἐν τῷ νοερῷ τε καὶ λογικῷ τὸ τέλειον ἐχού-
σης, πᾶν ὃ μὴ τοῦτο ἐστὶν, ὁμώνυμον μὲν εἶναι
δύναται τῇ ψυχῇ, οὐ μὴν καὶ ὄντως ψυχὴ, ἀλ-
λά τις ἐνέργεια ζωτικὴ, τῇ τῆς ψυχῆς κλήσει
συγκεκλημένη. διὸ καὶ τὴν τῶν ἀλόγων φύσιν,
ὡς οὐ πόῤῥω τῆς φυσικῆς ταύτης ζωῆς κειμένην,
ὁμοίως ἔδωκε τῇ χρήσει τοῦ ἀνθρώπου ὁ τὰ καθ᾽ ἕ-
καστον νομοθετήσας, ὡς ἀντὶ λαχάνου τοῖς μετέ-
χουσιν εἶναι. πάντα γάρ φησι τὰ κρέα φάγε-
σθε ὡς λάχανα χόρτου. μικρὸν γάρ τι πλεονε-
κτεῖν δοκεῖ τῇ αἰσθητικῇ ἐνεργείᾳ, τοῦ δίχα ταύ-
της τρεφομένου τε καὶ αὐξανομένου. παιδευσά

τῷ περὶ τὸ φιλόσαρκον. μὴ πολὺ χρῆναι κατ' αἴσθησιν φαινομένοις προσδραμεῖν τὴν διάνοιαν, ἀλλ' ἐν τοῖς ψυχικοῖς προτερήμασι προσασχολεῖσθαι, ὡς τῆς ἀληθοῦς ψυχῆς ἐν τούτοις θεωρουμένης, τῆς δὲ αἰσθήσεως καὶ ἐν τοῖς ἀλόγοις τὸ ἴσον ἐχούσης. ἀλλ' ἐφ' ἕτερον ἡ ἀκολουθία παρηνέχθη τοῦ λόγου. οὐ γὰρ τοῦτο τῇ θεωρίᾳ προέκειτο, ὅτι προτιμότερον τῶν ἐν τῷ ἀνθρώπῳ νοουμένων ἐστὶν ἡ κατὰ νοῦν ἐνέργεια, ἢ τὸ ὑλικὸν τῆς ὑποστάσεως, ἀλλ' ὅτι οὐχὶ μορίῳ τινὶ τῶν ἐν ἡμῖν ὁ νοῦς περιέχεται, ἀλλ' ἐπίσης ἐν πᾶσι, καὶ διὰ πάντων ἐστίν. οὔτε ἔξωθεν περιλαμβάνων, οὔτε ἔνδοθεν κρατούμενος. ταῦτα γὰρ ἐπὶ κάδων, ἢ ἄλλων τινῶν σωμάτων ἀλλήλοις ἐντιθεμένων κυρίως λέγεται. ἡ δὲ τοῦ νοῦ πρὸς τὸ σωματικὸν κοινωνία ἄφραστόν τε καὶ ἀνεπινόητον τὴν συνάφειαν ἔχει. οὔτε ἐντὸς οὖσα, οὔτε γὰρ ἐγκρατεῖται σώματι τὸ ἀσώματον, οὔτε ἐκτὸς περιέχουσα. οὐ γὰρ περιλαμβάνεται τὰ ἀσώματα. ἀλλὰ κατά τινα τρόπον ἀμήχανόν τε καὶ ἀκατανόητον ἐγγίζων ὁ νοῦς τῇ φύσει καὶ προσαπτόμενος, καὶ ἐν αὐτῇ, καὶ περὶ αὐτὴν θεωρεῖται, οὔτε ἐγκαθήμενος, οὔτε περιπτυσσόμενος, ἀλλ' ὡς οὐκ ἔστιν εἰπεῖν, ἢ νοῆσαι. πλὴν ὅτι κατὰ τὸν ἴδιον αὐτῆς εἱρμὸν εὐοδουμένης τῆς φύσεως, καὶ ὁ νοῦς ἐνεργὸς γίνεται. εἰ δέ τι πλημ-

μέλημα περὶ ταύτην συμπέσοι, σκάζει κατ' ἐκεῖνο καὶ τῆς διανοίας ἡ κίνησις.

Θεωρία τοῦ θείου ῥητοῦ τοῦ εἰπόντος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν, ἐν ᾧ ἐξετάζεται, τίς ὁ τῆς εἰκόνος λόγος, καὶ εἰ ὁμοιοῦται τῷ μακαρίῳ τε καὶ ἀπαθεῖ, τὸ ἐμπαθὲς καὶ ἐπίκηρον. καὶ πῶς ἐν τῇ εἰκόνι τὸ ἄῤῥεν καὶ τὸ θῆλυ, ἐν τῷ πρωτοτύπῳ τούτων οὐκ ὄντων.

Ἀλλ' ἐπαναλάβωμεν πάλιν τὴν θείαν φωνὴν, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. ὡς μικρά τε καὶ ἀνάξια τῆς τοῦ ἀνθρώπου μεγαλοφυΐας τῶν ἔξωθέν τινες ἐφαντάσθησαν, τῇ πρὸς τὸν κόσμον τοῦτον συγκείσει μεγαλύνοντες, ὡς ᾤοντο, τὸ ἀνθρώπινον. φασὶ γὰρ μικρὸν εἶναι κόσμον τὸν ἄνθρωπον, ἐκ τῶν αὐτῶν τῷ παντὶ στοιχείων συνεστηκότα. οἱ γὰρ τῷ κόμπῳ τοῦ ὀνόματος τοιοῦτον ἔπαινον τῇ ἀνθρωπίνῃ χαριζόμενοι φύσει, λελήθασιν, ἑαυτοὺς τοῖς περὶ τὸν κώνωπα, καὶ τὸν μῦν ἰδιώμασι σεμνοποιοῦντες τὸν ἄνθρωπον. καὶ γὰρ κἀκείνοις ἐκ τῶν τεσσάρων τούτων ἡ κρᾶσις ἐστὶ, διότι πάντως ἑκάστου τῶν ὄντων ἢ πλείων, ἢ ἐλάττων τις μοῖρα περὶ τὸ ἔμψυχον θεωρεῖται. ὧν ἄνευ, συστῆναί τι τῶν αἰσθήσεως μετεχόντων φύσιν, οὐκ ἔχει.

τί οὖν μέγα, κόσμου χαρακτῆρα καὶ ὁμοίωμα νομισθῆναι τὸν ἄνθρωπον; οὐρανοῦ τοῦ περιτρεχομένου, γῆς τῆς ἀλλοιουμένης, πάντων τῶν ἐν τούτοις περικρατουμένων τῇ παρόδῳ τοῦ περιέχοντος συμπαρερχομένων; ἀλλ' ἐν τίνι κατὰ τὸν ἐκκλησιαστικὸν λόγον τὸ ἀνθρώπινον μέγεθος; οὐκ ἐν τῇ πρὸς τὸν κτιστὸν κόσμον ὁμοιότητι, ἀλλ' ἐν τῷ κατ' εἰκόνα γενέσθαι τῆς τοῦ κτίσαντος φύσεως. τίς οὖν ὁ τῆς εἰκόνος λόγος; ἴσως ἐρεῖς. πῶς ὁμοιοῦται τῷ σώματι τὸ ἀσώματον; πῶς τῷ ἀϊδίῳ τὸ πρόσκαιρον; τῷ ἀναλλοιώτῳ, τὸ διὰ τροπῆς ἀλλοιούμενον; τῷ ἀπαθεῖ τε καὶ ἀφθάρτῳ, τὸ ἐμπαθὲς καὶ φθειρόμενον; τῷ ἀμιγεῖ πάσης κακίας, τὸ πάντοτε συνοικοῦν ταύτῃ καὶ συντρεφόμενον; πολὺ γάρ τὸ μέσον ἐστὶ, τοῦ τε κατὰ τὸ ἀρχέτυπον νοουμένου, καὶ τοῦ κατ' εἰκόνα γεγενημένου. ἡ γὰρ εἰκὼν εἰ μὲν ἔχει τὴν πρὸς τὸ πρωτότυπον ὁμοιότητα, κυρίως τοῦτο κατονομάζεται. εἰ δὲ παρενεχθείη τοῦ προκειμένου ἡ μίμησις, ἄλλό τι, καὶ οὐκ εἰκὼν ἐκείνου, τὸ τοιοῦτόν ἐστι. πῶς οὖν ὁ ἄνθρωπος, τὸ θνητὸν τοῦτο, καὶ ἐμπαθὲς, καὶ ὠκύμορον, τῆς ἀκηράτου καὶ καθαρᾶς, καὶ ἀεὶ οὔσης φύσεως ἐστὶν εἰκών; ἀλλὰ τὸν μὲν ἀληθῆ περὶ τούτου λόγον, μόνη ἂν εἰδείη σαφῶς ἡ ὄντως ἀλήθεια. ἡμεῖς δὲ καθόσον χωροῦμεν, στοχασμοῖς τισι καὶ ὑπονοίαις τὸ ἀληθὲς ἀνιχνεύοντες, ταῦτα

περὶ τῶν ζητουμένων ὑπολαμβάνομεν. οὔτε ὁ θεῖος ψεύδεται λόγος, καθ' εἰκόνα θεοῦ εἰπὼν γεγενῆσθαι τὸν ἄνθρωπον, οὔτε ἡ ἐλεεινὴ τῆς ἀνθρωπίνης φύσεως ταλαιπωρία τῇ μακαριότητι τῆς ἀπαθοῦς ζωῆς καθωμοίωται, ἀνάγκη γὰρ τῶν δύο, τὸ ἕτερον ὁμολογεῖσθαι, εἴ τις συγκρίνοι τῷ θεῷ τὸ ἡμέτερον, ἢ παθητὸν εἶναι τὸ θεῖον, ἢ ἀπαθὲς τὸ ἀνθρώπινον, ὡς ἂν διὰ τῶν ἴσων ὁ τῆς ὁμοιότητος λόγος ἐπ' ἀμφοτέροις καταλαμβάνοιτο. εἰ δὲ οὔτε τὸ θεῖον ἐμπαθὲς, οὔτε τὸ καθ' ἡμᾶς ἔξω πάθους ἐστὶν, ἄρα τις ἕτερος ὑπολείπεται λόγος, καθ' ὃν ἀληθεύειν φαμὲν τὴν θείαν φωνὴν, τὴν ἐν εἰκόνι θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον λέγουσαν. οὐκοῦν αὐτὴν ἐπαναληπτέον ἡμῖν τὴν θείαν γραφήν. εἴ τις ἄρα γένοιτο διὰ τῶν γεγραμμένων πρὸς τὸ ζητούμενον χειραγωγία. μετὰ τὸ εἰπεῖν, ὅτι ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ ἐπὶ τίσι ποιήσωμεν, ἐπάγει τοῦτον τὸν λόγον, ὅτι καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. εἴρηται μὲν οὖν ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν, ὅτι πρὸς καθαίρεσιν τῆς αἱρετικῆς ἀσεβείας ὁ τοιοῦτος προαναπεφώνηται λόγος. ἵνα διδαχθέντες, ὅτι ἐποίησε τὸν ἄνθρωπον ὁ μονογενὴς θεὸς κατ' εἰκόνα θεοῦ, μηδενὶ λόγῳ τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ διακρίνωμεν,

ἐπίσης τῆς ἁγίας γραφῆς θεὸν ἑκάτερον ὀνομα-
ζούσης, τόν τε πεποιηκότα τὸν ἄνθρωπον, καὶ οὗ
κατ' εἰκόνα ἐγένετο. ἀλλ' ὁ μὲν περὶ τούτων λό-
γος ἀφείσθω. πρὸς δὲ τὸ προκείμενον ἐπιστρε-
πτέον τὴν ζήτησιν. πῶς καὶ τὸ θεῖον μακάριον, καὶ
ἐλεεινὸν τὸ ἀνθρώπινον, καὶ ὅμοιον ἐκείνῳ τοῦτο πα-
ρὰ τῆς γραφῆς ὀνομάζεται. οὐκοῦν ἐξεταστέον
μετὰ ἀκριβείας τὰ ῥήματα. εὑρίσκομεν γὰρ,
ὅτι ἕτερον μέν τι τὸ κατ' εἰκόνα γενόμενον, ἕτε-
ρον δὲ τὸ νῦν ἐν ταλαιπωρίᾳ δεικνύμενον. ἐ-
ποίησεν ὁ θεὸς, φησὶ, τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ
ἐποίησεν αὐτόν. τέλος ἔχει ἡ τοῦ κατ' εἰκόνα γεγε-
νημένου κτίσις. εἶτα ἐπανάληψιν ποιεῖται τοῦ
κατὰ τὴν κατασκευὴν λόγου, καὶ φησὶν, ἄρσεν
καὶ θῆλυ ἐποίησεν αὐτούς. παντὶ γὰρ οἶμαι γνώ-
ριμον εἶναι, ὅτι ἔξω τοῦτο τοῦ πρωτοτύπου νοεῖ-
ται. ἐν γὰρ χριστῷ ἰησοῦ, καθὼς φησιν ὁ ἀπόστολος,
οὔτε ἄρρεν, οὔτε θῆλυ ἐστίν. ἀλλὰ μὴν εἰς ταῦτα
διῃρῆσθαι ὁ λόγος φησὶ τὸν ἄνθρωπον. οὐκοῦν δι-
πλῆ τις ἐστὶν ἡ τῆς φύσεως ἡμῶν κατασκευή, ἥ
τε πρὸς τὸ θεῖον ὁμοιωμένη, ἥ τε πρὸς τὴν διαφο-
ρὰν ταύτην διῃρημένη. τοιοῦτον γάρ τι ὁ λόγος
ἐκ τῆς συντάξεως τῶν γεγραμμένων αἰνίττεται.
πρῶτον μὲν εἰπὼν, ὅτι ἐποίησεν ὁ θεὸς τὸν ἄνθρω-
πον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. πάλιν δὲ
τοῖς εἰρημένοις ἐπάγων, ὅτι ἄρσεν καὶ θῆλυ

ἐποίησεν

ἐποίησεν αὐτούς, ὅπερ ἀλλότριον τῶν περὶ θεοῦ νοουμένων ἐστίν. οἶμαι γὰρ ἐγὼ δόγμα τι μέγα καὶ ὑψηλὸν διὰ τῶν εἰρημένων ἀπὸ τῆς θείας γραφῆς παραδίδοσθαι. τὸ δὲ δόγμα τοιοῦτον ἐστί. δύο τινῶν κατὰ τὸ ἀκρότατον πρὸς ἄλληλα διεστηκότων μέσον ἐστὶ τὸ ἀνθρώπινον, τῆς τε θείας καὶ ἀσωμάτου φύσεως, καὶ τῆς ἀλόγου καὶ κτηνώδους ζωῆς. ἔξεστι γὰρ ἑκατέρου τῶν εἰρημένων ἐν τῷ ἀνθρωπίνῳ συγκρίματι θεωρῆσαι τὴν μοῖραν. τοῦ μὲν θείου, τὸ λογικόν τε, καὶ διανοητικὸν, ὃ τὴν κατὰ τὸ ἄρρεν καὶ θῆλυ διαφορὰν οὐ προσίεται, τοῦ δὲ ἀλόγου, τὴν σωματικὴν κατασκευὴν καὶ διάπλασιν εἰς ἄρρεν τε καὶ θῆλυ μεμερισμένην. ἑκάτερον γὰρ τούτων ἐστὶ πάντως ἐν παντὶ τῷ μετέχοντι τῆς ἀνθρωπίνης ζωῆς. ἀλλὰ προτέτακται τὸ νοερὸν καθὼς παρὰ τοῦ τὴν ἀνθρωπογονίαν ἐν τάξει διεξελθόντος ἐμάθομεν. ἐπιγεννηματικὴν δὲ εἶναι τῷ ἀνθρώπῳ τὴν πρὸς τὸ ἄλογον κοινωνίαν τε καὶ συγγένειαν. πρῶτον μὲν γάρ φησιν, ὅτι ἐποίησεν ὁ θεὸς κατ' εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον, δεικνὺς διὰ τῶν εἰρημένων, καθώς φησιν ὁ ἀπόστολος, ὅτι ἐν τῷ τοιούτῳ ἄρρεν καὶ θῆλυ οὐκ ἔστιν. εἶτα ἐπάγει τῆς ἀνθρωπίνης φύσεως τὰ ἰδιώματα, ὅτι ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς. τί οὖν διὰ τούτου μανθάνομεν; καί μοι μηδεὶς νεμεσάτω

πόῤῥωθεν προσάγοντες τὸν λόγον τῷ προκειμένῳ
νοήματι. θεὸς τῇ ἑαυτοῦ φύσει, πᾶν, ὅτι πέρ
ἐστι κατ' ἔννοιαν λαβεῖν ἀγαθὸν, ἐκεῖνό ἐστι, μᾶλ-
λον δὲ, παντὸς ἀγαθοῦ τοῦ νοουμένου τε καὶ κατα
λαμβανομένου ἐπέκεινα ὢν, οὐ δι' ἄλλό τι κτίζει
τὴν ἀνθρωπίνην ζωὴν, ἢ διὰ τὸ ἀγαθὸς εἶναι.
τοιοῦτος δὲ ὢν, καὶ διὰ τοῦτο πρὸς τὴν δημιουρ
γίαν τῆς ἀνθρωπίνης φύσεως ὁρμήσας, οὐκ ἂν ἡ-
μιτελῆ τὴν τοῦ ἀγαθότητος ἐνεδείξατο δύναμιν,
τὸ μέν τι δοὺς ἐκ τῶν προσόντων αὐτῷ, τοῦ δὲ
φθονήσας τῆς μετουσίας, ἀλλὰ τὸ τέλειον τῆς
ἀγαθότητος εἶδος ἐν τούτῳ ἐστὶν, ἐκ τοῦ καὶ πα-
ραγαγεῖν τὸν ἄνθρωπον ἐκ τοῦ μὴ ὄντος εἰς γένεσιν,
καὶ ἀνενδεᾶ τῶν ἀγαθῶν ἀπεργάσασθαι. ἐπεὶ
δὲ πολὺς τῶν καθ' ἕκαστον ἀγαθῶν ὁ κατάλογος,
οὐ μὴν οἷον ἔστιν ἀριθμῷ ῥᾳδίως τοῦτον διαλαβεῖν,
διὰ τοῦτο περιληπτικῇ τῇ φωνῇ ἅπαντα συλ-
λαβὼν ὁ λόγος ἐσήμανεν, ἐν τῷ εἰπεῖν, κατ' εἰκό
να θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον. ἴσον γάρ ἐστι
τοῦτο τῷ εἰπεῖν, ὅτι παντὸς ἀγαθοῦ μέτοχον τὴν
ἀνθρωπίνην φύσιν ἐποίησεν. εἰ γὰρ πλήρωμα μὲν
ἀγαθῶν τὸ θεῖον, ἐκείνου δὲ τοῦτο εἰκὼν, ἄρ' ἐν τῷ
πλήρες εἶναι παντὸς ἀγαθοῦ, πρὸς τὸ ἀρχέ-
τυπον ἡ εἰκὼν ἔχει τὴν ὁμοιότητα. οὐκοῦν ἔστιν
ἐν ἡμῖν παντὸς μὲν καλοῦ ἰδέα, πᾶσα δὲ ἀρε-
τὴ καὶ σοφία, καὶ πᾶν ὅτι περ ἐστὶ πρὸς τὸ κρεῖτ-
τον νοούμενον.

τὸν νοούμενον. ἐν δὲ τῷ πάντων καὶ τὸ ἐλεύθερον ἀνάγκης εἶναι, καὶ μὴ ὑπεζεῦχθαι τινὶ φυσικῇ δυναστείᾳ, ἀλλ' αὐτεξούσιον πρὸς τὸ δοκοῦν ἔχειν τὴν γνώμην. ἀδέσποτον γάρ τι χρῆμα ἡ ἀρετὴ καὶ ἑκούσιον, τὸ δὲ κατηναγκασμένον καὶ βεβιασμένον, ἀρετὴ εἶναι οὐ δύναται. ἐν πᾶσι τοίνυν, τῆς εἰκόνος τοῦ πρωτοτύπου κάλλους τὸν χαρακτῆρα φερούσης, εἰ μὴ κατά τι τὴν διαφορὰν ἔχῃ, οὐκέτι ἂν εἴη πάντως ὁμοίωμα, ἀλλὰ ταὐτὸν ἐκεῖνο διὰ πάντων ἀναδειχθήσεται τὸ ἐν παντὶ ἀπαράλλακτον. τίνα τοίνυν, αὐτοῦ τε τοῦ θείου, καὶ τοῦ πρὸς τὸ θεῖον ὁμοιωμένου τὴν διαφορὰν καθορῶμεν; ἐν τῷ, τὸ μὲν ἀκτίστως εἶναι, τὸ δὲ διὰ κτίσεως ὑποστῆναι. ἡ δὲ τῆς τοιαύτης ἰδιότητος διαφορὰ, πάλιν ἑτέρων ἰδιωμάτων ἀκολουθίαν ἐποίησε. συνομολογεῖται γὰρ πάντῃ τε καὶ πάντως, τὴν μὲν ἄκτιστον φύσιν καὶ ἄτρεπτον εἶναι, καὶ ἀεὶ ὡσαύτως ἔχειν, τὴν δὲ κτιστὴν ἀδύνατον ἄνευ ἀλλοιώσεως συστῆναι. αὐτὴ γὰρ, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος, κίνησίς τις ἐστὶ, καὶ ἀλλοίωσις τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, κατὰ τὸ θεῖον βούλημα μεθισταμένου. καὶ ὥσπερ τὸν ἐπὶ τοῦ χαλκοῦ χαρακτῆρα καίσαρος εἰκόνα λέγει τὸ εὐαγγέλιον, δι' οὗ μανθάνομεν κατὰ μὲν τὸ πρόσχημα τὴν ὁμοίωσιν εἶναι τοῦ μεμορφωμένου πρὸς καίσαρα, ἐν δὲ τῷ ὑποκειμένῳ τὴν

διαφορὰν ἔχειν, οὕτω καὶ κατὰ τὸν παρόντα λό-
γον, ἀντὶ χαρακτήρων τὰ ἐπιθεωρούμενα τῇ τε
θείᾳ φύσει καὶ τῇ ἀνθρωπίνῃ κατανοήσαντες, ἐν
οἷς ἡ ὁμοιότης ἐστὶν, ἐν τῷ ὑποκειμένῳ τὴν διαφο
ρὰν ἐξευρίσκομεν, ἥτις ἐν τῷ ἀκτίστῳ καὶ τῷ κτι
στῷ καθορᾶται. ἐπειδὴ τοίνυν τὸ μὲν ὡσαύτως
ἔχει, καὶ ἀεὶ, τὸ δὲ διὰ κτίσεως γεγενημένον ἀπὸ
ἀλλοιώσεως τοῦ εἶναι ἤρξατο, καὶ συγγενῶς πρὸς
τὴν τοιαύτην ἔχει τροπὴν, διὰ τοῦτο ὁ εἰδὼς τὰ
πάντα πρὶν γενέσεως αὐτῶν, καθώς φησιν ἡ προ-
φητεία, ἐπακολουθήσας, μᾶλλον δὲ προκατα
νοήσας τῇ προγνωστικῇ δυνάμει πρὸς ὅτι ῥέπει
κατὰ τὸ αὐτοκρατές τε καὶ αὐτεξούσιον τῆς ἀν-
θρωπίνης προαιρέσεως ἡ κίνησις, ἐπειδὴ τὸ ἐσόμε
νον εἶδεν, ἐπιτεχνᾶται τῇ εἰκόνι τὴν περὶ τὸ ἄρ-
ῥεν καὶ θῆλυ διαφοράν. ἥτις οὐκέτι πρὸς τὸ θεῖον
ἀρχέτυπον βλέπει, ἀλλὰ καθὼς εἴρηται τῇ ἀ-
λογωτέρᾳ προσῳκείωται φύσει. τὴν δὲ αἰτίαν
τῆς τοιαύτης ἐπιτεχνήσεως μόνοι μὲν ἂν εἰδεῖεν
οἱ τῆς ἀληθείας αὐτόπται, καὶ ὑπηρέται τοῦ λό
γου. ἡμεῖς δὲ, καθώς ἐστι δυνατὸν, διὰ στοχασμῶν
τινων καὶ εἰκόνων φαντασθέντες τὴν ἀλήθειαν,
τὸ ἐπὶ νοῦν ἐλθὸν οὐκ ἀποφαντικῶς ἐκτιθέ-
μεθα, ἀλλ' ὡς ἐν γυμνασίας εἴδει τοῖς εὐγνώ-
μοσι τῶν ἀκροωμένων προσθήσομεν. τί
τοίνυν ἐστὶν ὃ περὶ τούτων διενοήθημεν;

εἰπὼν ὁ

εἰπὼν ὁ λόγος, ὅτι ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, τῷ ἀορίστῳ τῆς σημασίας ἅπαν ἐνδείκνυται τὸ ἀνθρώπινον. οὐ γὰρ συνωνομάσθη τῷ κτίσματι νῦν ὁ ἀδάμ, καθὼς ἐν τοῖς ἐφεξῆς ἡ ἱστορία φησὶν, ἀλλ᾽ ὄνομα τῷ κτισθέντι ἀνθρώπῳ, οὐχ ὁ τὶς, ἀλλ᾽ ὁ καθόλου ἐστίν. οὐκοῦν τῇ καθολικῇ τῆς φύσεως κλήσει τοιοῦτόν τι ὑπονοεῖν ἐναγόμεθα, ὅτι τῇ θείᾳ προγνώσει τε καὶ δυνάμει πᾶσα ἡ ἀνθρωπότης ἐν τῇ πρώτῃ κατασκευῇ περιείληπται. χρὴ γὰρ θεῷ μηδὲν ἀόριστον ἐν τοῖς γεγενημένοις παρ᾽ αὐτοῦ νομίζειν. ἀλλ᾽ ἑκάστου τῶν ὄντων εἶναί τι πέρας καὶ μέτρον, τῇ τοῦ πεποιηκότος σοφίᾳ περιμετρούμενον. ὥσπερ τοίνυν ὁ τὶς ἄνθρωπος τῷ κατὰ τὸ σῶμα ποσῷ περιείργεται, καὶ μέτρον αὐτῷ τῆς ὑποστάσεως ἡ πηλικότης ἐστὶν, ἡ συναπαρτιζομένη τῇ ἐπιφανείᾳ τοῦ σώματος, οὕτως οἶμαι καθάπερ ἐν ἑνὶ σώματι, ὅλον τὸ τῆς ἀνθρωπότητος πλήρωμα τῇ προγνωστικῇ δυνάμει παρὰ τοῦ θεοῦ τῶν ὅλων περισχεθῆναι. καὶ τοῦτο διδάσκειν τὸν λόγον τὸν εἰπόντα, ὅτι καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. οὐ γὰρ ἐν μέρει τῆς φύσεως ἡ εἰκὼν, οὐδὲ ἔν τινι τῶν καθ᾽ αὐτὸν θεωρουμένων ἡ χάρις, ἀλλ᾽ ἐφ᾽ ἅπαν τὸ γένος ἐπίσης ἡ τοιαύτη διήκει δύναμις. σημεῖον δὲ, πᾶσιν ὡσαύτως ὁ νοῦς ἐγκαθίδρυται, πάντες τοῦ δια-

νοεῖσθαι καὶ προβουλεύειν τὴν δύναμιν ἔχουσι, καὶ τὰ ἄλλα πάντα, δι᾽ ὧν ἡ θεία φύσις ἐν τῷ κατ᾽ αὐτὴν γεγονότι ἀπεικονίζεται. ὁμοίως ἔχει ὅ, τε τῇ πρώτῃ τοῦ κόσμου κατασκευῇ συναναδειχθεὶς ἄνθρωπος, καὶ ὁ μετὰ τὴν τοῦ παντὸς συντέλειαν γενησόμενος. ἐπίσης ἐφ᾽ ἑαυτῶν φέρουσι τὴν θείαν εἰκόνα. διὰ τοῦτο εἷς ἄνθρωπος κατωνομάσθη τὸ πᾶν, ὅτι τῇ δυνάμει τοῦ θεοῦ, οὔτε τι παρῴχηκεν, οὔτε μέλλει. ἀλλὰ καὶ τὸ προσδοκώμενον ἐπίσης τῷ παρόντι τῇ περιεκτικῇ τοῦ παντὸς ἐνεργείᾳ περικρατεῖται. πᾶσα τοίνυν ἡ φύσις ἡ ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων διήκουσα, μία τις τοῦ ὄντος ἐστὶν εἰκών. ἡ δὲ πρὸς τὸ ἄρρεν καὶ θῆλυ τοῦ γένους διαφορὰ προσκατεσκευάσθη τελευταῖον τῷ πλάσματι διὰ τὴν αἰτίαν ὡς οἶμαι ταύτην.

Τί χρὴ λέγειν πρὸς τοὺς ἐπαποροῦντας, εἰ μετὰ τὴν ἁμαρτίαν ἡ παιδοποιΐα, πῶς ἂν ἐγένοντο αἱ ψυχαί, εἰ ἀναμάρτητοι διέμειναν οἱ ἐξ ἀρχῆς ἄνθρωποι.

Μᾶλλον δέ, πρὶν τὸ προκείμενον διερευνῆσαι, κρεῖττον ἴσως τὸ προφερόμενον παρὰ τῶν μαχομένων ἡμῖν ἐπιζητῆσαι τὴν λύσιν. λέγουσι γὰρ πρὸ τῆς ἁμαρτίας μήτε τόκον ἱστορεῖσθαι, μήτε ὠδῖνα, μήτε τὴν πρὸς παιδοποιΐαν ὁρμήν.

ἀποικισθέντων δὲ τοῦ παραδείσου μετὰ τὴν ἁμαρτίαν, καὶ τῆς γυναικὸς τῇ ἐπιμωρίᾳ τῶν ὠδίνων κατακριθείσης, οὕτως ἐλθεῖν τὸν ἀδὰμ εἰς τὸ γνῶναι γαμικῶς τὴν ὁμόζυγον, καὶ τότε τῆς παιδοποιΐας τὴν ἀρχὴν γενέσθαι. εἰ οὖν γάμος ἐν τῷ παραδείσῳ οὐκ ἦν, οὔτε ὠδὶς, οὔτε τόκος, ἀνάγκη εἶναι φασὶν ἐκ τοῦ ἀκολούθου λογίζεσθαι, μὴ ἂν ἐν πλήθει γενέσθαι τὰς τῶν ἀνθρώπων ψυχὰς, εἰ μὴ πρὸς τὸ θνητὸν ἡ τῆς ἀθανασίας χάρις μετέπεσε, καὶ ὁ γάμος διὰ τῶν ἐπιγινομένων συνετήρει τὴν φύσιν, ἀντὶ τῶν ὑπεξιόντων τοὺς ἐξ αὐτῶν ἀντεισάγων. ὥστε λυσιτελῆσαι τρόπον τινὰ, τὴν ἁμαρτίαν ἐπεισελθοῦσαν τῇ ζωῇ τῶν ἀνθρώπων. ἔμενε γὰρ ἂν ἐν τῇ τῶν πρωτοπλάστων δυάδι τὸ ἀνθρώπινον γένος, μὴ τοῦ κατὰ τὸν θάνατον φόβου πρὸς διαδοχὴν τὴν φύσιν ἀνακινήσαντος. ἀλλ' ἐν τούτοις πάλιν ὁ μὲν ἀληθὴς λόγος, ὅστις ποτὲ ὢν τυγχάνει, μόνοις ἂν εἴη δῆλος τοῖς κατὰ παῦλον, τὰ τοῦ παραδείσου μυηθεῖσιν ἀπόῤῥητα. ὁ δὲ ἡμέτερος τοιοῦτος ἐστίν. ἀντιλεγόντων ποτὲ τῶν σαδδουκαίων τῷ κατὰ τὴν ἀνάστασιν λόγῳ, καὶ τὴν πολύγαμον ἐκείνην γυναῖκα τὴν τοῖς ἑπτὰ γενομένην ἀδελφοῖς εἰς σύστασιν τοῦ καθ' ἑαυτοὺς δόγματος προφερόντων, εἶτα τίνος μετὰ τὴν ἀνάστασιν ἔσται πυνθανομένων, ἀποκρίνεται πρὸς τὸν λόγον ὁ κύριος, οὐ μό-

νον τοῖς σαδδουκαίοις παιδεύων, ἀλλὰ καὶ πᾶσι
τοῖς μετὰ ταῦτα, τῆς ἐν τῇ ἀναστάσει ζωῆς φα-
νερῶν τὸ μυστήριον. ἐν δὲ τῇ ἀναστάσει φησὶν, οὔτε
γαμοῦσιν, οὔτε γαμίσκονται, οὔτε γὰρ ἀποθανεῖν
ἔτι δύνανται. ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ θεοῦ εἰσὶ, τῆς
ἀναστάσεως υἱοὶ ὄντες. ἡ δὲ τῆς ἀναστάσεως χά-
ρις οὐδὲν ἕτερον ἡμῖν ἐπαγγέλλεται, ἢ τὴν εἰς
τὸ ἀρχαῖον τῶν πεπτωκότων ἀποκατάστασιν.
ἐπάνοδος γάρ τις ἐστὶν ἐπὶ τὴν πρώτην ζωὴν ἡ
προσδοκωμένη χάρις, τὸν ἀποβληθέντα τοῦ πα-
ραδείσου πάλιν εἰς αὐτὸν ἐπανάγουσα. εἰ τοίνυν ἡ
τῶν ἀποκαθισταμένων ζωὴ πρὸς τὴν τῶν ἀγγέ-
λων οἰκείως ἔχει, δηλονότι, ὁ πρὸ τῆς παραβά-
σεως βίος, ἀγγελικός τις ἦν. διὸ καὶ ἡ πρὸς τὸ ἀρ-
χαῖον τῆς ζωῆς ἡμῶν ἐπάνοδος τοῖς ἀγγέλοις
ὡμοίωται. ἀλλὰ μὴν καθὼς εἴρηται, γάμου παρ'
αὐτοῖς οὐκ ὄντος, ἐν μυριάσιν ἀπείροις αἱ στρατιαὶ
τῶν ἀγγέλων εἰσίν. οὕτω γὰρ ἐν ταῖς ὀπτασίαις ὁ
δανιὴλ διηγήσατο. οὐκοῦν κατὰ τὸν αὐτὸν
τρόπον, εἴπερ μηδεμία παρατροπή τε καὶ ἔκστασις
ἀπὸ τῆς ἀγγελικῆς ὁμοτιμίας ἐξ ἁμαρτίας ἡ-
μῖν ἐγένετο, οὐκ ἂν οὐδὲ ἡμεῖς τοῦ γάμου πρὸς τὸν
πληθυσμὸν ἐδεήθημεν. ἀλλ' ὅστις ἐστὶν ἐν τῇ
φύσει τῶν ἀγγέλων τοῦ πλεονασμοῦ τρόπος, ἄρρη-
τος μὲν, καὶ ἀνεπινόητος στοχασμοῖς ἀνθρωπίνοις,
πλὴν ἀλλὰ πάντως ἐστὶν, οὕτως ἂν καὶ ἐπὶ τῶν

βραχύ τι παρ' ἀγγέλους ἐλαττωμένων ἀνθρώ-
πων ἀνήργησεν, εἰς τὸ ὁρισμένον ἀπὸ τῆς βουλῆς
τοῦ πεποιηκότος μέτρον τὸ ἀνθρώπινον αὔξων. εἰ δὲ
στενοχωρεῖταί τις ἐπιζητῶν τὸν τῆς γενέσεως τῶν
ἀνθρώπων τρόπον, εἰ μὴ προσεδεήθη τῆς διὰ τοῦ
γάμου συνεργίας ὁ ἄνθρωπος, ἀντερωτήσομεν
καὶ ἡμεῖς τὸν τῆς ἀγγελικῆς ὑποστάσεως τρόπον,
πῶς ἐν ἀπείροις μυριάσιν ἐκεῖνοι, καὶ μία οὐσία
ὄντες, καὶ ἐν πολλοῖς ἀριθμούμενοι. τοῦτο γὰρ προσ-
φόρως ἀποκρινούμεθα τῷ προφέροντι, πῶς ἂν
ἦν δίχα τοῦ γάμου ὁ ἄνθρωπος, εἰπόντες, ὅτι καθὼς
εἰσὶ γάμου χωρὶς οἱ ἄγγελοι. τὸ γὰρ ὁμοίως ἐκεί-
νοις τὸν ἄνθρωπον εἶναι πρὸ τῆς παραβάσεως,
δείκνυσιν ἡ εἰς ἐκεῖνο πάλιν ἀποκατάστασις. τού-
των οὖν ἡμῖν οὕτω διευκρινηθέντων, ἐπανιτέον
ἐπὶ τὸν πρότερον λόγον. πῶς μετὰ τὴν κατα-
σκευὴν τῆς εἰκόνος τὴν κατὰ τὸ ἄρρεν καὶ θῆλυ
διαφορὰν ὁ θεὸς ἐπιτεχνᾶται τῷ πλάσματι,
πρὸς τοῦτο γάρ φημι χρήσιμον εἶναι τὸ προδιηνυσ-
μένον ἡμῖν θεώρημα. ὁ γὰρ τὰ πάντα παραγαγὼν
εἰς τὸ εἶναι, καὶ ὅλον ἐν τῷ ἰδίῳ θελήματι τὸν ἄνθρωπον πρὸς
τὴν θείαν εἰκόνα διαμορφώσας, οὐ ταῖς κατ' ὀλί-
γον προσθήκαις τῶν ἐπιγινομένων ἀνέμεινεν ἰδεῖν
ἐπὶ τὸ ἴδιον πλήρωμα τὸν ἀριθμὸν τῶν ψυ-
χῶν τελειούμενον, ἀλλ' ἀθρόως αὐτῷ πληρώ-
ματι πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς προ

γνωστικὴν ἐνέργειαν κατανοήσας, καὶ τῇ ὑψηλῇ τε καὶ ἰσαγγέλῳ λήξει τιμήσας. ἐπειδὴ προεῖδε τῇ ὁρατικῇ δυνάμει, μὴ εὐθυποροῦσαν πρὸς τὸ καλὸν τὴν προαίρεσιν, καὶ διὰ τοῦτο τῆς ἀγγελικῆς ζωῆς ἀποπίπτουσαν. ὡς ἂν μὴ κολοβωθείη τὸ τῶν ψυχῶν τῶν ἀνθρωπίνων πλῆθος ἐκπεσὸν, ἐκείνου τοῦ τρόπου, καθ' ὃν οἱ ἄγγελοι πρὸς τὸ πλῆθος ηὐξήθησαν, διὰ τοῦτο τὴν κατάλληλον τοῖς εἰς ἁμαρτίαν κατολισθήσασι τῆς αὐξήσεως ἐπίνοιαν ἐγκατασκευάζει τῇ φύσει. ἀντὶ τῆς ἀγγελικῆς μεγαλοφυΐας, τὸν κτηνώδη τε καὶ ἄλογον τῆς ἐξ ἀλλήλων διαδοχῆς τρόπον ἐμφυτεύσας τῇ ἀνθρωπότητι. ἐντεῦθεν μοι δοκεῖ καὶ ὁ μέγας δαβὶδ κατοικτιζόμενος τοῦ ἀνθρώπου τὴν ἀθλιότητα, τοιούτοις λόγοις καταθρηνῆσαι τὴν φύσιν. ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε. τιμὴν λέγων, τὴν πρὸς τοὺς ἀγγέλους ὁμοτιμίαν. διὰ τοῦτο φησὶ, παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιώθη αὐτοῖς. ὄντως γὰρ κτηνώδης ἐγένετο ὁ τὴν ῥοώδη ταύτην γένεσιν τῇ φύσει παραδεξάμενος, διὰ τὴν πρὸς τὸ ὑλῶδες ῥοπήν.

Ὅτι τὰ ἄλογα ἐν ἡμῖν πάθη, ἐκ τῆς πρὸς τὴν ἄλογον φύσιν συγγενείας τὰς ἀφορμὰς ἔχει.

Οἶμαι γὰρ ἐκ τῆς ἀρχῆς ταύτης, καὶ τὰ
καθ' ἕκαστον πάθη, οἷον ἔκ τινος πηγῆς συνδοθέν-
τα πλημμυρεῖν ἐν τῇ ἀνθρωπίνῃ ζωῇ. τεκμή-
ριον δὲ τῶν λόγων, ἡ τῶν παθημάτων συγγένεια,
κατὰ τὸ ἴσον ἡμῖν τε καὶ τοῖς ἀλόγοις ἐμφαινο-
μένη. οὐ γὰρ δὴ θέμις τῇ ἀνθρωπίνῃ φύσει τῇ κα-
τὰ τὸ θεῖον εἶδος μεμορφωμένῃ, τῆς ἐμπαθοῦς
διαθέσεως προσμαρτυρεῖν τὰς πρώτας ἀρ-
χάς. ἀλλ' ἐπειδὴ προεισῆλθεν εἰς τὸν κόσμον τοῦ-
τον ἡ τῶν ἀλόγων ζωὴ, ἔχει δέ τι διὰ τὴν εἰρημένην
αἰτίαν τῆς ἐκεῖθεν φύσεως καὶ ὁ ἄνθρωπος, τὸ
κατὰ τὴν γένεσιν λέγω, συμμετέσχε διὰ τούτου
καὶ τῶν λοιπῶν τῶν ἐν ἐκείνῃ θεωρουμένων τῇ
φύσει. οὐ γὰρ κατὰ τὸν θυμόν ἐστι τοῦ ἀνθρώπου
ἡ πρὸς τὸ θεῖον ὁμοίωσις, οὔτε διὰ τῆς ἡδονῆς ἡ ὑ-
περέχουσα χαρακτηρίζεται φύσις, δειλία τε
καὶ θράσος, καὶ ἡ τοῦ πλείονος ἔφεσις, καὶ τὸ πρὸς
τὸ ἐλαττοῦσθαι μῖσος, καὶ πάντα τὰ τοιαῦτα
πόῤῥω τοῦ θεοπρεποῦς χαρακτῆρός ἐστι. ταῦτα
τοίνυν ἐκ τοῦ ἀλόγου μέρους ἡ ἀνθρωπίνη φύσις
πρὸς ἑαυτὴν ἐφειλκύσατο. οἷς γὰρ ἡ ἄλογος
ζωὴ πρὸς συντήρησιν ἑαυτῆς ἠσφαλίσθη, ταῦ-
τα πρὸς τὸν ἀνθρώπινον μετενεχθέντα βίον, πά-
θη ἐγένετο. θυμῷ μὲν γὰρ συντηρεῖται τὰ ὠμο-
βόρα, φιληδονίᾳ δὲ τὰ πολυγονοῦντα τῶν ζώων
σώζεται. τὸν ἄναλκιν ἡ δειλία, καὶ τὸν εὐάλωτον

τοῖς ἰσχυροτέροις ὁ φόβος. τὸ δὲ πολύβορον, ἡ λαιμαργία. καὶ τὸ διαμαρτεῖν οὑτινοσοῦν τῶν καθ' ἡδονὴν, λύπης ὑπόθεσις ἐν τοῖς ἀλόγοις ἐστί. ταῦτα πάντα καὶ τὰ τοιαῦτα διὰ τῆς κτηνώδους γενέσεως συνεισῆλθε τῇ τοῦ ἀνθρώπου κατασκευῇ. καί μοι συγκεχωρήσθω κατά τινα πλαστικὴν θαυματοποιΐαν διαγράψαι τῷ λόγῳ τὴν ἀνθρωπίνην εἰκόνα. καθάπερ γάρ ἐστιν ἰδεῖν ἐν τοῖς πλάσμασι τὰς διγλύφους μορφὰς, ἃς μηχανῶνται πρὸς ἔκπληξιν τῶν ἐντυγχανόντων οἱ τὰ τοιαῦτα φιλοτεχνοῦντες, μιᾷ κεφαλῇ δύο μορφὰς προσώπων ὑποχαράσσοντες, οὕτω μοι δοκεῖ διπλῆν φέρειν ὁ ἄνθρωπος πρὸς τὰ ἐναντία τὴν ὁμοιότητα. τῷ μὲν θεοειδεῖ τῆς διανοίας πρὸς τὸ θεῖον κάλλος μεμορφωμένος, ταῖς δὲ κατὰ πάθος ἐγγινομέναις ὁρμαῖς πρὸς τὸ κτηνῶδες φέρων τὴν οἰκειότητα. πολλάκις δὲ καὶ ὁ λόγος ἀποκτηνοῦται διὰ τῆς πρὸς τὸ ἄλογον ῥοπῆς τε καὶ διαθέσεως συγκαλύπτων τὸ κρεῖττον τῷ χείρονι. ἐπειδὰν γάρ τις πρὸς ταῦτα τὴν διανοητικὴν ἐνέργειαν καθελκύσῃ, καὶ ὑπηρέτην γενέσθαι τῶν παθῶν τὸν λογισμὸν ἐκβιάσηται, παρατροπή τις γίνεται τοῦ ἀγαθοῦ χαρακτῆρος πρὸς τὴν ἄλογον εἰκόνα, πάσης πρὸς ἐκεῖνο μεταχαρασσομένης τῆς φύσεως. καθάπερ γεωργοῦντος τοῦ λογισμοῦ

τὰς τῶν

τὰς τῶν παθημάτων ἀρχάς, καὶ δι' ὀλίγων εἰς πλῆθος ἐπαυξόντος. τὴν γὰρ παρ' ἑαυτοῦ συνεργίαν χρήσας τῷ πάθει, πολύχουν καὶ ἀμφιλαφῆ τὴν τῶν ἀτόπων γένεσιν ἀπειργάσατο. οὕτως ἡ φιληδονία, τὴν μὲν ἀρχὴν ἔχουσα ἐκ τῆς πρὸς τὸ ἄλογον ὁμοιώσεως, ἀλλ' ἐν τοῖς ἀνθρωπίνοις πλημμελήμασι προσηυξήθη, τοσαύτας διαφορὰς τῶν κατὰ τὴν ἡδονὴν ἁμαρτανομένων γεννήσασα, ὅσας ἐν τοῖς ἀλόγοις οὐκ ἔστιν εὑρεῖν. οὕτως ἡ πρὸς τὸν θυμὸν διανάστασις, συγγενὴς μὲν οὖσα τῇ τῶν ἀλόγων ὁρμῇ, αὔξεται δὲ τῇ τῶν λογισμῶν συμμαχίᾳ. ἐκεῖθεν γὰρ ἡ μῆνις, ὁ φθόνος, τὸ ψεῦδος, ἡ ἐπιβουλή, ἡ ὑπόκρισις. ταῦτα πάντα τῆς πονηρᾶς τοῦ νοῦ γεωργίας ἐστίν. εἰ γὰρ γυμνωθείη τῆς ἐκ τῶν λογισμῶν συμμαχίας τὸ πάθος, ὠκύμορός τις καὶ ἄτονος ὁ θυμὸς καταλείπεται, πομφόλυγος δίκην ὁμοῦ τε γινόμενος, καὶ εὐθὺς ἀπολλύμενος. οὕτως ἡ τῶν συῶν λαιμαργία τὴν πλεονεξίαν εἰσήνεγκε, καὶ τὸ τοῦ ἵππου γαῦρον γέγονε τῆς ὑπερηφανείας ἀρχή, καὶ τὰ καθ' ἕκαστον πάντα τῆς κτηνώδους ἀλογίας ἀφορμηθέντα, διὰ τῆς πονηρᾶς τοῦ νοῦ χρήσεως κακία ἐγένετο. ὥσπερ οὖν καὶ τὸ ἔμπαλιν, εἴπερ ὁ λογισμὸς τῶν τοιούτων κινημάτων ἀντιμεταλάβοι τὸ κράτος, εἰς ἀρετῆς εἶδος ἕκαστον τούτων ἀντιμεθίσταται. ποιεῖ γὰρ

ὁ μὲν θυμὸς τὴν ἀνδρείαν, τὸ δὲ δειλὸν τὴν ἀσφά
λειαν, καὶ ὁ φόβος τὴν εὐπείθειαν, τὸ μῖσος δὲ
τὴν τῆς κακίας ἀποστροφὴν, ἡ δὲ ἀγαπητικὴ δύ-
ναμις τὴν πρὸς τὸ ἀληθῶς καλὸν ἐπιθυμίαν. τὸ
δὲ γαῦρον τοῦ ἤθους, ὑπεραίρει τῶν παθημάτων,
καὶ ἀδούλωτον ἀπὸ τοῦ κακοῦ διαφυλάσσει τὸ
φρόνημα. ἐπαινεῖ δὲ τὸ τοιοῦτον τῆς ἐπάρσεως
εἶδος, καὶ ὁ μέγας ἀπόστολος, συνεχῶς ἐγκελευό
μενος τὰ ἄνω φρονεῖν. καὶ οὕτως ἐστὶν εὑρεῖν, ὅτι
πᾶν τὸ τοιοῦτον κίνημα τῷ ὑψηλῷ τῆς διανοίας
συνεπαιρόμενον, τῷ κατὰ τὴν θείαν εἰκόνα κάλ
λει συσχηματίζεται. ἀλλ᾽ ἐπειδὴ βαρεῖά τις ἐστὶ
καὶ κατωφερὴς ἡ τῆς ἁμαρτίας ῥοπὴ, πλεῖον
τὸ ἕτερον γίνεται. μᾶλλον γὰρ τῷ βάρει τῆς ἀ-
λόγου φύσεως συγκατασπᾶται τὸ ἡγεμονικὸν
τῆς ψυχῆς, ἢ ὑπὲρ τῷ ὕψει τῆς διανοίας τὸ βα-
ρύ τε καὶ χοϊκὸν ἀνυψοῦται. διὰ τοῦτο πολλάκις
ἀγνοεῖσθαι ποιεῖ τὸ θεῖον δῶρον ἡ περὶ ἡμᾶς ἀθλιό
της, οἷον προσωπεῖον εἰδεχθὲς τῷ κατὰ τὴν εἰκό
να κάλλει τὰ πάθη τῆς σαρκὸς ἐπιπλάσσουσα.
οὐκοῦν συγγνωστοί πως εἰσὶν οἱ πρὸς τὰ τοιαῦ-
τα βλέποντες, εἴτε τὴν θείαν μορφὴν ἐν τούτοις
εἶναι οὐκ εὐχερῶς συντιθέμενοι. ἀλλὰ διὰ τῶν
κατορθωκότων τὸν βίον ἔξεστι τὴν θείαν ἐν τοῖς
ἀνθρώποις εἰκόνα βλέπειν. εἰ γὰρ ἐμπαθής τις καὶ
σάρκινος ὢν ἀπιστεῖσθαι ποιεῖ τὸν ἄνθρωπον ὡς

θείῳ κάλλει κεκοσμημένον, ὁ ὑψηλὸς πάντως τὴν ἀρετὴν, καὶ καθαρεύων ἐκ μολυσμάτων, βεβαιώσει σοι τὴν πρὸς τὸ κρεῖττον ἐπὶ τῶν ἀνθρώπων ὑπόληψιν. οἷον, κρεῖττον γὰρ ἐν ὑποδείγματι δεῖξαι τὸν λόγον, ἀπήλειψέ τῳ τῆς πορνείας μολύσματι τὸ τῆς φύσεως κάλλος τις τῶν ἐπὶ κακίᾳ γνωρίμων, ἰεχονίας τυχὸν, ἢ εἴ τις ἕτερος ἐπὶ κακῷ μνημονεύεται, ἀλλ' ἐν μωϋσῇ, καὶ τοῖς κατ' ἐκεῖνον, καθαρὰ διεφυλάχθη ἡ τῆς εἰκόνος μορφή. ἐν οἷς τοίνυν οὐκ ἠμαυρώθη τὸ κάλλος, ἐν τούτοις ἐναργὴς ἡ τῶν λεγομένων πίστις ἐστὶν, ὅτι ἄνθρωπος τοῦ θεοῦ μίμημα γέγονεν. ἀλλ' ἐπαισχύνεταί τις τυχὸν, τῷ διὰ βρώσεως ἡμῖν καθ' ὁμοιότητα τῶν ἀλόγων τὴν ζωὴν συνεστάναι, καὶ διὰ τοῦτο ἀνάξιον ἡγεῖται τὸν ἄνθρωπον τοῦ κατ' εἰκόνα θεοῦ πεπλάσθαι δοκεῖν. ἀλλ' ἐλπιζέτω τῆς λειτουργίας ταύτης ἀτέλειαν δοθήσεσθαι τῇ φύσει ποτὲ κατὰ τὴν προσδοκωμένην ζωήν. οὐ γάρ ἐστι, καθώς φησιν ὁ ἀπόστολος, ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, οὐδὲ ἐπ' ἄρτῳ μόνῳ ζήσεσθαι τὸν ἄνθρωπον ὁ κύριος προηγόρευσεν, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. ἀλλὰ καὶ τῆς ἀναστάσεως, ἰσάγγελον ἡμῖν ὑποδεικνυούσης τὸν βίον, βρώσεως δὲ παρὰ τοῖς ἀγγέλοις οὐκ οὔσης, ἱκανὴ πίστις τοῦ ἀπαλλαγήσεσθαι τῆς τοιαύτης λειτουργίας τὸν ἄνθρωπον,

τὸν καθ' ὁμοιότητα τῶν ἀγγέλων ζησόμενον.

Πρὸς τοὺς λέγοντας, πάλιν ἐν βρώσει, καὶ ἐν πόσει εἶναι τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, διὰ τὸ ἐξ ἀρχῆς ἐν τῷ παραδείσῳ γεγράφθαι, διὰ τούτων τὸν ἄνθρωπον ζῆν.

Ἀλλ' ἴσως τις οὐκ εἰς τὸ αὐτὸ πάλιν τῆς ζωῆς εἶδος ἐπανελεύσεσθαι λέγει τὸν ἄνθρωπον, εἴγε πρότερον μὲν ἐν τῷ ἐσθίειν ἦμεν, μετὰ ταῦτα δὲ τῆς τοιαύτης λιτουργίας ἀφεθησόμεθα. ἀλλ' ἐγὼ τῆς ἁγίας ἀκούων γραφῆς, οὐ μόνον σωματικὴν ἐπίσταμαι βρῶσιν, οὐδὲ τὴν διὰ σαρκὸς εὐφροσύνην, ἀλλά τινα καὶ ἑτέραν οἶδα τροφὴν, ἀναλογίαν τινὰ πρὸς τὴν τοῦ σώματος ἔχουσαν, ἧς ἡ ἀπόλαυσις ἐπὶ μόνην τὴν ψυχὴν διαβαίνει. φάγετε τῶν ἐμῶν ἄρτων, ἡ σοφία τοῖς πεινῶσι διακελεύεται. καὶ μακαρίζει τοὺς τὴν τοιαύτην βρῶσιν πεινῶντας ὁ κύριος. καὶ εἴ τις διψᾷ φησιν, ἐρχέσθω πρός με, καὶ πινέτω. καὶ ὁ μέγας ἠσαΐας, πίετε εὐφροσύνην τοῖς δυνατοῖς ἐπαΐειν τῆς μεγαλοφυΐας αὐτοῦ ἐγκελεύεται. ἔστι δέ τις καὶ ἀπειλὴ προφητικὴ κατὰ τῶν τιμωρίας ἀξίων, ὡς λιμῷ κολασθησομένων. ὁ δὲ λιμὸς οὐκ ἄρτου τίς ἐστιν ἀπορεία, καὶ ὕδατος, ἀλλὰ λόγου ἐπίλειψις. οὐ λιμὸν γὰρ ἄρτου φησὶν,

φησιν, ἢ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγων κυρίου. οὐκοῦν τῆς τοῦ θεοῦ φυτείας τῆς ἐν ἐδὲμ, τρυφὴ δὲ ἡ ἐδὲμ ἑρμηνεύεται, ἄξιόν τινα τὸν καρπὸν ἐννοῆσαι προσήκει, καὶ τρέφεσθαι διὰ τούτου μὴ ἀμφιβάλλειν τὸν ἄνθρωπον, καὶ μὴ πάντως τὴν παροδικὴν, καὶ ἀπόῤῥευτον ταύτην τροφὴν ὡδὶ τῆς τοῦ παραδείσου διαγωγῆς ἐννοεῖν. ἀπὸ παντός φησι ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. τίς δώσει τῷ ὑγιεινῶς πεινῶντι τὸ ξύλον ἐκεῖνο τὸ ἐν τῷ παραδείσῳ, τὸ παντὸς ἀγαθοῦ περιληπτικὸν, ᾧ ὄνομα ἐστὶ τὸ πᾶν, οὗ χαρίζεται τῷ ἀνθρώπῳ τὴν μετουσίαν ὁ λόγος; τῷ γὰρ γενικῷ τε καὶ ὑπερκειμένῳ λόγῳ πᾶσα τῶν ἀγαθῶν ἰδέα πρὸς ἑαυτὴν συμφυῶς ἔχει, καὶ ἕν τι τὸ ὅλον ἐστί. τίς δέ με τῆς συμμιγοῦς τε, καὶ ἐπαμφοτεριζούσης τοῦ ξύλου γεύσεως ἀποστήσει; πάντως γὰρ οὐκ ἄδηλον τοῖς διορατικωτέροις, τί τὸ πᾶν ἐκεῖνο, οὗ καρπὸς ἡ ζωή. καὶ πάλιν, τί τὸ ἐπίμικτον ἐκεῖνο, οὗ πέρας ὁ θάνατος. ὁ γὰρ τοῦ παντὸς τὴν ἀπόλαυσιν ἀφθόνως προθεὶς, λόγῳ τινὶ πάντως καὶ προμηθείᾳ τῆς τῶν ἐπικοίνων μετουσίας ἀπείργει τὸν ἄνθρωπον. καί μοι δοκεῖ, τὸν μέγαν δαβὶδ, καὶ τὸν σοφὸν σολομῶντα διδασκάλους τῆς τοῦ λόγου τούτου παραλαβεῖν ἐξηγήσεως. ἀμφότεροι γὰρ τῆς συγκεχωρημένης τρυφῆς μίαν ἡγοῦνται

τὴν χάριν, αὐτὸ τὸ ὄντως ἀγαθόν, ὃ δὴ καὶ πᾶν ἐστὶν ἀγαθόν. Δαβὶδ μὲν λέγων, κατατρύφησον τοῦ κυρίου. Σολομῶν δὲ τὴν σοφίαν αὐτήν, ἥτις ἐστὶν ὁ κύριος, ξύλον ζωῆς ὀνομάζων. οὐκοῦν ταυτόν ἐστι τῷ τῆς ζωῆς ξύλῳ τὸ πᾶν ξύλον, οὗ τὴν βρῶσιν, τῷ κατὰ θεὸν πλασθέντι ὁ λόγος δίδωσιν. ἀντιδιαιρεῖται δὲ τῷ ξύλῳ τούτῳ ἕτερον ξύλον, οὗ ἡ βρῶσις καλοῦ καὶ κακοῦ γνῶσις ἐστίν, οὐκ ἰδιαζόντως ἑκάτερον τῶν κατὰ τὸ ἐναντίον σημαινομένων ἐν μέρει καρποφοροῦντος, ἀλλά τινα συγκεχυμένον, καὶ σύμμικτον καρπὸν ἐξανθοῦντος ταῖς ἐναντίαις συγκεκραμένον ποιότησιν. οὗ κωλύει μὲν τὴν βρῶσιν ὁ ἀρχηγὸς τῆς ζωῆς, συμβουλεύει δὲ ὁ ὄφις, ἵνα τῷ θανάτῳ κατασκευάσῃ τὴν εἴσοδον. καὶ πιθανὸς γίνεται συμβουλεύσας, εὐχροίᾳ τινὶ καὶ ἡδονῇ τὸν καρπὸν περιχρώσας, ὡς ἂν ὀφθείη τε ἡδέως, καὶ τὴν ὄρεξιν πρὸς τὴν γεῦσιν ὑπορεθίσειεν.

Τίς ἡ ἐν τῷ παραδείσῳ ζωή, καὶ τί τὸ ἀπηγορευμένον ξύλον.

Τί οὖν ἐκεῖνο ἐστίν, ὃ καλοῦ τε καὶ κακοῦ συγκεκραμένην ἔχει τὴν γνῶσιν, ταῖς δι' αἰσθήσεως ἡδοναῖς ἐπηνθισμένον. ἆρα μὴ πόῤῥω τῆς ἀληθείας παραστοχάζομαι τῇ τοῦ γνωστοῦ διανοίᾳ εἰς ἀφορμὴν τῆς θεωρίας συγχρώμενος. οἶμαι

γὰρ οὐκ ἐπιστήμην ἐνταῦθα παρὰ τῆς γραφῆς νοεῖσθαι τὴν γνῶσιν, ἀλλά τινα διαφορὰν ἐκ τῆς γραφικῆς συνηθείας εὑρίσκω, γνώσεώς τε καὶ διακρίσεως. τὸ μὲν γὰρ διακρίνειν ἐπιστημόνως τὸ καλὸν ἐκ τοῦ κακοῦ, τελειοτέρας ἕξεως εἶναι φησὶν ὁ ἀπόστολος, καὶ γεγυμνασμένων αἰσθητηρίων. διὸ καὶ πρόσταγμα ποιεῖται, πάντα δοκιμάζειν, καὶ τοῦ πνευματικοῦ τὸ διακρίνειν ἴδιον εἶναι φησίν. ἡ δὲ γνῶσις οὐ πανταχοῦ τὴν ἐπιστήμην τε, καὶ τὴν εἴδησιν ὑφηγεῖται κατὰ τὸ σημαινόμενον, ἀλλὰ τὴν πρὸς τὸ κεχαρισμένον διάθεσιν. ὡς, ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ. καὶ πρὸς τὸν μωϋσέα φησὶν, ὅτι ἔγνων σε παρὰ πάντας. περὶ δὲ τῶν ἐν κακίᾳ κατεγνωσμένων, λέγει ὁ τὰ πάντα εἰδὼς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς. οὐκοῦν τὸ ξύλον, ἀφ' οὗ ἡ σύμμικτος γνῶσις καρποφορεῖται, τῶν ἀπηγορευμένων ἐστί. μέμικται δὲ διὰ τῶν ἐναντίων ὁ καρπὸς ἐκεῖνος, ὁ συνήγορον ἔχων ἑαυτοῦ τὸν ὄφιν. τάχα κατὰ τὸν λόγον τοῦτον, ὅτι οὐ γυμνὸν πρόκειται τὸ κακὸν αὐτὸ ἐφ' ἑαυτοῦ κατὰ τὴν ἰδίαν φύσιν φαινόμενον. ἦ γὰρ ἂν ἄπρακτος ἦν ἡ κακία, μηδενὶ προσκεχρωσμένη καλῷ τῷ πρὸς ἐπιθυμίαν αὐτῆς ἐφελκομένῳ τὸν ἀπατώμενον. νυνὶ δὲ σύμμικτός πως ἐστὶν ἡ τοῦ κακοῦ φύσις. ἐν μὲν τῷ βάθει τὸν ὄλεθρον, οἷόν τινα δόλον ἐγκεκρυμ-

μένον ἔχουσα, ἐν δὲ τῇ κατὰ τὸ φαινόμενον ἀ-
πάτῃ καλοῦ τινα φαντασίαν παραδεικνύουσα.
καλὸν δοκεῖ τοῖς φιλαργύροις ἡ τῆς ὕλης εὔ-
χροια. ἀλλὰ ῥίζα πάντων τῶν κακῶν ἡ φιλαρ
γυρία γίνεται. τίς δ' ἂν εἰς τὸν δυσώδη βόρβο
ρον τῆς ἀκολασίας κατώλισθεν, εἰ μὴ τὴν ἡδο-
νὴν καλόν τι καὶ αἱρετὸν ᾤετο ὁ τῷ δελέατι τού
τῳ πρὸς τὸ πάθος κατασυρόμενος; οὕτω καὶ
τὰ λοιπὰ τῶν ἁμαρτημάτων, ἐγκεκρυμμένην
ἔχοντα τὴν διαφθορὰν, αἱρετὰ παρὰ τὴν πρώ-
την δοκεῖ, διά τινος ἀπάτης τοῖς ἀνεπισκέπτοις
ἀντ' ἀγαθοῦ σπουδαζόμενα. ἐπειδὴ τοίνυν οἱ
πολλοὶ τὸ καλὸν ἐν τῷ τὰς αἰσθήσεις εὐφραίνον
τι κρίνουσι, καί τις ἐστὶν ὁμωνυμία τοῦ τε ὄντος,
καὶ τοῦ δοκοῦντος εἶναι καλοῦ, τούτου χάριν,
ἡ πρὸς τὸ κακὸν ὡς πρὸς τὸ ἀγαθὸν γινομένη ἐπι-
θυμία, καλοῦ καὶ κακοῦ γνῶσις ὑπὸ τῆς γρα
φῆς ὠνομάσθη, συνδιάθεσίν τινα, καὶ ἀνάκρα-
σιν ἑρμηνευούσης τῆς γνώσεως. οὔτε ἀπολύτως
κακὸν, διότι περιηνθίσται τῷ καλῷ, οὔτε καθα
ρῶς ἀγαθὸν, διότι ὑποκέκρυπται τὸ κακὸν, ἀλλὰ
σύμμικτον δι' ἑκατέρων τοῦ ἀπηγορευμένου ξύ-
λου τὸν καρπὸν εἶναί φησιν, οὗ τὴν γεῦσιν εἰς θά-
νατον ἄγειν εἶπε τοὺς ἁψαμένους. μονονουχὶ φανε
ρῶς τὸ δόγμα βοῶν, ὅτι τὸ ὄντως ἀγαθὸν, ἁ-
πλοῦν καὶ μονοειδές ἐστι τῇ φύσει. πάσης δι-
πλόης

ἁπλόης, καὶ τῆς πρὸς τὸ ἐναντίον συζυγίας ἀλ-
λότριον· τὸ δὲ κακὸν ποικίλον τε καὶ κατεσχη-
ματισμένον ἐστὶν, ἄλλο τι νομιζόμενον, καὶ ἕτερον
διὰ τῆς πείρας ἀναφαινόμενον. οὗ τὴν γνῶσιν,
τουτέστι τὴν διὰ τῆς πείρας ἀνάληψιν, θανάτου
καὶ διαφθορᾶς ἀρχήν τε καὶ ὑπόθεσιν γίνεσθαι.
διὰ τοῦτο προδείκνυσιν ὁ ὄφις τὸν πονηρὸν τῆς ἁ-
μαρτίας καρπόν. οὐχ ὡς εἶχε φύσεως τὸ κακὸν
ἐκ τοῦ προφανοῦς ἐπιδείξας, οὐ γὰρ ἂν ἠπα-
τήθη ὁ ἄνθρωπος τῷ προδήλῳ κακῷ, ἀλλὰ διά
τινος ὥρας τὸ φαινόμενον ἀγλαΐσας, καί τινα
κατὰ τὴν αἴσθησιν ἡδονὴν ἐγγοητεύσας τῇ γεύ-
σει, πιθανὸς ἐφάνη τῇ γυναικὶ, καθώς φησιν ἡ
γραφή. καὶ εἶδε γοῦν ἡ γυνή φησιν, ὅτι καλὸν τὸ
ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς
ἰδεῖν, καὶ ὡραῖον ἐστὶ τοῦ κατανοῆσαι, καὶ λαβοῦ-
σα, τοῦ καρποῦ αὐτοῦ ἔφαγεν. ἡ δὲ βρῶσις ἐκείνη
θανάτου μήτηρ τοῖς ἀνθρώποις γέγονεν. αὕτη τοί-
νυν ἡ σύμμικτος ἐστὶ καρποφορία, σαφῶς τοῦ
λόγου τὸν νοῦν ἑρμηνεύοντος, καθ' ὃν καλοῦ τε
καὶ κακοῦ γνωστὸν ὠνομάσθη τὸ ξύλον ἐκεῖνο. ὅτι
κατὰ τὴν τῶν δηλητηρίων κακίαν τῶν πα-
ραρτυθέντων τῷ μέλιτι, καθὸ μὲν καταγλυ-
καίνει τὴν αἴσθησιν, καλὸν εἶναι δοκεῖ, καθὸ δὲ
φθείρει τὸν προσαπτόμενον, κακοῦ παντὸς ἔσχα-
τον γίνεται. ἐπεὶ οὖν ἐνήργησε κατὰ τῆς τοῦ ἀν-

θρώπου ζωῆς τὸ πονηρὸν δηλητήριον, τότε ὁ ἄν-
θρωπος τὸ μέγα καὶ πρᾶγμα, καὶ ὄνομα, τὸ τῆς
θείας φύσεως ἀπεικόνισμα, τῇ ματαιότητι, κα-
θώς φησιν ὁ προφήτης, ὡμοιώθη. οὐκοῦν ἡ μὲν
εἰκὼν πρὸς τὸ κρεῖττον τῶν ἐν ἡμῖν νοουμένων ᾠκείω-
ται. τὰ δ᾽ ὅσα τὴν περὶ τὸν βίον λυπηρά τε καὶ
ἄθλια, πόῤῥω τῆς πρὸς τὸ θεῖον ἐστὶν ὁμοιώσεως.

Ὅτι ἡ ἀνάστασις οὐ τοσοῦτον ἐκ τοῦ κηρύγματος τοῦ γραφικοῦ, ὅσον ἐξ αὐτῆς τῆς ἀνάγκης τῶν πραγμάτων ἀκολούθως ἐλπίζεται.

Ἀλλ᾽ οὐχ οὕτως ἐστὶν ἰσχυρὸν ἡ κακία, ὡς τῆς
ἀγαθῆς ὑπερισχῦσαι δυνάμεως. οὐδὲ κρείττων,
καὶ μονιμωτέρα τῆς θεοῦ σοφίας ἡ τῆς φύ-
σεως ἡμῶν ἀβουλία. οὐδὲ γάρ ἐστι δυνατὸν τὸ τρε-
πόμενόν τε καὶ ἀλλοιούμενον, τοῦ ἀεὶ ὡσαύτως ἔ-
χοντος, καὶ ἐν τῷ ἀγαθῷ πεπηγότος, ἐπικρατέ-
στερόν τε καὶ μονιμώτερον εἶναι. ἀλλ᾽ ἡ μὲν θεία
βουλὴ πάντη τε καὶ πάντως τὸ ἀμετάθετον
ἔχει. τὸ δὲ τρεπτὸν τῆς φύσεως ἡμῶν, οὐδὲ ἐν τῷ
κακῷ πάγιον μένει. τὸ γὰρ ἀεὶ πάντως κινούμε-
νον, εἰ μὲν πρὸς τὸ καλὸν ἔχοι τὴν πρόοδον, διὰ τὸ
ἀόριστον τοῦ διεξοδευομένου πράγματος οὐδέπο-
τε λήξει τῆς ἐπὶ τὰ πρόσω φορᾶς. οὐδὲ γὰρ εὑρή-
σει τοῦ ζητουμένου πέρας οὐδὲν, οὗ δραξάμενον

στήσεταί ποτε τῆς κινήσεως. ἡ δὲ πρὸς τὸ ἐναν-
τίον τὴν ῥοπὴν σχοίη, ἐπειδὰν διανύσῃ τῆς κα-
κίας τὸν δρόμον, καὶ ἐπὶ τὸ ἀκρότατον τοῦ κα-
κοῦ μέτρον ἀφίκηται, τότε τὸ τῆς ὁρμῆς ἀεικί-
νητον οὐδεμίαν ἐκ φύσεως στάσιν εὑρίσκον, ἐπει-
δὰν διαδράμῃ τὸ ἐν κακίᾳ διάστημα, κατ᾽ ἀνάγ-
κην ἐπὶ τὸ ἀγαθὸν τρέπει τὴν κίνησιν. μὴ γὰρ
προϊούσης κακίας ἐπὶ τὸ ἀόριστον, ἀλλ᾽ ἀναγ-
καίοις πέρασι κατειλημμένης, ἀκολούθως ἡ τοῦ
ἀγαθοῦ διαδοχὴ τὸ πέρας τῆς κακίας ἐκδέχε-
ται. καὶ οὕτω, καθὼς εἴρηται, τὸ ἀεικίνητον
ἡμῶν τῆς φύσεως πάλιν ὕστατον ἐπὶ τὴν ἀγα-
θὴν ἀνατρέχει πορείαν, τῇ μνήμῃ τῶν προδεδυ-
στυχημένων πρὸς τὸ μὴ πάλιν ἐναλῶναι τοῖς ἴ-
σοις σωφρονιζόμενον. οὐκοῦν ἔσται πάλιν ἐν κα-
λοῖς ὁ δρόμος ἡμῖν, διὰ τὸ πέρασιν ἀναγκαίοις
περιωρίσθαι τῆς κακίας τὴν φύσιν. καθάπερ
γὰρ οἱ δεινοὶ τὰ μετέωρα, τοῦ μὲν φωτὸς πάντα
λέγουσι τὸν κόσμον εἶναι κατάπλεων, τὸ δὲ σκό-
τος τῇ ἀντιφράξει τοῦ κατὰ τὴν γῆν σώματος ἀ-
ποσκιαζόμενον γίνεσθαι, ἀλλὰ τοῦτο μὲν κατὰ
τὸ σχῆμα τοῦ σφαιροειδοῦς σώματος, κατὰ νώτου
τῆς ἡλιακῆς ἀκτῖνος κωνοειδῶς κατακλείεσθαι,
τὸν δὲ ἥλιον πολλαπλασίονι τῷ μεγέθει τὴν γῆν
ὑπερβάλλοντα, πανταχόθεν αὐτὴν ταῖς ἀ-
κτῖσιν ἐν κύκλῳ περιπτυσσόμενον, συνάπτειν κα-

τὰ τὸ πέρας τοῦ κώνου τὰς τοῦ φωτὸς συμβολάς. ὥστε καθ' ὑπόθεσιν, εἰ γένοιτό τινι δύναμις διαβῆναι τὸ μέτρον, εἰς ὃ ἐκτείνεται ἡ σκιά, πάντως ἂν ἐν φωτὶ γενέσθαι μὴ διακοπτομένῳ ὑπὸ τοῦ σκότους. οὕτως οἶμαι δεῖν καὶ περὶ ἡμῶν διανοεῖσθαι, ὅτι διεξελθόντες τὸν τῆς κακίας ὅρον, ἐπειδὰν ἐν τῷ ἄκρῳ γενώμεθα τῆς κατὰ τὴν ἁμαρτίαν σκιᾶς, πάλιν ἐν φωτὶ βιωτεύσομεν κατὰ τὸ ἀπειροπλάσιον, ὡς πρὸς τὸ τῆς κακίας μέτρον, τῆς τῶν ἀγαθῶν φύσεως περιττευούσης. πάλιν οὖν ὁ παράδεισος, πάλιν τὸ ξύλον ἐκεῖνο, ὃ δὴ καὶ ζωῆς ἐστι ξύλον. πάλιν τῆς εἰκόνος ἡ χάρις, καὶ ἡ τῆς ἀρχῆς ἀξία. οὔ μοι δοκεῖ τούτων οὐδέν, ὅσα νῦν πρὸς τὴν τοῦ βίου χρείαν παρὰ τοῦ θεοῦ τοῖς ἀνθρώποις ὑπέζευκται, ἀλλ' ἑτέρας τινὸς βασιλείας ἐστὶν ἡ ἐλπίς, ἧς ὁ λόγος ἐν ἀπορρήτοις μένει.

Πρὸς τοὺς λέγοντας, εἰ καλόν τι καὶ ἀγαθὸν ἡ ἀνάστασις, τί οὐχὶ ἤδη γέγονεν, ἀλλὰ χρόνον τισὶ περιόδοις ἐλπίζεται;

Ἀλλὰ τὸ τῆς ἀκολουθίας τῶν ἐξητασμένων ἐχώμεθα. ἴσως γάρ τις πρὸς τὸ γλυκὺ τῆς ἐλπίδος πτερωθεὶς, τὴν διάνοιαν ἄχθος ἡγεῖται, καὶ ζημίαν τὸ μὴ θᾶττον ἐν τοῖς ἀγαθοῖς ἐκείνοις γενέσθαι, ἃ ὑπὲρ αἴσθησίν τε καὶ γνῶσιν ἀνθρω-

πτηνήν ἐστι, καὶ δεινὴν ποιεῖται τὴν διὰ μέσου πρὸς τὸ ποθούμενον τοῦ χρόνου παράτασιν. ἀλλὰ μὴ στενοχωρείσθω, καθάπερ τις τῶν νηπίων, τὴν πρὸς ὀλίγον ἀναβολὴν τῶν καθ' ἡδονὴν δυσχεραίνων. ἐπειδὴ γὰρ ὑπὸ λόγου καὶ σοφίας τὰ πάντα οἰκονομεῖται, ἀνάγκη πᾶσα, μηδὲν ἄμοιρον ἡγεῖσθαι τῶν γινομένων αὐτοῦ τε τοῦ λόγου, καὶ τῆς ἐν αὐτῷ σοφίας. ἐρεῖς οὖν, τίς οὗτος ὁ λόγος ἐστὶ, καθ' ὃν οὐκ εὐθὺς ἤδη τὸ ποθούμενον ἡ τοῦ λυπηροῦ βίου μετάστασις γίνεται, ἀλλ' εἰς χρόνους τινὰς ὁρισμένους ἡ βαρεῖα, καὶ σωματώδης αὕτη παραταθεῖσα ζωὴ ἀναμένει τὸ πέρας τῆς τοῦ παντὸς συμπληρώσεως, ἵνα τὸ τηνικαῦτα καθάπερ χαλινοῦ τινος ἐλευθερωθεῖσα ἡ ἀνθρωπίνη ζωὴ, πάλιν ἄνετός τε καὶ ἐλευθέρα πρὸς τὸν μακάριον, καὶ ἀπαθῆ βίον ἐπαναδράμοι; ἀλλ' εἰ μὲν ἐγγίζει τῇ ἀληθείᾳ τῶν ζητουμένων ὁ λόγος, αὐτὴ ἂν εἰδείη σαφῶς ἡ ἀλήθεια. ὃ δ' οὖν ἤδη τὴν ἡμετέραν ἦλθε διάνοιαν, τοιοῦτόν ἐστιν. λέγω δὴ τὸν πρῶτον πάλιν ἐπαναλαβὼν λόγον, ποιήσωμεν φησὶν ὁ θεὸς ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἡ μὲν οὖν εἰκὼν τοῦ θεοῦ, ἡ ἐν πάσῃ τῇ ἀνθρωπίνῃ φύσει θεωρουμένη, τὸ τέλος ἔσχεν, ὁ δὲ Ἀδὰμ οὔπω ἐγένετο. τὸ δὲ γήϊνον πλάσμα κατά τινα ἐτυμολο-

γηΐνην ὀνομασίαν λέγεται ἀδάμ. καθὼς φασὶν οἱ τῆς ἑβραίων φωνῆς ἐπίστορες. διὸ καὶ ὁ ἀπόστολος διαφορόντως τὴν πάτριον τῶν ἰσραηλιτῶν πεπαιδευμένος φωνὴν, τὸν ἐκ γῆς ἄνθρωπον χοϊκὸν ὀνομάζει. οἱονεὶ μεταβαλὼν τὴν τοῦ ἀδὰμ κλῆσιν εἰς τὴν ἑλλάδα φωνήν. γέγονεν οὖν κατ' εἰκόνα ὁ ἄνθρωπος, ἡ καθόλου φύσις, τὸ θεοείκελον χρῆμα. γέγονε δὲ τῇ παντοδυνάμῳ σοφίᾳ, οὐχὶ μέρος τοῦ ὅλου, ἀλλ' ἅπαν ἀθρόως τὸ τῆς φύσεως πλήρωμα. εἶδεν ὁ πάντων τῶν περάτων περιδεδραγμένος, καθὼς φησὶν ἡ γραφὴ ἡ λέγουσα, ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. εἶδεν ὁ εἰδὼς τὰ πάντα καὶ πρὶν γενέσεως αὐτῶν, ἐμπεριλαβὼν τῇ γνώσει, ὅσον κατὰ ἀριθμὸν ἐν τοῖς ἕκαστον ἔσται τὸ ἀνθρώπινον. ἐπεὶ δὲ κατενόησεν ἐν τῷ πλάσματι ἡμῶν τὴν πρὸς τὸ χεῖρον ῥοπὴν, καὶ ὅτι τῆς πρὸς τοὺς ἀγγέλους ὁμοτιμίας ἑκουσίως ἀποῤῥυεῖσα, τὴν πρὸς τὸ ταπεινὸν κοινωνίαν προσοικειώσεται, διὰ τοῦτο κατέμιξέ τι καὶ τοῦ ἀλόγου τῇ ἰδίᾳ εἰκόνι. οὐ γάρ ἐστιν ἐν τῇ θείᾳ τε καὶ μακαρίᾳ φύσει ἡ κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορά. ἀλλὰ τῆς ἀλόγου κατασκευῆς ἐπὶ τὸν ἄνθρωπον μετενεγκὼν τὸ ἰδίωμα, οὐ κατὰ τὸ ὑψηλὸν τῆς κτίσεως ἡμῶν τὸν πλεονασμὸν τῷ γένει χαρίζεται. οὐ γὰρ ὅτε τὸ κατ' εἰκόνα ἐποίησε, τότε τὴν τοῦ αὐξάνεσθαι, καὶ

πληθύνεσθε δύναμιν τῷ ἀνθρώπῳ προσέθηκεν, ἀλλ' ὅτε διέκρινε τῇ κατὰ τὸ ἄρρεν καὶ θῆλυ διαφορᾷ, τότε φησὶν, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. τὸ γὰρ τοιοῦτον, οὐ τῆς θείας φύσεως ἴδιον, ἀλλὰ τῆς ἀλόγου ἐστὶ, καθὼς ἡ ἱστορία παρασημαίνεται, πρότερον ἐπὶ τῶν ἀλόγων εἰρῆσθαι ταῦτα παρὰ τοῦ θεοῦ, διηγησαμένη. ὡς εἴγε πρὸ τοῦ ἐπιβαλεῖν τῇ φύσει τὴν κατὰ τὸ ἄρρεν καὶ θῆλυ διαφορὰν, τὴν διὰ τῆς φωνῆς ταύτης δύναμιν εἰς τὸ αὐξάνεσθαι τῷ ἀνθρώπῳ προσέθηκεν, οὐκ ἂν τοῦ τοιούτου τῆς γεννήσεως εἴδους προσεδεήθημεν, δι' οὗ γεννᾶται τὰ ἄλογα. τούτου τοίνυν προκατανοηθέντος διὰ τῆς προγνωστικῆς ἐνεργείας πληρώματος τῶν ἀνθρώπων, διὰ τῆς ζωωδεστέρας γενέσεως ἐπὶ τὴν ζωὴν μέλλοντος παριέναι, ὁ τάξει τινὶ καὶ εἱρμῷ διακυβερνῶν τὰ πάντα θεὸς, ἐπειδὴ ὅλως τὸ τοιοῦτον τῇ ἀνθρωπότητι τῆς γεννήσεως εἶδος ἀναγκαῖον ἐποίησεν ἡ πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν ἐπίκλισις, ἣν εἶδε πρὶν γενέσθαι ὁ ἐπίσης τῷ ἐνεστῶτι τὸ μέλλον βλέπων, διὰ τοῦτο καὶ τὸν σύμμετρον τῇ κατασκευῇ τῶν ἀνθρώπων χρόνον προκατενόησεν. ὥστε τῇ παρόδῳ τῶν προορισθεισῶν ψυχῶν συναπαρτισθῆναι τὴν τοῦ χρόνου παράτασιν, καὶ τότε στῆναι τὴν ῥοώδη τοῦ χρόνου κίνησιν, ὅταν μηκέτι φύηται δι' αὐτοῦ τὸ

ἀνθρώπινον. τελεσθείσης δὲ τῆς τῶν ἀνθρώπων
γενέσεως, τῷ τέλει ταύτης συγκαταλῆξαι τὸν
χρόνον. καὶ οὕτω τὴν τοῦ παντὸς ἀναστοιχείωσιν
γενέσθαι, καὶ τῇ μεταβολῇ τοῦ ὅλου συναμει-
φθῆναι καὶ τὸ ἀνθρώπινον, ἀπὸ τοῦ φθαρτοῦ καὶ
γεώδους, ἐπὶ τὸ ἀπαθὲς καὶ ἀΐδιον. ὅ μοι δο-
κεῖ καὶ ὁ θεῖος ἀπόστολος κατανοήσας, προειπεῖν
διὰ τῆς πρὸς Κορινθίους ἐπιστολῆς τὴν αἰφνίδιον
τοῦ χρόνου στάσιν, καὶ τὴν εἰς τὸ ἔμπαλιν τῶν κι-
νουμένων ἀνάλυσιν. ἐν οἷς φησιν, ἰδοὺ μυστήριον
» ὑμῖν λέγω. πάντες μὲν οὐ κοιμηθησόμεθα, πάν
» τες δὲ ἀλλαγησόμεθα. ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλ
» μοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. τοῦ γὰρ πληρώμα-
τος, ὥς οἶμαι, τῆς ἀνθρωπίνης φύσεως κατὰ τὸ
προεγνωσμένον μέτρον εἰς πέρας ἐλθόντος, διὰ τὸ
μηκέτι λείπειν τῷ τῶν ψυχῶν ἀριθμῷ μηδὲν
εἰς ἐπαύξησιν, ἐν ἀκαρεῖ τοῦ χρόνου γενήσεσθαι
τὴν ἐναλλαγὴν τῶν ὄντων ἐδίδαξεν. ἄτομον ὀ-
νομάσας καὶ ῥιπὴν ὀφθαλμοῦ, τὸ ἀμερὲς ἐκεῖνο
τοῦ χρόνου, καὶ ἀδιάστατον πέρας. ὡς μηκέτι δυ-
νατὸν εἶναι τὸ κατὰ τὸ ἔσχατόν τε καὶ ἀκρότατον
τῆς ἀκμῆς ἐπιβάντι τοῦ χρόνου, διὰ τὸ μηδὲν
ὑπολείπεσθαι τῇ ἀκρότητι μόριον, τὴν προσδο-
κίαν ταύτην διὰ θανάτου μεταβολὴν κτήσα-
σθαι. ἀλλ' εἰ μόνον ἠχήσειεν ἡ τῆς ἀναστάσεως σάλ
πιγξ, ἣ τὸ τεθνηκὸς ἀφυπνίζουσα, καὶ τοὺς ἐν τῇ

ζωῇ καταληφθέντας καθ' ὁμοιότητα τῶν ἐξ ἀναστάσεως ἀλλοιουμένων πρὸς ἀφθαρσίαν ἀθρόως μεταβάλλουσα, ὡς μηκέτι τὸ βάρος τῆς σαρκὸς ἐπὶ τὸ κάτω βρίθειν, καὶ τῇ γῇ παρακατέχειν τὸν ὄγκον, ἀλλὰ μετάρσιον δι' ἀέρος φοιτᾶν. ἁρπαγησόμεθα γάρ φησιν ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. οὐκοῦν ἀναμενέτω τὸν χρόνον τὸν ἀναγκαίως τῇ ἀνθρωπίνῃ αὐξήσει συμπαρατεινόμενον, καὶ γὰρ οἱ περὶ τὸν ἀβραὰμ πατριάρχαι, τοῦ μὲν ἰδεῖν τὰ ἀγαθὰ τὴν ἐπιθυμίαν ἔσχον, καὶ οὐκ ἀνῆκαν ἐπιζητοῦντες τὴν ἐπουράνιον πατρίδα, καθώς φησιν ὁ ἀπόστολος, ἀλλ' ὅμως ἐν τῷ ἐλπίζειν ἔτι τὴν χάριν εἰσί, τοῦ θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου κατὰ τὴν τοῦ παύλου φωνήν. ἵνα μή φησι χωρὶς ἡμῶν τελειωθῶσιν. εἰ οὖν ἐκεῖνοι φέρουσι τὴν ἀναβολὴν οἱ πόῤῥωθεν, διὰ μόνης πίστεως καὶ τῆς ἐλπίδος ἰδόντες τὰ ἀγαθὰ καὶ ἀσπασάμενοι, καθὼς μαρτυρεῖ ὁ ἀπόστολος, τὸ ἀσφαλὲς τῆς τῶν ἐλπισθέντων ἀπολαύσεως, ἐν τῷ πιστὸν ἡγήσασθαι τὸν ἐπαγγειλάμενον, θέμενοι, τί χρὴ πράττειν τοὺς πολλοὺς ἡμᾶς, οἷς τυχὸν οὐδὲ ἡ πρὸς τὸ κρεῖττον ἐλπὶς ἐκ τῶν βεβιωμένων ἐστίν; ἐξέλιπε δι' ἐπιθυμίας καὶ ἡ τοῦ προφήτου ψυχή, καὶ ὁμολογεῖ διὰ τῆς ψαλμῳδίας τὸ ἐρωτικὸν τοῦτο

πάθος, ἐπιποθεῖν λέγων, καὶ ἐκλείπειν αὐτοῦ τὴν ψυχὴν, ἐν ταῖς αὐλαῖς τοῦ κυρίου γενέσθαι, κἂν ἐν τοῖς ἐσχάτοις δέῃ παραῤῥιπτεῖσθαι. ὡς μεῖζον ὂν καὶ περιμάχητον τὸ ἐν ἐκείνοις ἔσχατον εἶναι, τοῦ πρωτεύειν ἐν τοῖς ἁμαρτωλοῖς τοῦ βίου σκηνώμασιν. ἀλλ' ὅμως ἠνείχετο τῆς ἀναβολῆς, μακαρίζων μὲν τὴν ἐκεῖ διαγωγὴν, καὶ τὴν ἐν βραχὺ μετουσίαν χιλιάδων χρόνου περιμαχητέραν ποιούμενος. κρεῖσσον γάρ φησιν ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. ἀλλ' οὐκ ἐδυσχέραινε τῇ ἀναγκαίᾳ περὶ τῶν ὄντων οἰκονομίᾳ, ἱκανόν τε εἰς μακαρισμὸν ᾤετο τοῖς ἀνθρώποις, καὶ τὸ δι' ἐλπίδος ἔχειν τὰ ἀγαθά. διὸ φησὶν ἐπὶ τέλει τῆς ψαλμῳδίας. κύριε ὁ θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. οὐ τοίνυν οὐδὲ ἡμᾶς στενοχωρεῖσθαι χρὴ περὶ τῆς ἐν βραχεῖ τῶν ἐλπιζομένων ἀναβολῆς, ἀλλ' ὅπως ἂν μὴ ἀπόβλητοι τῶν ἐλπιζομένων γενοίμεθα τὴν σπουδὴν ἔχειν. ὥσπερ γὰρ εἴ τις παρείποι τινὶ τῶν ἀπειροτέρων, ὅτι κατὰ τὸν καιρὸν τοῦ θέρους ἡ τῶν καρπῶν γενήσεται συλλογὴ, καὶ πλήρεις μὲν αἱ ἀποθῆκαι, μεστὴ δὲ τῶν ἐδωδίμων ἡ τράπεζα τῷ τῆς εὐθηνίας ἔσται καιρῷ, μάταιος ἂν εἴη ὁ ἐπισπεύδων τοῦ καιροῦ τὴν παρουσίαν, δέον σπέρματα καταβάλλειν, καὶ δι' ἐπιμελείας ἑαυτῷ τοὺς καρποὺς ἑτοιμάζεσθαι. ὁ μὲν

γὰρ καιρὸς

γενομένου καιροῦ καὶ βουλομένου, καὶ μὴ, πάντως κατὰ τὸν τεταγμένον ἐπιστήσεται χρόνον. οὐχ ὁμοίως δὲ αὐτὸν ὄψονται, ὅ,τε προετοιμάσας ἑαυτῷ τὴν τῶν καρπῶν ἀφθονίαν, καὶ ὁ πάσης παρασκευῆς ἔρημος καταλειφθεὶς ἀπὸ τῆς ὥρας. οὕτως οἶμαι δεῖν, προδήλου πᾶσι διὰ τοῦ θείου κηρύγματος ὄντος, ὅτι ἐνστήσεται τῆς ἐναλλαγῆς ὁ καιρὸς, μὴ χρόνους πολυπραγμονεῖν, οὐδὲ γὰρ ἡμῶν εἶπεν εἶναι τὸ καιροὺς γνῶναι καὶ χρόνους, μηδὲ λογισμούς τινας ἀναζητεῖν, δι' ὧν σαθρώσει τις τὴν ψυχὴν περὶ τὴν ἐλπίδα τῆς ἀναστάσεως, ἀλλὰ τῇ πίστει τῶν προσδοκωμένων ἐπερειδόμενον, διὰ τῆς ἀγαθῆς πολιτείας τὴν μέλλουσαν χάριν προεμπορεύεσθαι.

Ὅτι ὁ τὴν ἀρχὴν τῆς τοῦ κόσμου συστάσεως ὁμολογῶν, ἀναγκαίως καὶ περὶ τοῦ τέλους συνθήσεται.

Εἰ δέ τις τὴν νῦν τοῦ κόσμου φορὰν εἱρμῷ τινι διεξαγομένην βλέπων, δι' ἧς τὸ χρονικὸν θεωρεῖται διάστημα, μὴ ἐνδέχεσθαι λέγοι τὴν προαγγελθεῖσαν τῶν κινουμένων στάσιν γενήσεσθαι, δῆλος ὁ τοιοῦτος ἐστὶ, μηδὲ ἐν ἀρχῇ γεγενῆσθαι παρὰ τοῦ θεοῦ τὸν οὐρανὸν, καὶ τὴν γῆν πιστεύων. ὁ γὰρ ἀρχὴν τῇ κινήσει διδοὺς, οὐκ ἀμφιβάλλει πάντως, καὶ περὶ τοῦ τέλους. καὶ ὁ τὸ τέλος μὴ προσδεχόμενος, οὐδὲ τὴν ἀρχὴν παρεδέξατο.

ἀλλ' ὥσπερ κατηρτίσθαι τοὺς αἰῶνας τῷ ῥήματι νοοῦμεν τοῦ θεοῦ, πιστεύοντες, καθώς φησιν ὁ ἀπόστολος, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι, τῇ αὐτῇ πίστει χρησόμεθα περὶ τὸ ῥῆμα τοῦ θεοῦ, τοῦ τὴν ἀναγκαίαν τῶν ὄντων στάσιν προαγορεύοντος. τὸ δὲ πῶς ἐξαιρετέον, τῆς πολυπραγμοσύνης. καὶ γὰρ κἀκεῖ πίστει, κατηρτίσθαι τὸ βλεπόμενον ἐκ τῶν μηδέπω φαινομένων, κατεδεξάμεθα, παραδραμόντες τῶν ἀνεφίκτων τὴν ζήτησιν. καί τοι πολλῶν ἡμῖν ὁ λόγος ἀπορεῖν ὑπετίθετο, οὐ μικρὰς παρέχων τὰς ἀφορμὰς πρὸς τὴν τῶν πεπιστευμένων ἀμφιβολίαν. ἐξῆν γὰρ κἀκεῖ τοῖς ἐριστικοῖς ἐκ τῶν εὐλόγων κατὰ τὸ ἀκόλουθον ἀναστρέπειν τὴν πίστιν, πρὸς τὸ μὴ νομίζειν ἀληθῆ τὸν περὶ τῆς ὑλικῆς κτίσεως εἶναι λόγον, ὃν ἡ ἁγία πρεσβεύει γραφὴ, πάντων τῶν ὄντων ἐκ τοῦ θεοῦ εἶναι διαβεβαιουμένη τὴν γένεσιν. οἱ γὰρ τῷ ἐναντίῳ παριστάμενοι λόγῳ, συναΐδιον εἶναι τῷ θεῷ τὴν ὕλην κατασκευάζουσι, τοιούτοις ἐπιχειρήμασι πρὸς τὸ δόγμα χρώμενοι. εἰ ἁπλοῦς ὁ θεὸς τῇ φύσει, καὶ ἄϋλος, ἄποιός τε, καὶ ἀμεγέθης, καὶ ἀσύνθετος, καὶ τῆς κατὰ τὸ σχῆμα περιγραφῆς ἀλλοτρίως ἔχων. πᾶσα δὲ ὕλη ἐν διαστηματικῇ παρατάσει καταλαμβάνεται, καὶ τὰς διὰ τῶν αἰσθητηρίων καταλήψεις οὐ διαπέφευγεν. ἐν

χρώματι, καὶ σχήματι, καὶ ὄγκῳ, καὶ πηλικότητι, καὶ ἀντιτυπίᾳ, καὶ τοῖς λοιποῖς τοῖς περὶ αὐτὴν θεωρουμένοις γινωσκομένην, ὧν οὐδὲν ἐν τῇ θείᾳ φύσει δυνατόν ἐστι κατανοῆσαι, τίς μηχανὴ ἐκ τοῦ ἀΰλου τὴν ὕλην ἀποτεχθῆναι, ἐκ τοῦ ἀδιαστάτου, τὴν διαστηματικὴν φύσιν. εἰ γὰρ ἐκεῖθεν ὑποστῆναι ταῦτα πεπίστευται, δηλονότι ἐν αὐτῷ ὄντα, κατὰ τὸν ἄρρητον λόγον οὕτω προῆλθεν εἰς γένεσιν. εἰ δὲ ἐν ἐκείνῳ τὸ ὑλῶδες ἦν, πῶς ἄϋλος ὁ ἐν αὐτῷ τὴν ὕλην ἔχων; ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα, δι' ὧν ἡ ὑλικὴ φύσις χαρακτηρίζεται. εἰ ἐν τῷ θεῷ ἡ ποσότης, πῶς ἄποσος ὁ θεός; εἰ ἐν ἐκείνῳ τὸ σύνθετον, πῶς ἁπλοῦς καὶ ἀμερὴς καὶ ἀσύνθετος; ὥστε ἢ ὑλικὸν εἶναι κατ' ἀνάγκην αὐτὸν, διὰ τὸ ἐκεῖθεν ὑποστῆναι τὴν ὕλην ὁ λόγος βιάζεται, ἢ εἰ τοῦτό τις φεύγοι, ἔξωθεν ἐπεισενεχθῆναι τὴν ὕλην αὐτῷ πρὸς τὴν κατασκευὴν τοῦ παντὸς ὑπολαμβάνειν ἐπάναγκες. εἰ οὖν ἔξω τοῦ θεοῦ ἦν, ἄλλο τι παρὰ τὸν θεὸν πάντως ἦν συνεπινοούμενον κατὰ τὸν τῆς ἀϊδιότητος λόγον τῷ ἀγεννήτως ὄντι. ὥστε δύο ἄναρχα καὶ ἀγέννητα, κατὰ ταυτὸν ἀλλήλοις τῷ λόγῳ συγκαταλαμβάνεσθαι, τοῦ τεχνικῶς ἐνεργοῦντος, καὶ τοῦ δεχομένου τὴν ἐπιστημονικὴν ταύτην ἐνέργειαν. καὶ εἴ τις ἐκ τῆς ἀνάγκης ταύτης ἀΐδιον ὑποτίθοιτο τῷ δημιουρ-

γὰρ τῶν ἁπάντων ὑποκεῖσθαι τὴν ὕλην, ὅσην ὁ μανιχαῖος εὑρήσει τῶν ἰδίων δογμάτων τὴν συνηγορίαν, ὃς τὴν ὑλικὴν αἰτίαν κατὰ τὸ ἀγέννητον ἀντιπαρεξάγει τῇ ἀγαθῇ φύσει. ἀλλὰ μὴν καὶ ἐκ τοῦ θεοῦ τὰ πάντα τῆς γραφῆς λεγούσης ἀκούοντες πεπιστεύκαμεν, καὶ τὸ ὅπως ἦν ἐν τῷ θεῷ, τὸ ὑπὲρ τὸν ἡμέτερον λόγον, οὐκ ἀξιοῦμεν περιεργάζεσθαι, πάντα τῇ θείᾳ δυνάμει χωρητὰ πεπιστευκότες. καὶ τὸ μὴ ὂν ὑποστήσασθαι, καὶ τῷ ὄντι πρὸς τὸ δοκοῦν ἐπιβαλεῖν τὰς ποιότητας. οὐκοῦν ἀκολούθως, ὡς ἀρκεῖν ἡγούμεθα τοῖς οὖσι, πρὸς τὴν ἐκ τοῦ μὴ ὄντος ὑπόστασιν, τὴν τοῦ θείου θελήματος δύναμιν, οὕτω καὶ τὴν ἀναστοιχείωσιν τῶν συνεστώτων εἰς τὴν αὐτὴν ἀνάγοντες δύναμιν, ὡς οὐδὲν ἔξω τοῦ εἰκότος τὴν πίστιν παραληψόμεθα. καίτοι γε δυνατὸν ἴσως ἦν, εὑρεσιλογίᾳ τινὶ τοὺς περὶ τῆς ὕλης βραχυλογοῦντας πεῖσαι, μὴ δοκεῖν ἐρήμην κατατρέχειν τοῦ λόγου.

Ἀντίρρησις πρὸς τοὺς λέγοντας συναΐδιον εἶναι τῷ θεῷ τὴν ὕλην, ὡς αὖτις, καὶ τῶν ἔξωθεν, προσαχθείη πιστεῦσαι τῇ γραφῇ περὶ ἀναστάσεως διδασκούσῃ.

Οὐδὲ γὰρ ἔξω τῶν κατὰ τὸ ἀκόλουθον εὑρισκομένων ἡ περὶ τῆς ὕλης ὑπόληψις φαίνεται, ἣ ἐκ

ἢ ἐκ τοῦ νοητοῦ τε καὶ ἀΰλου ταύτην ὑποστῆναι προσδοκῶντες. πάντων γὰρ εὑρήσομεν ἐκ ποιοτήτων τινῶν συνεστῶσαν τὴν ὕλην, ὧν εἰ γυμνωθείη καθ᾽ ἑαυτήν, οὐδαμοῦ τῷ λόγῳ καταληφθήσεται. ἀλλὰ μὴν ἕκαστον ποιότητος εἶδος λόγῳ τοῦ ὑποκειμένου χωρίζεται, ὁ δὲ λόγος νοητή τις ἐστὶ, καὶ οὐχὶ σωματικὴ θεωρία. οἷον, προκειμένου ζώου τινὸς, ἢ ξύλου τῇ θεωρίᾳ, ἤ τινος ἄλλου τῶν ὑλικὴν ἐχόντων τὴν σύστασιν, πολλὰ περὶ τὸ ὑποκείμενον τῇ κατ᾽ ἐπίνοιαν διαιρέσει κατενοήσαμεν, ὧν ἑκάστου πρὸς τὸ συνθεωρούμενον ἀμίκτως ὁ λόγος ἔχει. ἕτερος γὰρ ὁ τοῦ χρώματος, καὶ ἕτερος τοῦ βάρους ὁ λόγος, ὁ τῆς ποσότητος πάλιν, καὶ ὁ τῆς ποιᾶς κατὰ τὴν ἁφὴν ἰδιότητος. ἥ τε γὰρ μαλακότης καὶ τὸ δίπηχυ, καὶ τὰ λοιπὰ τῶν εἰρημένων, οὔτε ἀλλήλοις, οὔτε τῷ σώματι κατὰ τὸν λόγον συμφέρεται. ἑκάστου γὰρ τούτων ἴδιος, καθ᾽ ὅ ἐστιν, ὁ ἑρμηνευτικὸς ὅρος ἐπινοεῖται, οὐδὲν ἐπικοινωνῶν ἄλλῃ τινι τῶν περὶ τὸ ὑποκείμενον θεωρουμένων ποιότητι. εἰ τοίνυν νοητὸν μὲν τὸ χρῶμα, νοητὴ δὲ καὶ ἡ ἀντιτυπία, καὶ ἡ ποσότης, καὶ τὰ λοιπὰ τῶν τοιούτων ἰδιωμάτων, ἕκαστον δὲ τούτων, εἰ ὑφαιρεθείη τοῦ ὑποκειμένου, πᾶς ὁ τοῦ σώματος συνδιαλύεται λόγος, ἀκόλουθον ἂν εἴη, ὧν τὴν ἀπουσίαν τῆς τοῦ σώματος λύσεως αἰτίαν εὕρομεν,

τούτων τὴν συνδρομὴν ἀποτίκτειν τὴν ὑλικὴν φύσιν ὑπολαμβάνειν. ὡς γὰρ οὐκ ἔστι σῶμα, ᾧ τὸ χρῶμα, καὶ τὸ σχῆμα, καὶ ἡ ἀντιτυπία, καὶ ἡ διάστασις, καὶ τὸ βάρος, καὶ τὰ λοιπὰ τῶν ἰδιωμάτων οὐ πρόσεστιν, ἕκαστον δὲ τούτων σῶμα οὐκ ἔστιν, ἀλλ' ἕτερόν τι παρὰ τὸ σῶμα, κατὰ τὸ ἰδιάζον εὑρίσκεται, οὕτω κατὰ τὸ ἀντίστροφον. ὅπου δ' ἂν συνδράμῃ τὰ εἰρημένα, τὴν σωματικὴν ὑπόστασιν ἀπεργάζεται. ἀλλὰ μὴν εἰ νοητὴ τῶν ἰδιωμάτων τούτων ἡ κατανόησις, νοητὸν δὲ τῇ φύσει τὸ θεῖον, οὐδὲν ἀπεικὸς, ἐκ τῆς ἀσωμάτου φύσεως, τὰς νοερὰς ταύτας ἀφορμὰς πρὸς τὴν τῶν σωμάτων γένεσιν ὑποστῆναι. τῆς μὲν νοητῆς φύσεως τὰς νοητὰς ὑφιστώσης δυνάμεις, τῆς δὲ τούτων πρὸς ἄλληλα συνδρομῆς τὴν ὑλώδη φύσιν παραγούσης εἰς γένεσιν. ἀλλὰ ταῦτα μὲν κατὰ τὸ πάρεργον ἡμῖν παρεξητάσθω. ἡμῖν δὲ πάλιν ἐπὶ τὴν πίστιν ἐπανακτέον τὸν λόγον. δι' ἧς ἔκ τε τοῦ μὴ ὄντος, ὑποστῆναι τὸ πᾶν ἐδεξάμεθα, καὶ πάλιν εἰς ἄλλην τινὰ μεταστοιχειοῦσθαι κατάστασιν παρὰ τῆς γραφῆς διδαχθέντες, οὐκ ἀμφιβάλλομεν.

Πῶς ἄν τις καὶ τῶν ἔξωθεν προσαχθείη πιστεῦσαι τῇ γραφῇ περὶ τῆς ἀναστάσεως διδασκούσῃ.

Ἀλλ' ἴσως τις πρὸς τὰ διαλυθέντα σώματα βλέπων, καὶ πρὸς τὸ μέτρον τῆς ἰδίας δυνάμεως τὸ θεῖον κρίνων, τὸν τῆς ἀναστάσεως λόγον ἀδύνατον εἶναι φησὶ, καὶ στήσεσθαι τὰ νῦν κινούμενα, καὶ ἀναστήσεσθαι τὰ νῦν μὴ κινούμενα μὴ ἐνδέχεσθαι λέγων. ἀλλ' ὁ τοιοῦτος πρῶτον μὲν καὶ μέγιστον ποιείσθω τεκμήριον τῆς κατὰ τὴν ἀνάστασιν ἀληθείας, τὸ τοῦ κηρύγματος ἀξιόπιστον. ἡ δὲ τῶν λεγομένων πίστις ἐκ τῆς τῶν λοιπῶν τῶν προῤῥηθέντων ἐκβάσεως τὸ ἀσφαλὲς ἔχει. ἐπειδὴ γὰρ πολλούς τε καὶ παντοδαποὺς παρέθετο λόγους ἡ θεία γραφὴ, δυνατόν ἐστιν, ὅπως ἂν ἔχῃ ψεύδους ἢ ἀληθείας τὰ λοιπὰ τῶν εἰρημένων θεασαμένους, δι' ἐκείνων καὶ τὸ περὶ τῆς ἀναστάσεως δόγμα κατανοῆσαι. εἰ μὲν γὰρ ἐν τοῖς ἄλλοις ψευδεῖς οἱ λόγοι, καὶ διεσφαλμένοι τῆς ἀληθείας ἐλέγχονται, οὐδὲ οὗτος πάντως ἐκτὸς ψεύδους ἐστίν. εἰ δὲ τὰ ἄλλα πάντα μαρτυροῦσαν ἔχει τῇ ἀληθείᾳ τὴν πεῖραν, ἀκόλουθον ἂν εἴη δι' ἐκείνων, καὶ τὴν περὶ τῆς ἀναστάσεως πρόῤῥησιν ἀληθῆ νομίσαι. οὐκοῦν ἐπιμνησθῶμεν ἑνὸς ἢ δυοῖν τῶν προκατηγγελμένων, καὶ αὐτὰ παραθῶμεν τοῖς προῤῥηθεῖσιν τὴν ἔκβασιν, ὥστε γνῶναι δι' αὐτῶν, εἰ πρὸς τὴν ἀλήθειαν ὁ λόγος βλέπει. τίς οὐκ οἶδεν ὅπως ἤνθει κατὰ τὸ ἀρχαῖον ὁ ἰσραηλίτης λαός; πάσαις ταῖς

κατὰ τὴν οἰκουμένην δυναστείαις ἀντεγειρόμενος. οἷα ἦν τὰ βασίλεια κατὰ τὴν τῶν ἱεροσολύμων πόλιν, οἷα τὰ τείχη, οἱ πύργοι, ἡ τοῦ ἱεροῦ μεγαλουργία, ἅπερ καὶ τοῖς μαθηταῖς τοῦ κυρίου ἄξια θαύματος ἐνομίσθη, καὶ κατανοεῖν ἀξιοῦσι τὸν κύριον, θαυμαστικῶς περὶ τὰ φαινόμενα διατεθέντες, ὥς ἡ τοῦ εὐαγγελίου ἱστορία δηλοῖ, λέγοντες πρὸς αὐτὸν, ποταπὰ τὰ ἔργα, καὶ ποταπαὶ αἱ οἰκοδομαί. ὁ δὲ τὴν ἐσομένην περὶ τὸν τόπον ἐρήμωσιν, καὶ τὸν ἐκφανισμὸν τοῦ κάλλους ἐκείνου πρὸς τοὺς τὸ παρὸν θαυμάζοντας ὑποδείκνυσι, λέγων, μηδὲν τῶν φαινομένων μετ᾽ ὀλίγον ὑπολειφθήσεσθαι. ἀλλὰ καὶ παρὰ τὸν τοῦ πάθους καιρὸν, αἱ μὲν γυναῖκες ἐπηκολούθουν θρηνοῦσαι τὴν ἄδικον ἐπ᾽ αὐτῷ ψῆφον, οὔπω γὰρ εἰς τὴν τῶν γινομένων οἰκονομίαν ἀπέβλεπον, ὁ δὲ συμβουλεύει τὰ μὲν περὶ αὐτὸν γινόμενα σιωπᾷν, μηδὲ γὰρ εἶναι δακρύων ἄξια. ὑπερθέσθαι δὲ τὸν ὀδυρμὸν καὶ τὸν θρῆνον εἰς τὸν ἀληθῆ τῶν δακρύων καιρὸν, ὅταν περισχεθῇ τοῖς πολιορκοῦσιν ἡ πόλις, καὶ εἰς τοσοῦτον συνοχῆς ἔλθῃ τὰ πάθη, ὡς μακαριστὸν ἡγεῖσθαι τὸν μὴ γεννώμενον. ἐν οἷς καὶ τὸ περὶ τὴν τεκνοφάγον προεμήνυσεν ἄγος, εἰπὼν, μακαρισθήσεσθαι κατὰ τὰς ἡμέρας ἐκείνας τὴν γαστέρα τὴν ἄγονον. ποῦ τοίνυν ἐκεῖνα τὰ βασίλεια; ποῦ τὸ ἱερόν; ποῦ

τὰ τείχη; ποῦ τῶν πύργων αἱ περιβολαί; ποῦ δὲ ἡ τῶν ἰσραηλιτῶν δυναστεία; οὐχ οἱ μὲν κατὰ πᾶσαν μικροῦ δεῖν τὴν οἰκουμένην, ἄλλος ἀλλαχῆ διεσπάρησαν; τῇ δὲ τούτων καταστροφῇ συνδιερειπώθη καὶ τὰ βασίλεια; δοκεῖ γάρ μοι ταῦτα, καὶ τὰ τοιαῦτα προμηνύσαι ὁ κύριος, οὐ τῶν πραγμάτων χάριν, τί γὰρ τοσοῦτον ἦν τοῖς ἀκούουσι κέρδος τῶν πάντως ἐκβησομένων ἡ πρόρρησις; ἔγνωσαν γὰρ ἂν τῇ πείρᾳ, καὶ μὴ προμαθόντες τὸ γενησόμενον, ἀλλ' ὥστε διὰ τούτων αὖθις καὶ τὴν περὶ τῶν μειζόνων πίστιν εἰς ἀκολουθίαν ἐλθεῖν. ἡ γὰρ ἐν τούτοις διὰ τῶν ἔργων μαρτυρία, καὶ τῆς ἐν ἐκείνοις ἀληθείας ἐστὶν ἀπόδειξις. ὥσπερ γὰρ, εἴ τινος γεωργοῦ τὴν τῶν σπερμάτων ὑφηγουμένου δύναμιν, ἀπιστεῖν συμβῇ τὸν γεωργίας ἄπειρον, αὐτάρκης ἂν εἰς ἀπόδειξιν τῆς ἀληθείας ἦν τῷ γεηπόνῳ ἐν ἑνὶ σπέρματι τῶν ἐν τῷ μεδίμνῳ κειμένων δεῖξαι τὴν δύναμιν, καὶ περὶ τῶν λοιπῶν ἐγγυᾶσθαι, ὁ γὰρ ἰδὼν τὸν ἕνα πυρὸν, ἢ τὴν μίαν κριθὴν, ἢ ὅτι περ ἂν ἐν τῷ πληρώματι τοῦ μεδίμνου τύχῃ, μετὰ τὸ ἐγκαταβληθῆναι τῇ βώλῳ στάχυν γενόμενον, οὐκέτι ἂν διὰ τοῦ ἑνὸς οὐδὲ περὶ τῶν λοιπῶν ἀπιστήσειεν, οὕτως ἱκανή μοι δοκεῖ πρὸς μαρτυρίαν εἶναι τοῦ κατὰ τὴν ἀνάστασιν μυστηρίου ἡ τοῖς λοιποῖς τῶν εἰρημένων συνομολογουμένη ἀλήθεια.

μᾶλλον δὲ καὶ αὐτῆς τῆς ἀναστάσεως ἡ πεῖρα. ἣν οὐ διὰ λόγων τοσοῦτον, ὅσον δι' αὐτῶν τῶν ἔργων ἐδιδάχθημεν. ἐπειδὴ γὰρ μέγα καὶ ὑπὲρ πίστιν ἦν τὸ κατὰ τὴν ἀνάστασιν θαῦμα, διὰ τῶν κατωτέρω τῆς θαυματοποιΐας ἀρξάμενος, ἠρέμα πως τὴν πίστιν ἡμῶν προσεθίζει τοῖς μείζοσι. καθάπερ γάρ τις μήτηρ καταλλήλως τιθηνουμένη τὸ νήπιον, τέως μὲν ἁπαλῷ τε καὶ ὑγρῷ τῷ στόματι τὸ γάλα διὰ τῆς θηλῆς ἐντίθησιν, ὀδοντοφυοῦντι δὲ ἤδη καὶ αὐξανομένῳ προσάγει τὸν ἄρτον, οὐ τραχύν τε καὶ ἀκατέργαστον, ὡς ἂν μὴ προσξανθείη τῷ σκληρῷ τῆς τροφῆς τὸ τῶν οὔλων ἁπαλόν τε καὶ ἀγύμναστον, ἀλλὰ τοῖς ἰδίοις ὀδοῦσι καταλεάνασα, σύμμετρόν τε καὶ κατάλληλον τῇ δυνάμει τοῦ προσφερομένου ἐποίησεν, εἶτα κατὰ προσθήκην τῆς δυνάμεως ἐπιδιδούσης, προσεθισθὲν τοῖς ἁπαλωτέροις ἠρέμα τὸ νήπιον προσάγει τῇ στερεωτέρᾳ τροφῇ, οὕτω τὴν ἀνθρωπίνην μικροψυχίαν ὁ κύριος, οἷόν τι νήπιον ἀτελὲς διὰ τῶν θαυμάτων τρέφων, καὶ τιθηνούμενος, πρῶτον μὲν ἐν ἀπεγνωσμένῃ νόσῳ τὴν τῆς ἀναστάσεως προοιμιάζεται δύναμιν, ὃ μέγα μὲν ἦν τῷ κατορθώματι, οὐ μὴν τοιοῦτον, οἷον ἀπιστεῖσθαι λεγόμενον. ἐπιτιμήσας γὰρ τῷ πυρετῷ σφοδρῶς τὴν πενθερὰν τοῦ σίμωνος καταφλέγοντι, τοσαύτην ἐποίησε τοῦ κακοῦ τὴν με-

τάστασιν, ὡς πρὸς τὸ διακονεῖν τοῖς παροῦσιν ἐνι-
σχῦσαι τὴν ἤδη προσδοκωμένην τεθνήξεσθαι.
εἶτα μικρόν τι τῇ δυνάμει προστίθησι καὶ τοῦ
βασιλικοῦ τὸν υἱὸν ἐν ὁμολογουμένῳ κινδύνῳ κεί-
μενον. οὕτω γάρ φησιν ἡ ἱστορία ὅτι ἔμελλε τελευ-
τᾶν, τοῦ πατρὸς βοῶντος, κατάβηθι πρὶν ἀπο-
θανεῖν τὸ παιδίον, ἐνεργεῖ πάλιν τοῦ τεθνήξεσθαι
πεπιστευμένου τὴν ἀνάστασιν, ἐν μείζονι τῇ δυνά-
μει τὸ θαῦμα κατεργασάμενος, τῷ μὴ δὲ πλησιά-
σαι τῷ τόπῳ, ἀλλὰ πόῤῥωθεν, τῇ τοῦ προστάγμα-
τος ἰσχύϊ τὴν ζωὴν ἀποστεῖλαι. πάλιν δι' ἀκολου-
θίας τοῖς ὑψηλοτέροις ἐπαναβαίνει θαύμασι.
πρὸς γὰρ τὴν παῖδα τοῦ ἀρχισυναγώγου ὁρμή-
σας ἑκὼν, ἔδωκε τῇ ὁδοιπορίᾳ σχολὴν, τὴν ἴα-
σιν τῆς αἱμοῤῥοίας δημοσιεύων λαθοῦσαν, ὡς ἐὰν
ἐν τῷ χρόνῳ τούτῳ κατακρατήσειε τῆς νοσού-
σης ὁ θάνατος. ἄρτι τοίνυν τῆς ψυχῆς χωρι-
σθείσης τοῦ σώματος, καὶ θορυβουμένων ἐν τῇ γοερᾷ
κραυγῇ τῶν ἐπικωκυόντων τῷ πάθει, καθάπερ
ἐξ ὕπνου τῷ προστακτικῷ λόγῳ διανίστησι πά-
λιν πρὸς τὴν ζωὴν τὸ κοράσιον, ὁδῷ τινι καὶ ἀκο-
λουθίᾳ πρὸς τὸ μεῖζον ἀναλαμβάνων τὴν ἀνθρω-
πίνην ἀσθένειαν. εἶτ' ἐπὶ τούτοις ὑπερβαίνει τῷ
θαύματι, καὶ δι' ὑψηλοτέρας δυνάμεως ὁδοποιεῖ
τοῖς ἀνθρώποις τὴν περὶ τῆς ἀναστάσεως πίστιν.
ναΐν τινα πόλιν κατὰ τὴν ἰουδαίαν ἱστορεῖ ἡ γρα-

φή. παῖς ἦν ἐν ταύτῃ μονογενὴς χήρᾳ τινί, οὐκέ-
τι τοιοῦτος παῖς, οἷος ἐν μειρακίοις εἶναι, ἀλλ᾽ ἤδη
ἐκ παίδων εἰς ἄνδρας τελῶν. νεανίαν αὐτὸν ὀνο-
μάζει ὁ λόγος. πολλὰ δι᾽ ὀλίγων διηγεῖται ἡ ἱστο-
ρία. θρῆνος ἄντικρυς ἐστὶ τὸ διήγημα. χήρα φησὶν
ἦν τοῦ τεθνηκότος ἡ μήτηρ. ὁρᾷς τὸ βάρος τῆς
συμφορᾶς, πῶς ἐν ὀλίγῳ τὸ πάθος ὁ λόγος ἐξε-
τραγῴδησε; τί γάρ ἐστι τὸ λεγόμενον; ὅτι οὐκ ἦν
αὐτῇ παιδοποιΐας ἐλπίς, τὴν ἐπὶ τῷ ἐκλείπον-
τι συμφορὰν θεραπεύουσα. χήρα γὰρ ἡ γυνή, οὐκ
εἶχε πρὸς ἕτερον ἀντὶ τοῦ κατοιχομένου βλέ-
πειν. μονογενὴς γὰρ ὁ τόκος. ὅσον δὲ τὸ ἐπὶ τού-
τῳ κακόν, παντὶ ῥᾴδιον συνιδεῖν, τῷ μὴ ἀπεξε-
νωμένῳ τῆς φύσεως. μόνον ἐν ὠδῖσιν ἐκεῖνον ἐγνώ-
ρισε, μόνον ταῖς θηλαῖς ἐτιθηνήσατο, μόνος αὐ-
τῇ φαιδρὰν ἐποίει τὴν τράπεζαν, μόνος ἦν τῆς κα-
τὰ τὸν οἶκον φαιδρότητος ἡ ὑπόθεσις. παίζων,
σπουδάζων, ἀσκούμενος, φαιδρυνόμενος. ἐν προό-
δοις, ἐν παλαίστραις, ἐν συλλόγοις νεότητος. πᾶν
ὅτι μητρὸς ὀφθαλμοῖν γλυκύ τε καὶ τίμιον, μό-
νος ἐκεῖνος ἦν, ἤδη τοῦ γάμου τὴν ὥραν ἄγων. ὁ τοῦ
γένους ὅρπηξ, ὁ τῆς διαδοχῆς κλάδος, ἡ βακτη-
ρία τοῦ γήρως. ἀλλὰ καὶ ἡ τῆς ἡλικίας προ-
σθήκη, ἄλλος θρῆνος ἦν. ὁ γὰρ νεανίαν εἰπών, τὸ ἄν-
θος εἶπε τῆς μαρανθείσης ὥρας. ἄρτι τοῖς ἰού-
λοις ὑποχλοάζοντα, οὔπω τοῦ πώγωνος διὰ βά-

θους ὑποπιμπλάμενον, ἔτι τῷ κάλλει τὴν πα-
ρειὰν ὑποστίλβοντα. τί τοίνυν πάσχειν εἰκὸς ἦν
ἐπ' αὐτῷ τὴν μητέρα; οἱονεὶ πυρὶ τοῖς σπλάγ-
χνοις ἐγκαταφλέγεσθαι. ὡς πικρῶς ἐπ' αὐτῷ
παρατείνειν τὸν θρῆνον, περιπλεκομένην προκει-
μένῳ τῷ πτώματι, ὡς μὴ ἂν ἐπισπεῦσαι τῷ νε-
κρῷ τὴν κηδείαν, ἀλλ' ἐμφορεῖσθαι τοῦ πάθους,
ἐπὶ πλεῖστον αὐτῷ τοὺς ὀδυρμοὺς παρατείνουσαν.
οὐδὲ τοῦτο παρῆκεν ὁ λόγος. ἰδὼν γὰρ αὐτὴν ὁ ἰη-
σοῦς, φησὶν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν, ἥψα-
το τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν. καὶ λέγει
τῷ νεκρῷ, νεανία, σοὶ λέγω, ἐγέρθητι. καὶ παρέ-
δωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ ζῶντα. ἤδη τοί-
νυν οὐκ ἐν ὀλίγῳ διαστήματι τοῦ νεκροῦ γεγενη-
μένου, καὶ ὅσον οὐδέπω ἐναποτιθέντος τῷ τάφῳ,
γίνεται παρ' αὐτοῦ κυρίου τὸ μὲν θαῦμα μεῖζον,
τὸ δὲ πρόσαγμα ἶσον. ἔτι πρὸς τὸ ὑψηλότερον
ἡ θαυματοποιΐα προέρχεται, ὡς ἂν μᾶλλον προσεγ-
γίσειε τὰ φαινόμενα τῷ ἀπιστουμένῳ περὶ τὴν
ἀνάστασιν θαύματι. ἀσθενεῖ τις τῶν συνήθων τῷ
κυρίῳ καὶ φίλων, λάζαρος ὄνομα τῷ ἀσθενοῦν-
τι, καὶ παραιτεῖται ὁ κύριος τὴν τοῦ φίλου ἐπί-
σκεψιν, πόῤῥω τοῦ νοσοῦντος γενόμενος, ὡς ἂν εὕροι
χώραν καὶ δύναμιν ἐν τῇ τῆς ζωῆς ἀπουσίᾳ τὸ ἴ-
διον ἐργάζεσθαι διὰ τῆς νόσου ὁ θάνατος. μηνύει
τοῖς μαθηταῖς ὁ κύριος κατὰ τὴν γαλιλαίαν, τὸ

περὶ τὸν λάζαρον πάθος. ἀλλὰ καὶ τὴν πρὸς αὐτὸν ὁρμὴν, ἐφ᾽ ᾧτε διαναστῆσαι τὸν κείμενον. περιδεεῖς δὲ ἦσαν ἐκεῖνοι διὰ τὴν τῶν ἰουδαίων ὠμότητα. χαλεπὸν καὶ κινδυνῶδες ποιούμενοι, τὸ πάλιν αὖθι τῆς ἰουδαίας ἐν μέσῳ τῶν φονώντων γενέσθαι. καὶ διὰ τοῦτο μέλλοντες καὶ ἀναβαλλόμενοι, χρόνῳ ποιοῦνται τὴν ἀπὸ τῆς γαλιλαίας ἐπάνοδον. κατεκράτει γὰρ ἡ ἐξουσία, καὶ ἤγοντο παρὰ τοῦ κυρίου οἱ μαθηταὶ, οἱονεὶ τὰ προτέλεια τῆς καθολικῆς ἀναστάσεως ἐν βηθανίᾳ μυηθησόμενοι. τέσσαρες ἦσαν ἤδη μετὰ τὸ πάθος αἱ ἡμέραι, πάντα πεπλήρωτο τῷ κατοιχομένῳ τὰ νομιζόμενα, τάφῳ κατεκρύβη τὸ σῶμα, ἐξῳδήκει κατὰ τὸ εἰκὸς ἤδη, καὶ πρὸς διαφθορὰν διελύετο, μυδῶντος ἐν τῷ ὑγρότητι τῆς γῆς, καὶ διαπίπτοντος ὑπ᾽ ἀνάγκης τοῦ σώματος. φευκτὸν ἦν τὸ πρᾶγμα, βιαζομένης τῆς φύσεως, τὸ διαλυθὲν εἰς δυσωδίαν ἀποδιδόναι πάλιν τῷ ζῆν. τότε τὸ ἀπιστούμενον τῆς καθολικῆς ἀναστάσεως ἔργον δι᾽ ἐναργεστέρου τοῦ θαύματος εἰς ἀπόδειξιν ἄγεται. οὐδὲ γὰρ ἐκ νόσου τις ἀνίσταται χαλεπῆς, οὐδὲ πρὸς ταῖς τελευταίαις ὢν ἀναπνοαῖς εἰς τὴν ζωὴν ἐπανάγεται, οὐδὲ παιδίον ἀρτιθανὲς ζωοποιεῖται, οὐδὲ μέλλων τῷ τάφῳ προσάγεσθαι νεανίας πάλιν ἐκ τῆς σοροῦ ἀναλύεται, ἀλλ᾽ ἀνὴρ τῶν ἐξώρων, νεκρὸς, ἕωλος,

ἐξῳδηκὼς

ἐξῳδηκὼς ἤδη, καὶ λελυμένος, ὡς μηδὲ τοῖς ἐπιτηδείοις ἀνεκτὸν εἶναι, προσεγγίσαι τῷ τάφῳ τὸν κύριον, διὰ τὴν ἐγκειμένην ἀηδίαν τοῦ διαπεπτωκότος σώματος. μιᾷ κλήσει ζωοποιηθείς. πιστοῦται τὸ κήρυγμα τῆς ἀναστάσεως, τουτέστι, τὸ ἐπὶ τοῦ κοινοῦ προσδοκώμενον, ὃ ἐπὶ μέρους τῇ πείρᾳ ἐμάθομεν. καθάπερ γὰρ ἐν τῇ τοῦ παντὸς ἀναστοιχειώσει φησὶν ὁ ἀπόστολος, αὐτὸν καταβήσεσθαι τὸν κύριον, ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ διὰ σάλπιγγος εἰς ἀφθαρσίαν τοὺς νεκροὺς διαναστήσει, οὕτω καὶ νῦν, οἷόν τινα ὕπνον τὸν θάνατον τῇ φωνῇ τοῦ προστάγματος ὁ ἐν τῷ τάφῳ ἀποσεισάμενος, καὶ ἀποτινάξας ἑαυτοῦ τὴν ἐπιγινομένην διαφθορὰν τῇ νεκρότητι, ἄρτιος καὶ σῶος τοῦ τάφου ἐξάλλεται, μηδὲ τῷ δεσμῷ τῶν περὶ τοὺς πόδας, καὶ τὰς χεῖρας κειριῶν κωλυθεὶς πρὸς τὴν ἔξοδον. ἆρα μικρὰ ταῦτα πρὸς πίστιν τῆς τῶν νεκρῶν ἀναστάσεως; ἢ ζητεῖς καὶ δι' ἑτέρων βεβαιωθῆναί σοι τὴν περὶ τούτου κρίσιν. ἀλλά μοι δοκεῖ μὴ μάτην τοῖς κατὰ φαρναοὺμ εἰρηκέναι, ὡς ἐκ προσώπου τῶν ἀνθρώπων ὁ κύριος τοῦτο πρὸς ἑαυτὸν λέγων, πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην, ἰατρὲ θεράπευσον σεαυτόν. ἔδει γὰρ ἐν ἑτέροις σώμασι προσεθίσαντα τοὺς ἀνθρώπους τῷ κατὰ τὴν ἀνάστασιν θαύματι, ἐν τῷ καθ' ἑαυτὸν ἀνθρώπῳ βε-

βεβαιῶσαι τὸν λόγον. εἶδες ἐν ἑτέροις ἐνεργὸν τὸ κήρυγμα, τοὺς τεθνήξεσθαι μέλλοντας, τὸ παιδίον τὸ τοῦ ζῆν ἄρτι παυσάμενον, τὸν πρὸς τῷ τάφῳ νεανίαν, τὸν διεφθορότα νεκρὸν, πάντας κατὰ τὸ ἴσον ἐνὶ προστάγματι πρὸς τὴν ζωὴν ἀναλύοντας. ζητεῖς καὶ τοὺς διὰ τραυμάτων καὶ αἱμάτων ἐν τῷ θανάτῳ γεγονότας, μή τις ἐκεῖ τούτων ἀτονία τῆς ζωοποιοῦ δυνάμεως λύει τὴν χάριν; εἶδε τὸν ἐν ἥλοις διαπερονηθέντα τὰς χεῖρας, εἶδε τὸν τὴν πλευρὰν λόγχῃ διαπαρέντα, διένεγκε τοὺς δακτύλους σου διὰ τῶν τύπων τῶν ἥλων, ἔμβαλε τὴν χεῖρά σου τῷ ἐκ τῆς λόγχης τραύματι, στοχάσῃ πάντως ἐκεῖ πόσον εἰκὸς ἦν εἰς τὸ ἐντὸς τὴν αἰχμὴν διαδῦναι, διὰ τοῦ πλάτους τῆς ὠτειλῆς, τὴν ἐκεῖ τὸ ἔσω πάροδον λογιζόμενος. ἡ γὰρ εἴσοδον χειρὸς ἀνθρωπίνης χωρήσασα πληγὴ, πόσον ἐντὸς τοῦ βάθους γενέσθαι τὸν σίδηρον ὑποδείκνυσιν; εἰ οὖν οὗτος ἐγήγερται, εὔκολον ἂν εἴη τὸ ἀποστολικὸν ἐπιφθέγξασθαι, πῶς λέγουσί τινες, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν. ἐπειδὴ τοίνυν πᾶσα μὲν πρόῤῥησις τοῦ κυρίου διὰ τῆς τῶν γεγονότων μαρτυρίας ἀληθὴς ἐπιδείκνυται, τούτου δὲ οὐ λόγῳ μεμαθήκαμεν μόνον, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἐκεῖ τὴν ζωὴν ἐξ ἀναστάσεως ἐπανελθόντων, ἔργῳ τὴν ἀπόδειξιν τῆς ἐπαγγελίας ἐλάβομεν. τίς ὑπο-

λείπεται

λείπεται τοῖς μὴ πιστεύουσιν ἀφορμὴ οὐκ ἐρρῶσθαι φράζοντες τοῖς διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης παρακρουομένοις τὴν ἀκατάσκευον πίστιν; ψιλῆς ἑξόμεθα τῆς ὁμολογίας; μαθόντες ἐν ὀλίγῳ διὰ τοῦ προφήτου τὸν τρόπον τῆς χάριτος, δι' ὧν φησιν, ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. ὅτε καὶ εὐφραίνεσθαι τὸν κύριον ἐπὶ τοῖς ἔργοις αὐτοῦ λέγει, ἐκλειπόντων τῶν ἁμαρτωλῶν ἀπὸ τῆς γῆς. πῶς γάρ τις ἐξ ἁμαρτίας ὀνομασθήσεται, τῆς ἁμαρτίας οὐκ οὔσης;

ὅτι οὐκ ἔξω τοῦ εἰκότος ἡ ἀνάστασις.

Ἀλλ' εἰσί τινες, οἱ διὰ τὴν τῶν ἀνθρωπίνων λογισμῶν ἀτονίαν, πρὸς τὰ ἡμέτερα μέτρα τὴν θείαν δύναμιν κρίνοντες, τὸ ἡμῖν ἀχώρητον, οὐδὲ θεῷ δυνατὸν εἶναι κατασκευάζουσι. δεικνύουσι γὰρ τήν τε ἀρχαίων νεκρῶν τὸν ἀφανισμὸν, τήν τε διὰ πυρὸς ἀποτεφρωθέντων τὰ λείψανα, καὶ ἔτι πρὸς τούτοις, τὰ σαρκοβόρα τῶν ζώων τῷ λόγῳ προφέρουσι, καὶ τὸν ἰχθὺν τῷ ἰδίῳ σώματι, τὴν σάρκα τοῦ ναυαγήσαντος ἀναλαβόντα, καὶ τοῦτον πάλιν τροφὴν ἀνθρώπων γινόμενον, καὶ εἰς τὸν τοῦ βεβρωκότος ὄγκον μετα-

κεχωρηκότα διὰ τῆς πέψεως. καὶ πολλὰ τοιαῦτα μικροπρεπῆ, καὶ τῆς μεγάλης τοῦ θεοῦ δυνάμεως, καὶ ἐξουσίας ἀνάξια, ἐπ' ἀνατροπῇ τοῦ δόγματος διεξέρχονται, ὡς οὐ δυναμένου τοῦ θεοῦ, πάλιν διὰ τῶν αὐτῶν ὁδῶν, δι' ἀναλύσεως ἀποκαταστῆσαι τῷ ἀνθρώπῳ τὸ ἴδιον. ἀλλ' ἡμεῖς ἐν ὀλίγῳ τὰς μακρὰς αὐτῶν τῆς λογικῆς ματαιότητος περιδρομὰς ὑποτεμνόμεθα, ὁμολογοῦντες τὴν μὲν διάλυσιν τοῦ σώματος, εἰς τὰ, ἐξ ὧν συνέστηκε, γίγνεσθαι, καὶ οὐ μόνον τὴν γῆν κατὰ τὸν θεῖον λόγον εἰς τὴν γῆν ἀναλύεσθαι, ἀλλὰ καὶ τὸν ἀέρα, καὶ τὸ ὑγρὸν προσχωρεῖν τῷ ὁμοφύλῳ, καὶ ἑκάστου τῶν ἐν ἡμῖν πρὸς τὸ συγγενὲς τὴν μεταχώρησιν γίγνεσθαι, κἂν τοῖς σαρκοβόροις ὀρνέοις, κἂν τοῖς ὠμοτάτοις θηρίοις ἀναμιχθῇ τὸ ἀνθρώπινον σῶμα διὰ τῆς βρώσεως, κἂν ὑπὸ τὸν ὀδόντα τῶν ἰχθύων ἔλθη, κἂν εἰς ἀτμοὺς καὶ κόνιν μεταβληθῇ τῷ πυρί. ὅπου δ' ἂν τις καθ' ὑπόθεσιν περιενέγκῃ τῷ λόγῳ τὸν ἄνθρωπον, ἐντὸς τοῦ κόσμου πάντως ἐστί. τοῦτον δὲ τῇ χειρὶ τοῦ θεοῦ περικρατεῖσθαι ἡ θεόπνευστος διδάσκει φωνή. εἰ οὖν σύ τι τῶν ἐν τῇ σῇ παλάμῃ οὐκ ἀγνοεῖς, ἆρ' οἴει τῆς σῆς δυνάμεως ἀδυνατωτέραν εἶναι τὴν τοῦ θεοῦ γνῶσιν; ὡς μὴ ἂν ἐξευρεῖν τῶν ἐμπεριεχομένων ὑπὸ τῆς θείας σπιθαμῆς τὴν ἀκρίβειαν;

Ὅτι δυνατόν ἐστιν εἰς τὰ τοῦ παντὸς στοιχεῖα τοῦ ἀνθρωπίνου σώματος ἀναλυθέντος, πάλιν ἐκ τοῦ κοινοῦ ἑκάστῳ τὸ ἴδιον ἀποσωθῆναι.

Ἀλλὰ τυχὸν πρὸς τὰ στοιχεῖα τοῦ παντὸς βλέπων, δύσκολον οἴει, τοῦ ἐν ἡμῖν ἀέρος πρὸς τὸ συγγενὲς στοιχεῖον ἀναχυθέντος, καὶ τοῦ θερμοῦ τε καὶ ὑγροῦ, καὶ τοῦ γεώδους ὡσαύτως τοῖς ὁμοφύλοις ἐγκαταμιχθέντων, πάλιν ἐκ τοῦ κοινοῦ τὸ οἰκεῖον ἐπὶ τὸ ἴδιον ἀναδραμεῖν, εἶτα οὐ λογίζει διὰ τῶν ἀνθρωπίνων ὑποδειγμάτων, τὸ μηδὲ τοῦτο τῆς θείας δυνάμεως ὑπερβαίνειν τοὺς ὅρους. εἶδές που πάντως ἐν ταῖς ἀνθρωπίναις οἰκήσεσι, κοινὴν ἀγέλην ζώων τινῶν ἐκ κοινοῦ συνισταμένην, ἀλλ' ὅταν πάλιν πρὸς τοὺς κεκτημένους αὐτὴ καταμερίζηται, ἥ τε πρὸς τοὺς οἴκους συνήθεια, καὶ τὰ ἐπικείμενα σημεῖα τὸ ἴδιον ἑκάστῳ ἀποκαθίστησι. τοιοῦτόν τι καὶ περὶ σεαυτὸν ἐννοῶν, οὐχ ἁμαρτήσεις τοῦ πρέποντος. φυσικῇ γάρ τινι σχέσει καὶ στοργῇ πρὸς τὸ συνοικῆσαν σῶμα τῆς ψυχῆς διακειμένης, ἔστι τις κατὰ τὸ λεληθὸς αὐτῇ διὰ τῆς συνανακράσεως τοῦ οἰκείου σχέσις τε καὶ ἐπίγνωσις, οἷον σημείων τινῶν παρὰ τῆς φύσεως ἐπικειμένων, δι' ὧν ἡ κοινότης ἀσύγχυτος μένει διακρινομένη τοῖς ἰδιά-

ξουσι. τῆς τοίνυν ψυχῆς τὸ συγγενές τε καὶ ἴδιον ἐφ' ἑαυτὴν πάλιν ἑλκούσης, τίς πόνος, φησί μοι, τῇ θείᾳ δυνάμει κωλῦσαι τὴν οἰκείων τὴν συνδρομὴν, ἀῤῥήτῳ τινὶ τῇ τῆς φύσεως ὁλκῇ πρὸς τὸ ἴδιον ἐπειγομένων; τὸ γὰρ ἐπιδιαμένειν τινὰ τῇ ψυχῇ καὶ μετὰ τὴν διάλυσιν σημεῖα τοῦ ἡμετέρου συγκρίματος, δείκνυσιν ὁ κατὰ τὸν ἅδην διάλογος. τῶν μὲν σωμάτων τῷ τάφῳ παραδοθέντων, γνωρίσματος δέ τινος σωματικοῦ ταῖς ψυχαῖς παραμείναντος, δι' οὗ καὶ ὁ λάζαρος ἐγνωρίζετο, καὶ οὐκ ἠγνοεῖτο ὁ πλούσιος. οὐκοῦν οὐδὲν ἔξω τοῦ εἰκότος ἐστὶ, πάλιν πιστεύειν, ἐκ τοῦ κοινοῦ πρὸς τὸ ἴδιον τὴν ἀνάλυσιν γίνεσθαι τῶν ἀνισταμένων σωμάτων, καὶ μάλιστά γε τῷ φιλοπονώτερον τὴν φύσιν ἡμῶν κατεξετάζοντι. οὔτε γὰρ δι' ὅλου ἐν ῥύσει καὶ μεταβολῇ τὸ ἡμέτερον. ἢ γοῦν ἂν ἄληπτον ἦν καθόλου τῷ μηδεμίαν στάσιν ἔχειν ἐκ φύσεως. ἀλλὰ κατὰ τὸν ἀκριβέστερον λόγον, τὸ μέν τι ἕστηκε τῶν ἐν ἡμῖν, τὸ δὲ δι' ἀλλοιώσεως πρόεισιν. ἀλλοιοῦται μὲν γὰρ δι' αὐξήσεώς τε, καὶ μειώσεως τὸ σῶμα, οἷον ἱμάτια τινὰ, τὰς καθεξῆς ἡλικίας μετενδυόμενον, ἕστηκε δὲ διὰ πάσης τροπῆς ἀμετάβλητον ἐφ' ἑαυτοῦ τὸ εἶδος, τῶν ἅπαξ ἐπιβληθέντων αὐτῷ παρὰ τῆς φύσεως σημείων οὐκ ἐξιστάμενον, ἀλλὰ πάσαις ταῖς κατὰ τὸ σῶμα τροπαῖς μετὰ

τῶν

τῶν ἰδίων ἐμφαινόμενον γνωρισμάτων. ὑφεξαιρείσθω δὲ τοῦ λόγου, ἡ ἐκ πάθους ἀλλοίωσις, ἡ τῷ εἴδει ἐπισυμβαίνουσα. οἷον γάρ τι προσωπεῖον ἀλλότριον ἡ κατὰ τὴν νόσον ἀμορφία διαλαμβάνει τὸ εἶδος, ἧς τῷ λόγῳ περιαιρεθείσης, καθάπερ ἐπὶ νεεμὰν τοῦ σύρου, ἢ ἐπὶ τῶν κατὰ τὸ εὐαγγέλιον ἱστορηθέντων, πάλιν τὸ κεκρυμμένον ὑπὸ τοῦ πάθους εἶδος, διὰ τῆς ὑγείας ἐν τοῖς ἰδίοις ἀνεφάνη γνωρίσμασι. τῷ τοίνυν θεοειδεῖ τῆς ψυχῆς οὐ τὸ ῥέον ἐν τῇ ἀλλοιώσει, καὶ μεθιστάμενον, ἀλλὰ τὸ μόνιμόν τε, καὶ ὡσαύτως ἔχον ἐν τῷ καθ' ἡμᾶς συγκρίματι τούτῳ προσφύεται. καὶ ἐπειδὴ τὰς κατὰ τὸ εἶδος διαφορὰς αἱ ποιαὶ τῆς κράσεως παραλλαγαὶ μεταμορφοῦσιν, ἡ δὲ κρᾶσις οὐκ ἄλλη τίς παρὰ τὴν τῶν στοιχείων μίξιν ἐστὶ, στοιχεῖα δὲ φαμὲν τὰ τῇ κατασκευῇ τοῦ παντὸς ὑποκείμενα, δι' ὧν καὶ τὸ ἀνθρώπινον συνέστηκε σῶμα, ἀναγκαίως τοῦ εἴδους, οἷον ἐκμαγείῳ, σφραγῖδος τῇ ψυχῇ παραμείναντος, οὐδὲ τὰ ἐναπομαξάμενα τῇ σφραγῖδι τὸν τύπον, ὑπ' αὐτῆς ἀγνοεῖται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἀναστοιχειώσεως ἐκεῖνα δέχεται πάλιν πρὸς ἑαυτὴν, ἅπερ ἂν ἐναρμόσῃ τῷ τύπῳ τοῦ εἴδους. ἐναρμόσειε δὲ πάντως ἐκεῖνα, ὅσα κατ' ἀρχὰς ἐνετυπώθη τῷ εἴδει. οὐκοῦν οὐδὲν ἔξω τοῦ εἰκότος ἐστὶ, πάλιν ἐκ τοῦ κοινοῦ πρὸς τὸ κα-

ἕκαστον ἐπαναλύειν τὸ ἴδιον. λέγεται δὲ καὶ
τὴν ὑδράργυρον προχυθεῖσαν τοῦ περιέχοντος,
καθ' ὑπτίου τινὸς καὶ κονιορτώδους χωρίου εἰς λε-
πτὰ σφαιρωθεῖσαν, κατὰ τὴν γῆν διασκιδνᾶ-
σθαι, πρὸς οὐδὲν τῶν ἐπιτυχόντων ἐμμιγνυμέ-
νην. εἰ δέ τις πάλιν τὸ πολλαχῆ κατεσπαρμένον
εἰς ἓν συναγείρειεν, αὐτομάτως ἀναχεῖσθαι πρὸς
τὸ ὁμόφυλον, οὐδενὶ μέσῳ πρὸς τὴν οἰκείαν μί-
ξιν διειργομένην. τοιοῦτόν τι χρῆναι νομίζω καὶ
περὶ τὸ ἀνθρώπινον σύγκριμα διανοεῖσθαι. εἰ μό-
νον γένοιτο παρὰ τοῦ θεοῦ τὸ ἐνδόσιμον, αὐτομά-
τως τὰ κατάλληλα μόρια τοῖς οἰκείοις ἐπανα-
κίρνασθαι, μηδεμιᾶς δυσκολίας τῷ ἀναστοιχειοῦν-
τι τὴν φύσιν διὰ τούτων ἐγγινομένης. καὶ γὰρ ἐπὶ
τῶν ἐν τῇ γῇ φυομένων, οὐδένα πόνον ὁρῶμεν
τῆς φύσεως ἐπὶ τὸν πυρὸν, ἢ τὴν κέγχρον, ἢ ἄλ-
λό τι τῶν σιτηρῶν ἢ χεδροπῶν σπερμάτων ἐν
τῷ μεταβάλλειν εἰς καλάμην, καὶ ἀθέρας καὶ
ἀστάχυας. ἀπραγματεύτως γὰρ κατὰ τὸ αὐτό-
ματον ἡ κατάλληλος τροφὴ ἐκ τοῦ κοινοῦ, πρὸς
τὴν ἑκάστου τῶν σπερμάτων ἰδιότητα μεταβαί-
νει. εἰ οὖν κοινῆς πᾶσι τοῖς φυομένοις τῆς ἰκμά-
δος ὑποκειμένης, ἕκαστον τῶν δι' αὐτῆς τρεφο-
μένων τὸ κατάλληλον ἔσπασεν εἰς τὴν τοῦ οἰ-
κείου προσθήκην, τί καινὸν, εἰ καὶ ἐν τῷ τῆς ἀ-
ναστάσεως λόγῳ παρ' ἑκάστου τῶν ἀνισταμένων,

καθὼς ἐπὶ τῶν σπερμάτων, συμβαίνει οὕτως γίνεσθαι τὴν τοῦ οἰκείου ὁλκήν. ὥστε δὲ ἀπὸ πάντων δυνατὸν εἶναι μαθεῖν, μηδὲν ἔξω τῶν τῇ πείρᾳ γνωριζομένων τὸ κήρυγμα προλέγειν τῆς ἀναστάσεως. καίτοι γε τὸ γνωριμώτατον τῶν ἡμετέρων ἐσιωπήσαμεν, αὐτὴν λέγω τὴν πρώτην τῆς συστάσεως ἡμῶν ἀφορμήν. τίς γὰρ οὐκ εἶδε τὴν θαυματοποιΐαν τῆς φύσεως, τί λαβοῦσα ἡ μητρῴα νηδύς, τί ἀπεργάζεται; ἢ οὐχ ὁρᾷς ὅπως ἁπλοῦν τρόπον τινά, καὶ ὁμοιομερές ἐστι, τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ σώματος τοῖς σπλάγχνοις καταβαλλόμενον; τὴν δὲ ποικιλίαν τοῦ κατασκευαζομένου συγκείματος, τίς λόγος ἐκδιηγήσεται; τίς δ᾽ ἂν μὴ τῇ κοινῇ φύσει τὸ τοιοῦτον μαθών, δυνατὸν ἡγήσαιτο τὸ γινόμενον, ὅτι τὸ βραχύ τε, καὶ ἀντ᾽ οὐδενὸς ἐκεῖνο τοῦ τοσούτου πράγματος ἐστὶν ἀρχή; μέγα δέ φημι, οὐ μόνον εἰς τὴν κατὰ τὸ σῶμα βλέπων διάπλασιν, ἀλλ᾽ ὃ πρὸ τούτου θαυμάζειν ἄξιον, αὐτὴν λέγω τὴν ψυχήν, καὶ τὰ περὶ αὐτὴν θεωρούμενα.

Πρὸς τοὺς λέγοντας προϋφεστάναι τὰς ψυχὰς τῶν σωμάτων, ἢ τὸ ἔμπαλιν, πρὸ τῶν ψυχῶν διαπεπλάσθαι τὰ σώματα. ἐν ᾧ τις καὶ ἀνατροπὴ τῆς κατὰ τὰς μετεμψυχώσεις μυθοποιΐας.

Τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶ, τὸ διεξετάσαι τὸ ἀμφιβαλλόμενον ἐν ταῖς ἐκκλησίαις, περὶ ψυχῆς τε καὶ σώματος. τοῖς μὲν γὰρ τῶν πρὸ ἡμῶν δοκεῖ, οἷς ὁ περὶ τῶν ἀρχῶν ἐπραγματεύθη λόγος, καθάπερ τινὰ δῆμον ἐν ἰδιαζούσῃ πολιτείᾳ τὰς ψυχὰς προϋφεστάναι λέγειν, προκεῖσθαι δὲ κἀκεῖ τά τε τῆς κακίας καὶ τῆς ἀρετῆς ὑποδείγματα, καὶ παραμένουσαν μὲν ἐν τῷ καλῷ τὴν ψυχὴν, τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείρατον. εἰ δὲ καὶ ἀπορρυῇ τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῇδε βίον κατολισθαίνειν, καὶ οὕτως ἐν σώματι γίνεσθαι. ἕτεροι δὲ τῇ κατὰ τὸν μωϋσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες, δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν χρόνον φασίν. ἐπειδὴ πρῶτον λαβὼν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς, ἔπλασε τὸν ἄνθρωπον, εἶθ᾽ οὕτως ἐψύχωσε διὰ τοῦ ἐμφυσήματος. καὶ τούτῳ τῷ λόγῳ προτιμοτέραν ἀποδεικνύουσι τῆς ψυχῆς τὴν σάρκα, τῆς ἐπεισκρινομένης τὴν προδιαπεπλασμένην. λέγουσι γὰρ διὰ τὸ σῶμα τὴν ψυχὴν γενέσθαι, ὡς ἂν μὴ ἄπνουν τι καὶ ἀκίνητον εἴη τὸ πλάσμα. πᾶν δὲ τὸ διά τι γινόμενον, ἀτιμότερον πάντως ἐστὶ τοῦ δι᾽ ὃ γίνεται. καθὼς τὸ εὐαγγέλιον λέγει, ὅτι πλεῖον ἐστὶ τῆς τροφῆς ἡ ψυχὴ, καὶ τὸ σῶμα τοῦ ἐνδύματος. διότι τού-

τῶν ἕνεκεν ἐκεῖνα. οὐ γὰρ διὰ τὴν τροφὴν ἡ ψυ-
χὴ, οὐδὲ τοῦ ἐνδύματος χάριν κατεσκευάσθη τὰ
σώματα, ἀλλὰ τούτων ὄντων, ἐκεῖνα διὰ τὴν χρείαν
προσεξευρέθη. ἐπεὶ οὖν ἐν ἀμφοτέραις ταῖς
ὑπολήψεσιν ὁ λόγος ὕποπτος τῶν τε προβιω-
τεύειν τὰς ψυχὰς ἐν ἰδίᾳ τινὶ καταστάσει μυ-
θολογούντων, καὶ τῶν ὕστερον τῶν σωμάτων
κατασκευάζεσθαι νομιζόντων, ἀναγκαῖον ἂν εἴη
μηδὲν τῶν λεγομένων ἐν τοῖς δόγμασι περιλιπεῖν
ἀνεξέταστον. ἀλλὰ τὸ μὲν δι' ἀκριβείας τοὺς ἑ-
κατέρωθεν γυμνάζειν λόγους, καὶ πάσας ἐκκα-
λύπτειν τὰς ἐγκειμένας ἀτοπίας ταῖς ὑπολή-
ψεσι, μακροῦ ἂν δέοιτο καὶ χρόνου, καὶ λόγου. δι'
ὀλίγων δὲ καθὼς ἐστὶ δυνατὸν, ἑκάτερον τῶν εἰρη-
μένων ἐπισκεψάμενοι, πάλιν τῶν προκειμένων
ἀντιληψόμεθα. οἱ τῷ προτέρῳ παριστάμενοι
λόγῳ, καὶ πρεσβυτέραν τῆς ἐν σαρκὶ ζωῆς τὴν
πολιτείαν τῶν ψυχῶν δογματίζοντες, οὔ μοι
δοκοῦσι τῶν ἑλληνικῶν καθαρεύειν δογμάτων,
τῶν περὶ τῆς μετενσωματώσεως αὐτοῖς μεμυ-
θολογημένων. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε
πρὸς τὸ ἀληθὲς, κατὰ πᾶσαν ἀνάγκην εἰς τὸν λόγον
αὐτοῖς εὑρήσει κατασυρόμενον, ὅν φασί τινα
τῶν παρ' ἐκείνοις σοφῶν εἰρηκέναι, ὅτι ἀνὴρ γέ-
γονεν ὁ αὐτὸς, καὶ γυναικὸς σῶμα μετημφιάσα-
το, καὶ μετ' ὀρνέων ἀνέπτη, καὶ θάμνος ἔφυ, καὶ

τὸν ἔνυδρον ἔλαχε βίον. οὐ πόῤῥω τῆς ἀληθείας
κατά γε τὴν ἐμὴν κρίσιν φερόμενος, ὁ περὶ αὐ-
τοῦ ταῦτα λέγων. ὄντως γὰρ βατράχων τινῶν
ἢ κολοιῶν φλυαρίας, ἢ ἀλογίας ἰχθύων, ἢ
δρυῶν ἀναισθησίας, ἄξια τὰ τοιαῦτα δόγμα-
τα, τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν.
τῆς δὲ τοιαύτης ἀτοπίας αὕτη ἐστὶν ἡ αἰτία, τὸ
προϋφεστάναι τὰς ψυχὰς οἴεσθαι. δι' ἀκολούθου
γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος ἐπὶ τὸ προ-
σεχές τε καὶ παρακείμενον τὸν λόγον προάγου-
σα, μέχρι τούτου τερατευομένη διέξεισιν. εἰ γὰρ
διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέ-
ρας ἡ ψυχὴ πολιτείας μετὰ τὸ, καθώς φασιν,
ἅπαξ γεύσασθαι τοῦ σωματικοῦ βίου, πάλιν ἄνθρωπος
γίνεται, ἐμπαθέστερος δὲ πάντως ὁ ἐν σαρκὶ βίος
ὁμολογεῖται παρὰ τὸν ἀΐδιον καὶ ἀσώματον, ἀνάγκη
πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινομένην βίῳ, ἐν ᾧ
πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαὶ, ἐν
πλείονί τε κακίᾳ γενέσθαι, καὶ ἐμπαθέστερον ἢ
πρότερον διατεθῆναι. ἀνθρωπίνης δὲ ψυχῆς πά-
θος, ἡ πρὸς τὸ ἄλογον ἐστὶν ὁμοίωσις, τούτῳ δὲ προ-
σοικειωθεῖσαν αὐτὴν, εἰς κτηνώδη φύσιν μεταῤῥυῆ-
ναι, ἅπαξ δὲ διὰ κακίας ὁδεύσασαν, μηδὲ ἐν ἀλό-
γῳ γενομένην, τῆς ἐπὶ τὸ κακὸν προόδου λῆξαι πο-
τέ. ἡ γὰρ τοῦ κακοῦ στάσις, ἀρχὴ τῆς κατ' ἀρετὴν ἐστὶν
ὁρμῆς, ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν, οὐκοῦν ἀεὶ

πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται πάντοτε πρὸς τὸ ἀτιμότερον προϊοῦσα, καὶ ἀεὶ τὸ χεῖρον τῆς, ἐν ᾗ ἐστι, φύσεως ἐξευρίσκουσα. ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν, οὕτω καὶ ἀπὸ τούτου ἐπὶ τὸ ἀναίσθητον ἡ μετάπτωσις γίνεται. ἀλλὰ μέχρι τούτου προϊὼν ὁ λόγος αὐτοῖς, εἰ καὶ ἔξω τῆς ἀληθείας φέρεται, ἀλλά γε διά τινος ἀκολουθίας τὸ ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει. τὸ δὲ ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ δόγμα μυθοποιεῖται. ἡ μὲν γὰρ ἀκολουθία παντελῆ διαφθορὰν τῆς ψυχῆς ὑποδείκνυσιν. ἡ γὰρ ἅπαξ τῆς ὑψηλῆς πολιτείας ἀπολισθήσασα, ἐν οὐδενὶ μέτρῳ κακίας στῆναι δυνήσεται, ἀλλὰ διὰ τῆς πρὸς τὰ πάθη σχέσεως ἀπὸ μὲν τοῦ λογικοῦ πρὸς τὸ ἄλογον μεταβήσεται, ἀπ᾽ ἐκείνου δὲ, πρὸς τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται. τῷ δὲ ἀναισθήτῳ γειτνιᾷ πως τὸ ἄψυχον, τούτῳ δὲ τὸ ἀνύπαρκτον ἕπεται. ὥστε καθόλου διὰ τῆς ἀκολουθίας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει. οὐκοῦν ἀμήχανος αὐτῇ πάλιν ἐξ ἀνάγκης ἔσται ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος. ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον τὴν ψυχὴν ἐπανάγουσι. οὐκοῦν προτιμοτέραν τὴν ἐν θάμνῳ ζωὴν τῆς ἀσωμάτου διαγωγῆς ἐκ τούτων ἀποδεικνύουσι. δέδεικται γὰρ ὅτι ἡ πρὸς τὸ χεῖρον γινομένη πρόο-

δος τῆς ψυχῆς, πρὸς τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται. ὑποβέβηκε δὲ τὴν ἀναίσθητον φύσιν, τὸ ἄψυχον, ὡς ὁ δι' ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν τὴν ψυχὴν ἄγει. ἀλλ' ἐπειδὴ τοῦτο οὐ βούλονται, ἢ τῷ ἀναισθήτῳ τὴν ψυχὴν ἐγκατακλείουσιν, ἢ εἴπερ ἐντεῦθεν αὖθις τὸν ἀνθρώπινον αὐτὴν ἐπανάγοιεν βίον, προτιμότερον, καθὼς εἴρηται, τὸν ξυλώδη βίον τῆς πρώτης ἀποδείξουσι καταστάσεως. εἴπερ ἐκεῖθεν μὲν ἡ πρὸς κακίαν κατάπτωσις γέγονεν, ἐντεῦθεν δὲ ἡ πρὸς ἀρετὴν ἐπάνοδος γίνεται. οὐκοῦν ἀκέφαλός τις, καὶ ἀτελὴς ὁ τοιοῦτος διελέγχεται λόγος, ὁ τὰς ψυχὰς ἐφ' ἑαυτῶν πρὸ τῆς ἐν σαρκὶ ζωῆς βιοτεύειν κατασκευάζων, καὶ διὰ κακίας συνδεῖσθαι τοῖς σώμασι. τῶν δὲ νεωτέραν τοῦ σώματος τὴν ψυχὴν εἶναι λεγόντων, προκατεσκευάσθη διὰ τῶν κατόπιν ἡ ἀτοπία. οὐκοῦν ἀπόβλητος ἐπίσης ὁ παρ' ἀμφοτέρων λόγος.
διὰ δὲ τοῦ μέσου τῶν ὑπολήψεων εὐθύνειν οἶμαι δεῖν ἐν ἀληθείᾳ τὸ ἡμέτερον δόγμα. ἔστι δὲ τοῦτο, τὸ μήτε κατὰ τὴν ἑλληνικὴν ἀπάτην, ἐν κακίᾳ τινὶ βαρηθείσας τὰς τῷ παντὶ συμπεριπολούσας ψυχάς, ἀδυναμίᾳ τοῦ συμπαραθέειν τῇ ὀξύτητι τῆς τοῦ πόλου κινήσεως, αὖθις τὴν γῆν καταπίπτειν οἴεσθαι. μὴ δ' αὖ πάλιν οἱονεὶ πήλινον ἀνδριάντα προδιαπλασθέντα τῷ λόγῳ

τὸν ἄνθρωπον, τούτου ἕνεκεν τὴν ψυχὴν γίνεσθαι λέγειν. ἢ γὰρ ἂν ἀτιμοτέρα τοῦ πηλίνου πλάσματος ἡ νοερὰ φύσις ἀποδειχθείη.

Κατασκευὴ τοῦ, μίαν καὶ τὴν αὐτὴν ψυχῇ τε καὶ σώματι τὴν αἰτίαν τῆς ὑπάρξεως εἶναι.

Ἀλλ' ἑνὸς ὄντος τοῦ ἀνθρώπου τοῦ διὰ ψυχῆς τε καὶ σώματος συνεστηκότος, μίαν αὐτῷ καὶ κοινὴν τῆς συστάσεως τὴν ἀρχὴν ὑποτίθεσθαι, ὡς ἂν μὴ αὐτὸς ἑαυτοῦ πρεσβύτερός τε καὶ νεώτερος γένοιτο, τοῦ μὲν σωματικοῦ προτερεύοντος ἐν αὐτῷ, τοῦ δὲ ἑτέρου ἐφυστερίζοντος. ἀλλὰ τῇ μὲν προγνωστικῇ τοῦ θεοῦ δυνάμει, κατὰ τὸν μικρῷ πρόσθεν ἀποδοθέντα λόγον, ἅπαν προϋφεστάναι τὸ ἀνθρώπινον πλήρωμα λέγειν. συμμαρτυρούσης εἰς τοῦτο τῆς προφητείας, τῆς λεγούσης εἰδέναι τὰ πάντα τὸν θεὸν, πρὶν γενέσεως αὐτῶν. ἐν δὲ τῇ καθ' ἕκαστον δημιουργίᾳ, μὴ προτιθέναι τοῦ ἑτέρου τὸ ἕτερον. μήτε πρὸ τοῦ σώματος τὴν ψυχὴν, μήτε τὸ ἔμπαλιν. ὡς ἂν μὴ στασιάζοι πρὸς ἑαυτὸν ὁ ἄνθρωπος τῇ κατὰ τὸν χρόνον διαφορᾷ μεριζόμενος. διπλῆς γὰρ τῆς φύσεως ἡμῶν νοουμένης, κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, τοῦ τε φαινομένου ἀνθρώπου, καὶ τοῦ κεκρυμμένου, εἰ τὸ μὲν προϋπάρχοι, τὸ δὲ ἐπιγένοιτο, ἀτελής τις ἡ τοῦ δημιουρ-

γοῦντος ἀπελεγχθήσεται δύναμις, οὐ τῷ παντὶ κατὰ τὸ ἀθρόον ἐξαρκοῦσα, ἀλλὰ διαιρουμένη τὸ ἔργον, καὶ ἀνὰ μέρος περὶ ἑκάτερον τῶν ἡμισευμάτων ἀσχολουμένη. ἀλλ' ὥσπερ ἐν τῷ σίτῳ φαμὲν, ἢ ἐν ἑτέρῳ τινὶ τῶν σπερμάτων, ἅπαν ἐμπεριειλῆφθαι τῇ δυνάμει τὸ κατὰ τὸν στάχυν εἶδος, τὸν χόρτον, τὴν καλάμην, τὰς διὰ μέσου ζώνας, τὸν καρπὸν, τοὺς ἀνθερίκας, καὶ οὐδὲν τούτων ἐν τῷ τῆς φύσεως λόγῳ προϋπάρχειν, ἢ προγίνεσθαι φαμὲν τῇ φύσει τοῦ σπέρματος, ἀλλὰ τάξει μέν τινι φυσικῇ τὴν ἐγκειμένην τῷ σπέρματι δύναμιν φανεροῦσθαι, οὐ μὴν ἑτέραν ἐπεισκρίνεσθαι φύσιν, κατὰ τὸν αὐτὸν λόγον καὶ τὴν ἀνθρωπίνην σπορὰν ὑπειλήφαμεν ἔχειν ἐν τῇ πρώτῃ τῆς συστάσεως ἀφορμῇ συνεσπαρμένην τὴν τῆς φύσεως δύναμιν, ἐξαπλοῦσθαι δὲ καὶ φανεροῦσθαι διά τινος φυσικῆς ἀκολουθίας πρὸς τὸ τέλειον προϊοῦσαν, οὐ προσλαμβάνουσάν τι τῶν ἔξωθεν εἰς ἀφορμὴν τελειώσεως, ἀλλ' ἑαυτὴν εἰς τὸ τέλειον δι' ἀκολουθίας προάγουσαν. ὡς μήτε ψυχὴν πρὸ τοῦ σώματος, μήτε χωρὶς ψυχῆς τὸ σῶμα ἀληθὲς εἶναι λέγειν, ἀλλὰ μίαν ἀμφοτέρων ἀρχὴν, κατὰ μὲν τὸν ὑψηλότερον λόγον ἐν τῷ πρώτῳ τοῦ θεοῦ βουλήματι καταβληθεῖσαν, κατὰ δὲ τὸν ἕτερον, ἐν ταῖς τῆς γενέσεως ἀφορμαῖς συνισταμένην·

ὡς γὰρ οὐκ ἔστι τὴν κατὰ τὰ μέλη διάρθρωσιν ἰδεῖν τῷ πρὸς τὴν σύλληψιν τοῦ σώματος ἐντιθεμένῳ πρὸ τῆς διαπλάσεως, οὕτως οὐδὲ τὰς τῆς ψυχῆς ἰδιότητας ἐν τῷ αὐτῷ δυνατόν ἐστι κατανοῆσαι, πρὶν προελθεῖν εἰς ἐνέργειαν. καὶ ὥσπερ οὐκ ἄν τις ἀμφιβάλλοι πρὸς τὰς τῶν ἄρθρων τε καὶ σπλάγχνων διαφορὰς ἐκεῖνο τὸ ἐντεθὲν σχηματίζεσθαι, οὐκ ἄλλης τινὸς δυνάμεως ἐπεισερχομένης, ἀλλὰ τῆς ἐγκειμένης φυσικῶς πρὸς τὴν ἐνέργειαν, ταύτης μεθισταμένης, οὕτω καὶ περὶ ψυχῆς ἀναλόγως ἐστὶ τὸ ἴσον ὑπονοῆσαι. ὅτι κἂν μὴ διά τινων ἐνεργειῶν ἐν τῷ φαινομένῳ γνωρίζηται, οὐδὲν ἧττόν ἐστιν ἐν ἐκείνῳ. καὶ γὰρ καὶ τὸ εἶδος τοῦ μέλλοντος συνίστασθαι ἀνθρώπου ἐν ἐκείνῳ ἐστὶ τῇ δυνάμει, λανθάνει δὲ, διὰ τὸ μὴ εἶναι δυνατὸν πρὸ τῆς ἀναγκαίας ἀκολουθίας ἀναφανῆναι. οὕτω καὶ ἡ ψυχὴ ἔστι μὲν ἐν ἐκείνῳ καὶ μὴ φαινομένη, φανήσεται δὲ διὰ τῆς οἰκείας ἑαυτῆς καὶ κατὰ φύσιν ἐνεργείας, τῇ σωματικῇ αὐξήσει συμπροϊοῦσα. ἐπειδὴ γὰρ οὐκ ἀπὸ νεκροῦ σώματος ἡ πρὸς τὴν σύλληψιν δύναμις ἀποκρίνεται, ἀλλ' ἐξ ἐμψύχου καὶ ζῶντος, καὶ διὰ τοῦτο φαμὲν εὔλογον εἶναι, καὶ μὴ νεκρὸν, καὶ ἄψυχον οἴεσθαι τὸ ἀπὸ ζῶντος εἰς ζωῆς ἀφορμὴν προϊέμενον. τὸ γὰρ ἐν σαρκὶ ἄψυχον καὶ νεκρόν ἐστι πάντως, ἡ δὲ νεκρότης κατὰ στέ-

ρησιν ψυχῆς γίνεται. οὐκ ἂν δέ τις τὸ ἴσον πρεσβυ
τέραν τῆς ἕξεως εἶναι τὴν στέρησιν, εἴπερ τὸ ἄψυχον,
ὅπερ νεκρότης ἐστὶ, τῆς ψυχῆς εἶναί τις κατα-
σκευάζει πρεσβύτερον. εἰ δέ τις καὶ ἐναργέστερον
ζητοίη τεκμήριον τοῦ ζῆν ἐκεῖνο τὸ μέρος, ὅπερ
ἀρχὴ τοῦ κατασκευαζομένου γίνεται ζώου, δυνα
τόν ἐστι καὶ δι' ἄλλων σημείων, δι' ὧν τὸ ἔμψυχον ἐκ
τοῦ νεκροῦ διακρίνεται, καὶ περὶ τούτου κατανοῆ
σαι. τεκμήριον γὰρ τοῦ ζῆν ἐπὶ τῶν ἀνθρώπων
ποιούμεθα, τὸ θερμὸν εἶναί τινα, καὶ ἐνεργὸν,
καὶ κινούμενον. τὸ δὲ κατεψυγμένον τε καὶ ἀκί
νητον ἐπὶ τῶν σωμάτων, οὐδὲν ἕτερον ἢ μὴ νεκρό
της ἐστί. ἐπειδὴ τοίνυν ἔνθερμόν τε καὶ ἐνεργὸν
θεωροῦμεν τοῦτο, περὶ οὗ τὸν λόγον ποιούμεθα,
τὸ μηδὲ ἄψυχον εἶναι διὰ τούτων συντεκμαι-
ρόμεθα. ἀλλ' ὥσπερ κατὰ τὸ σωματικὸν αὐτοῦ
μέρος οὐ σάρκα φαμὲν αὐτὸ, καὶ ὀστέα, καὶ τρί-
χας, καὶ ὅσα περὶ τὸ ἀνθρώπινον καθορᾶται,
ἀλλὰ τῇ δυνάμει μὲν τούτων ἕκαστον εἶναι, οὔπω
δὲ κατὰ τὸ ὁρώμενον φαίνεσθαι, οὕτω καὶ ἐπὶ τοῦ
ψυχικοῦ μέρους, οὔπω μὲν τὸ λογικὸν, καὶ ἐ-
πιθυμητικὸν, καὶ θυμοειδὲς, καὶ ὅσα περὶ ψυ-
χὴν καθορᾶται, καὶ ἐν ἐκείνῳ χώραν ἔχειν φα-
μὲν, ἀναλόγως δὲ τῆς τοῦ σώματος κατασκευῆς
τε καὶ τελειώσεως, καὶ τὰς τῆς ψυχῆς ἐνεργείας
τῷ ὑποκειμένῳ συναύξεσθαι. ὥσπερ γὰρ τελειω

θεὶς ὁ ἄνθρωπος ἐν τοῖς μείζοσιν ἔχει διαφαινομένην τῆς ψυχῆς τὴν ἐνέργειαν, οὕτως ἐν ἀρχῇ τῆς συστάσεως, τὸ κατάλληλόν τε καὶ σύμμετρον τῇ παρούσῃ χρείᾳ συνεργὸν τῆς ψυχῆς ἐφ᾽ ἑαυτοῦ διαδείκνυσιν, ἐν τῷ κατασκευάζειν αὐτὴν ἑαυτῇ διὰ τῆς ἐντεθείσης ὕλης τὸ προσφυὲς οἰκητήριον. οὐδὲ γὰρ εἶναι δυνατὸν λογιζόμεθα ἀλλοτρίαις οἰκοδομαῖς τὴν ψυχὴν ἐναρμόζεσθαι, ὡς οὐκ ἔστι τὴν ἐν τῷ κηρῷ σφραγῖδα πρὸς ἀλλοτρίαν ἁρμοσθῆναι γλυφήν. καθάπερ γὰρ τὸ σῶμα ἐκ βραχυτάτου πρὸς τὸ τέλειον πρόεισιν, οὕτω καὶ ἡ τῆς ψυχῆς ἐνέργεια καταλλήλως ἐμφυομένη τῷ ὑποκειμένῳ, συνεπιδίδωσι καὶ συναύξεται. προηγεῖται μὲν γὰρ αὐτῆς ἐν τῇ πρώτῃ κατασκευῇ, οἷον ῥίζης τινὸς ἐν τῇ γῇ κατακρυφθείσης ἡ αὐξητική τε καὶ θρεπτικὴ δύναμις μόνη, οὐ γὰρ χωρεῖ τὸ πλειότερον ἡ τοῦ δεχομένου βραχύτης, εἶτα προελθόντος εἰς φῶς τοῦ φυτοῦ, καὶ ἡλίῳ τὴν βλάστην δείξαντος, ἡ αἰσθητικὴ χάρις ἐπήνθησεν. ἁδρυνθέντος δὲ ἤδη, καὶ εἰς σύμμετρον μῆκος ἀναδραμόντος, καθάπερ τις καρπὸς διαλάμπειν ἡ λογικὴ δύναμις ἄρχεται, οὐ πᾶσα ἀθρόως ἐκφαινομένη, ἀλλὰ τῇ τοῦ ὀργάνου τελειώσει δι᾽ ἐπιμελείας συναύξουσα, τοσοῦτον ἀεὶ καρποφοροῦσα, ὅσον χωρεῖ τοῦ ὑποκειμένου ἡ δύναμις. εἰ δὲ ζητεῖς ἐν τῇ

τοῦ σώματος πλάσει τὰς ψυχικὰς ἐνεργείας, πρόσεχε σεαυτῷ, φησὶ Μωϋσῆς, καὶ ἀναγνώσῃ καθάπερ ἐν βίβλῳ τῶν τῆς ψυχῆς ἔργων τὴν ἱστορίαν. αὐτὴ γάρ σοι διηγεῖται ἡ φύσις, λόγου παντὸς ἐναργέστερον, τὰς ποικίλας ἐν τῷ σώματι τῆς ψυχῆς ἀσχολίας ἔν τε ταῖς καθόλου, καὶ ἐν ταῖς κατὰ μέρος διασκευαῖς. ἀλλὰ περιττὸν οἶμαι, λόγῳ τὰ καθ' ἡμᾶς αὐτοὺς διεξιέναι, καθάπερ τι τῶν ὑπερορίων διηγουμένους θαυμάτων. τίς γὰρ ἑαυτὸν βλέπων, λόγῳ δεῖται τὴν οἰκείαν φύσιν διδάσκεσθαι; δυνατὸν γὰρ ὄντι, τὸν τῆς ζωῆς τρόπον κατανοήσαντα, καὶ ὡς πρὸς πᾶσαν ζωτικὴν ἐνέργειαν ἐπιτηδείως ἔχει τὸ σῶμα καταμαθόντα, γνῶναι περὶ τί κατησχολήθη τὸ φυσικὸν τῆς ψυχῆς, παρὰ τὴν πρώτην τοῦ γινομένου διάπλασιν. ὥστε καὶ διὰ τούτου φανερὸν εἶναι τοῖς οὐκ ἀνεπισκέπτοις, τὸ μὴ νεκρόν τε καὶ ἄψυχον ἐν τῷ ἐργαστηρίῳ γίνεσθαι τῆς φύσεως, ὃ πρὸς τὴν τοῦ ζώου φυτείαν, ἐκ τοῦ ζῶντος σώματος ἀποσπασθὲν ἐνετέθη. καὶ γὰρ καὶ τῶν καρπῶν τὰς ἐντεριώνας, καὶ τὰς τῶν ῥιζῶν ἀποσπάδας, οὐ νεκρωθείσας τῆς ἐγκειμένης τῇ φύσει ζωτικῆς δυνάμεως τῇ γῇ καταβάλλομεν, ἀλλὰ συντηρούσας ἐν ἑαυταῖς κεκρυμμένην μὲν, ζῶσαν δὲ πάντως τοῦ πρωτοτύπου τὴν ἰδιότητα. τὴν δὲ τοιαύτην δύναμιν

οὐκ

οὐκ ἐντίθησιν ἡ περιέχουσα γῆ ἔξωθεν παρ' ἑαυτῆς ἐπεισκρίνουσα, ἦ γὰρ ἂν καὶ τὰ νεκρὰ τῶν ξύλων εἰς βλάστην προήγετο, ἀλλὰ τὴν ἐπικειμένην ἔνδηλον ἀπεργάζεται, διὰ τῆς οἰκείας ἰκμάδος τιθηνουμένη εἰς ῥίζαν, καὶ φλοιὸν, καὶ ἐντεριώνην, καὶ τὰς τῶν κλάδων ἐκφύσεις τοῦ φυτοῦ τελειοῦσα, ὅπερ οὐχ οἷόν τε ἦν γίνεσθαι, μή τινος φυσικῆς δυνάμεως συνεντεθείσης ἥτις, τὴν συγγενῆ καὶ κατάλληλον ἐκ τῶν παρακειμένων τροφὴν εἰς ἑαυτὴν ἕλκουσα, θάμνος, ἢ δένδρον, ἢ στάχυς, ἤ τι τῶν φρυγανικῶν βλαστημάτων ἐγένετο.

Θεωρία τις ἰατρικωτέρα περὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς δι' ὀλίγων.

Ἀλλὰ τὴν μὲν ἀκριβῆ τοῦ σώματος ἡμῶν διασκευὴν διδάσκει μὲν ἕκαστος ἑαυτὸν ἐξ ὧν ὁρᾷ τε καὶ ζῇ, καὶ αἰσθάνεται, τὴν ἰδίαν ἑαυτοῦ φύσιν διδάσκαλον ἔχων. ἔξεστι δὲ καὶ τὴν ἐν βίβλοις φιλοπονηθεῖσαν τοῖς τὰ τοιαῦτα σοφοῖς περὶ τούτων ἱστορίαν ἀναλαβόντι, πάντα δι' ἀκριβείας μαθεῖν. ὧν οἱ μὲν ὅπως ἔχει θέσεως τὰ καθ' ἕκαστον τῶν ἐν ἡμῖν, διὰ τῆς ἀνατομῆς ἐδιδάχθησαν. οἱ δὲ καὶ πρὸς ὅτι γέγονε πάντα τὰ τοῦ σώματος μόρια κατενόησάν τε καὶ διηγήσαντο, ὡς ἀρκοῦσαν ἐντεῦθεν τῆς ἀνθρωπίνης κατασκευῆς τὴν γνῶσιν τοῖς φιλοπόνοις γίνεσθαι. εἰ δέ τις

ἐπιζητοίη πάντων αὐτῶν τὴν ἐκκλησίαν διδάσκαλον γίνεσθαι, ὡς ἐς μηδὲν τοῖς ἔξωθεν φωνῆς ἐπιδέεσθαι. οὕτως γὰρ τῶν πνευματικῶν προβάτων ὁ νόμος, καθὼς φησιν ὁ κύριος, τὸ ἀλλοτρίας μὴ ἀκούειν φωνῆς, διὰ βραχέων καὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. Τρία περὶ τὴν τοῦ σώματος ἐνοήσαμεν φύσιν, ὧν χάριν τὰ καθ' ἕκαστον τῶν ἐν ἡμῖν κατεσκεύασται. τὰ μὲν γὰρ διὰ τὸ ζῆν, τὰ δὲ διὰ τὸ καλῶς ζῆν, ἕτερα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. ὅσα μὲν οὖν ἐν ἡμῖν τοιαῦτα ἐστὶν, ὧν ἄνευ συστῆναι τὴν ἀνθρωπίνην ζωὴν οὐκ ἐνδέχεται, ἐν τρισὶ μορίοις κατενοήσαμεν. ἐν ἐγκεφάλῳ, καὶ καρδίᾳ, καὶ ἥπατι. ὅσα δὲ προσθήκη τίς ἐστι τῶν ἀγαθῶν, καὶ φιλοτιμία τῆς φύσεως τὸ εὖ ζῆν δι' ἐκείνων τῷ ἀνθρώπῳ χαριζομένης, τὰ περὶ τὴν αἴσθησιν ἐστὶν ὄργανα. τὰ γὰρ τοιαῦτα τὴν ζωὴν μὲν οὐ συνίστησιν, ἐπεὶ καὶ λιπόντων τινῶν, πολλάκις οὐδὲν ἧττον ἐν τῷ ζῆν ἐστὶν ὁ ἄνθρωπος, ἀλλ' ἀμήχανον δίχα τούτων τῶν ἐνεργειῶν, τῆς κατὰ τὴν ζωὴν ἡδέων τὴν μετουσίαν ἔχειν. ὁ δὲ τρίτος σκοπὸς πρὸς τὸ ἐφεξῆς τε καὶ τὴν διαδοχὴν βλέπει. ἔστι δὲ καὶ ἄλλα τινὰ παρὰ ταῦτα, ἃ πρὸς διαμονὴν κοινὰ τοῖς πᾶσιν ὑπόκειται, τὰς καταλλήλους προσθήκας δι' ἑαυτῶν ἐπεισάγοντα, ὡς κοιλία καὶ πνεύμων,

ὁ μὲν

ὁ μὲν τῷ πνεύματι τὸ ἐγκάρδιον πῦρ ἀναρριπί-
ζων, ἡ δὲ τοῖς σπλάγχνοις τὴν τροφὴν ἀθροίζου-
σα. οὕτω τοίνυν τῆς κατασκευῆς τῆς ἐν ἡμῖν
διῃρημένης, ἔστιν ἀκριβῶς κατανοῆσαι, ὅτι οὐ
μονοειδῶς ἡμῖν δι' ἑνός τινος ἡ πρὸς τὸ ζῆν δύ-
ναμις διεξάγεται, ἀλλὰ πλείοσι μορίοις ἡ φύ-
σις τὰς πρὸς τὴν σύστασιν ἡμῶν ἀφορμὰς ἐπινεί-
μασα, ἀναγκαίαν ποιεῖ πρὸς τὸ ὅλον τὴν παρ' ἑ-
κάστου συνεισφοράν. ὥστε καὶ ὅσα πρὸς ἀσφά-
λειαν τῆς ζωῆς καὶ κάλλος ἡ φύσις ἐπετεχνάσα-
το, πλείω τε ἐστὶ ταῦτα, καὶ πολλὴν πρὸς ἄλ-
ληλα τὴν διαφορὰν ἔχει. ἀλλ' οἶμαι διελέσθαι
πρότερον ἐν ὀλίγῳ χρῆναι τὴν πρὸς τὴν σύστα-
σιν τῆς ζωῆς συντελούντων ἡμῖν τὰς πρώτας
ἀρχάς. ἡ μὲν οὖν τοῦ παντὸς σώματος ὕλη κοι-
νὴ τοῖς καθ' ἕκαστον μέλεσιν ὑποκειμένη, σιγάσθω
τανῦν, οὐδὲν γὰρ πρὸς τὸν σκοπὸν ἡμῖν συντε-
λέσει ἡ καθόλου φυσιολογία πρὸς τὴν μερικὴν
θεωρίαν. ὁμολογουμένου τοίνυν παρὰ πᾶσι τοῦ
πάντων ἐν ἡμῖν εἶναι τὴν στοιχειωδῶς ἐν τῷ κό-
σμῳ θεωρουμένων τὴν μοῖραν, τοῦ τε θερμοῦ, καὶ
τοῦ ψύχοντος, καὶ τῆς ἑτέρας συζυγίας τῆς
κατὰ τὸ ὑγρόν τε, καὶ ξηρὸν νοουμένης, τὰ καθ' ἕ-
καστον ἡμῖν διαληπτέον. οὐκοῦν ὁρῶμεν τρεῖς
τὰς διοικητικὰς τῆς ζωῆς δυνάμεις, ὧν ἡ μὲν
διαθάλπει τὸ πᾶν τῇ θερμότητι, ἡ δὲ ὑπονοτίζει

τῇ ἰκμάδι τὸ θερμὸν μαινόμενον. ὡς ἂν τῇ ἰσοκρατίᾳ τῆς τῶν ἐναντίων ποιότητος ἐπὶ τοῦ μέσου συντηροῖτο τὸ ζῶον. μήτε τοῦ ὑγροῦ καταφρυγομένου τῷ πλεονασμῷ τῆς θερμότητος, μήτε τοῦ θερμοῦ σβεννυμένου τῇ ἐπικρατείᾳ τοῦ καθυγραίνοντος. ἡ δὲ τρίτη δύναμις συνέχει δι' ἑαυτῆς κατά τινα συμβολήν τε καὶ ἁρμονίαν τὰ διακεκριμένα τῶν ἄρθρων τοῖς παρ' ἑαυτῆς συνδέσμοις ἁρμόζουσα, καὶ πᾶσιν ἐπιπέμπουσα τὴν αὐτοκίνητόν τε καὶ προαιρετικὴν δύναμιν. ἧς ἐπιλειπούσης, παρετὸν γίνεται, καὶ νεκρῶδες τὸ μέρος τοῦ προαιρετικοῦ πνεύματος ἀμοιρῆσαν. μᾶλλον δὲ πρὸ τούτων ἄξιον κατανοῆσαι τὸ τεχνικὸν τῆς φύσεως ἡμῶν ἐν αὐτῇ τῇ δημιουργίᾳ τοῦ σώματος. ἐπειδὴ γὰρ τὸ σκληρόν τε καὶ ἀντίτυπον τὰς αἰσθητικὰς ἐνεργείας οὐ καταδέχεται, ὡς ἔστιν ἰδεῖν ἐπί τε τῶν ἐν ἡμῖν ὀστέων, καὶ τῶν ἐν τῇ γῇ φυτῶν, ἐν οἷς ζωῆς μέν τι κατανοοῦμεν εἶδος ἐν τῷ αὔξειν καὶ τρέφεσθαι, οὐ μὴν παρεδέξατο ἐναντίως ἡ ἀντιτυπία τοῦ ὑποκειμένου τὴν αἴσθησιν, τούτου χάριν ἔδει καθάπερ κηροειδῆ τινα κατασκευὴν ὑποτεθῆναι ταῖς κατ' αἴσθησιν ἐνεργείαις δυναμένην τοῖς ἀντιληπτικοῖς τύποις ἐνσφραγισθῆναι, μήτε συγχεομένην δι' ὑπερβαλλούσης ὑγρότητος, οὐ γὰρ ἂν διαμένοι ἐν τῷ ὑγρῷ τὸ τυπούμενον,

πούμενον, μήτε ἀντιτυποῦσαν ἐν τῇ ἀμετρίᾳ τῆς πήξεως, ἀσήμαντον γὰρ πρὸς τὸν τύπον ἐστὶ τὸ ἀνύπεικτον, ἀλλὰ μέσως ἔχουσαν μαλακότητός τε, καὶ στερρότητος, ὡς ἂν μὴ τοῦ καλλίστου τῶν κατὰ τὴν φύσιν ἐνεργημάτων, τῆς αἰσθητικῆς λέγω κινήσεως, ἀμοιροίη τὸ ζῶον. ἐπειδὴ τοίνυν τὸ μαλακόν τε καὶ εὔεικτον μηδεμίαν τὴν ἐκ τῶν στερρῶν ἔχον ἐνέργειαν, ἀκίνητον ἂν ἦν πάντως καὶ ἀδιάρθρωτον, κατὰ τοὺς θαλασσίους πνεύμονας, διὰ τοῦτο καταμίγνυσιν ἡ φύσις τῷ σώματι τὴν τῶν ὀστέων στερρότητα, καὶ ταῦτα πρὸς ἄλληλα διὰ τῆς προσφυοῦς ἁρμονίας ἑνώσασα, τοῖς τε διὰ τῶν νεύρων συνδέσμοις τὰς συμβολὰς αὐτῶν ἐπισφίγξασα, οὕτως αὐτοῖς τὴν δεκτικὴν τῶν αἰσθήσεων περιέφυσε σάρκα, δυσπαθεστέραν τε καὶ εὐτονωτέραν τῇ ἐπιφανείᾳ διειλημμένην. ταύτῃ τοίνυν τῇ στερρᾷ τῶν ὀστέων φύσει, οἷον στύλοις τισὶν ἀχθοφόροις, ὅλον τοῦ σώματος ἐπιθεῖσα τὸ βάρος, οὐκ ἀδιαίρετον ἐνέφυσε τῷ παντὶ τὸ ὀστέον, ἦ γὰρ ἂν ἀκίνητός τε καὶ ἀνενέργητος ἔμεινεν, εἰ οὕτω κατασκευῆς εἶχεν ὁ ἄνθρωπος, καθάπερ τι δένδρον ἐφ᾽ ἑνὸς τόπου μένον, μήτε τῆς τῶν σκελῶν διαδοχῆς ἰθὺ τὸ πρόσω προαγούσης τὴν κίνησιν, μήτε τῆς τῶν χειρῶν ὑπουργίας χρησιμευούσης τῷ βίῳ. νυνὶ δὲ μεταβατικὸν εἶναι καὶ πρακτικὸν τὸ ὄργανον διὰ τῆς ἐπι-

νοίας ταύτης ἐμηχανήσατο, τῷ προαιρετικῷ πνεύματι τῷ διὰ τῶν νεύρων διήκοντι, τὴν πρὸς τὰς κινήσεις ὁρμήν τε καὶ δύναμιν ἐνθεῖσα τῷ σώματι. ἐντεῦθεν ἡ τῶν χειρῶν ὑπουργία, ἡ ποικίλη τε καὶ πολύστροφος, καὶ πρὸς πᾶσαν ἐπίνοιαν ἐπιτηδεία. ἐντεῦθεν αἱ τοῦ αὐχένος περιστροφαί, καὶ τῆς κεφαλῆς ἐπικλίσεις τε καὶ ἀνανεύσεις, καὶ ἡ κατὰ τὴν γένυν ἐνέργεια, καὶ ἡ τῶν βλεφάρων διαστολὴ ἅμα νοήματι γινομένη, καὶ τῶν λοιπῶν ἄρθρων αἱ κινήσεις ἐν νεύροις μέν τισιν ἀνασπωμένοις, ἢ χαλωμένοις καθάπερ ἐκ μηχανῆς τινος ἐνεργοῦνται. ἡ δὲ διὰ τούτων διεξιοῦσα δύναμις αὐτοκέλευστον ἔχει τινὰ τὴν ὁρμήν, προαιρετικῷ πνεύματι κατά τινα φύσεως οἰκονομίαν ἐν τοῖς καθ᾽ ἕκαστον ἐνεργουμένη. ῥίζα δὲ πάντων ἀπεδείχθη καὶ ἀρχὴ τῶν κατὰ τὰ νεῦρα κινήσεων, ὁ τὸν ἐγκέφαλον περιέχων νευρώδης ὑμήν. οὐκέτι οὖν ἡγούμεθα δεῖν πολυπραγμονεῖν περί τι τῶν ζωτικῶν μορίων. τὸ τοιοῦτόν ἐστιν, ἐν τούτῳ δειχθείσης τῆς κινητικῆς ἐνεργείας. ὅτι δὲ μέγιστόν τι συντελεῖ πρὸς τὴν ζωὴν ὁ ἐγκέφαλος, ἐναργῶς τὸ ἐξ ἐναντίου συμβαῖνον δηλοῖ. εἰ γάρ τινα τρῶσιν ἢ ῥῆξιν ὁ περὶ αὐτὸν ὑμὴν πάθοι, εὐθὺς ἐπηκολούθησε τῷ πάθει ὁ θάνατος, οὐδὲ πρὸς τὸ ἀκαρὲς τῆς φύσεως ἀντισχούσης τῇ τρώσει, ὥσπερ θεμελίου τινὸς ὑποσπα

θέντος, ὅλον τὸ οἰκοδόμημα συγκατεσείσθη τῷ μέρει. οὗ τοίνυν παθόντος, πρόδηλός ἐστιν ἡ τοῦ παντὸς ζώου διαφθορά, τοῦτο κυρίως ἂν τῆς ζωῆς τὴν αἰτίαν ἔχειν ὁμολογοῖτο. ἐπειδὴ δὲ καὶ τῶν παυσαμένων τοῦ ζῆν κατασβεσθείσης τῆς ἐγκειμένης τῇ φύσει θερμότητος, τὸ νεκρωθὲν καταψύχεται, διὰ τοῦτο καὶ ἐν τῷ θερμῷ τὴν ζωτικὴν αἰτίαν κατενοήσαμεν. οὗ γὰρ ἐπιλελοιπότος ἡ νεκρότης ἐπηκολούθησεν, ἀνάγκη πᾶσα τῇ παρουσίᾳ τούτου συνεστάναι τὸ ζῶον ὁμολογεῖσθαι. τῆς δὲ τοιαύτης δυνάμεως οἷον πηγήν τινα καὶ ἀρχὴν τὴν καρδίαν κατενοήσαμεν, ἀφ᾽ ἧς αὐλοειδεῖς πόροι πολυσχιδῶς ἄλλος ἐξ ἄλλου διαφυόμενοι, παντὶ τῷ σώματι τὸ πυρῶδες καὶ θερμὸν διαχέουσι πνεῦμα. ἐπεὶ δὲ πάντως καὶ τροφὴν ἔδει τινὰ τῷ θερμῷ συμπαρεῖναι παρὰ τῆς φύσεως, οὐ γὰρ ἐνδέχεται τὸ πῦρ ἐφ᾽ ἑαυτοῦ μένειν, μὴ διὰ τοῦ καταλλήλου τρεφόμενον, διὰ τοῦτο οἱ τοῦ αἵματος ὀχετοί, καθάπερ ἐκ πηγῆς τινος τοῦ ἥπατος ἀφορμηθέντες τῷ θερμῷ πνεύματι πανταχῇ κατὰ τὸ σῶμα συμπαροδεύουσιν, ὡς ἂν μὴ μονωθὲν τοῦ ἑτέρου τὸ ἕτερον, διαφθείρῃ τὴν φύσιν πάθος γινόμενον. παιδευέτω τοῦτο τοὺς ἀτακτοῦντας περὶ τὸ ἴσον, διδαχθέντας παρὰ τῆς φύσεως, ὅτι ἡ πλεονεξία φθοροποιόν τι πάθος ἐστίν. ἀλλ᾽ ἐπειδὴ μό-

νον ἀπροσδεές ἐστι τὸ θεῖον, ἡ δὲ ἀνθρωπίνη πτωχεία τῶν ἔξωθεν πρὸς τὴν ἰδίαν σύστασιν ἐπιδέεται, διὰ τοῦτο ταῖς τρισὶ ταύταις δυνάμεσι, δι' ὧν ἔφαμεν ἅπαν οἰκονομεῖσθαι τὸ σῶμα, ἐπίρρυτον ἔξωθεν ἐπεισάγει τὴν ὕλην, διαφόροις ἀφόδοις τὸ κατάλληλον αὐταῖς ἐποικίζουσα. τῇ μὲν γὰρ πηγῇ τοῦ αἵματος, ἥτις τὸ ἧπαρ ἐστὶ, τὴν διὰ τῆς τροφῆς χορηγίαν ὑπέθηκε. τὸ γὰρ ἐπεισαγόμενον ἀεὶ διὰ ταύτης, τὰς τοῦ αἵματος πηγὰς βρύειν διὰ τοῦ ἥπατος παρασκευάζει. καθάπερ ἡ ἐπὶ τοῦ ὄρους χιὼν διὰ τῆς οἰκείας ἰκμάδος τὰς κατὰ τὴν ὑπώρειαν αὔξει πηγὰς, διὰ τοῦ βάθους τὸ οἰκεῖον ὑγρὸν ἐπὶ τὰς κάτω φλέβας συνθλίβουσα. τὸ δὲ ἐγκάρδιον πνεῦμα διὰ τοῦ γείτονος ἐπεισάγεται σπλάγχνου, ὃ καλεῖται μὲν πνεύμων ἔστι δὲ τοῦ ἀέρος δοχεῖον διὰ τῆς ἐγκειμένης ἀρτηρείας τῆς ἐπὶ τὸ στόμα διηκούσης, τὸ ἔξωθεν πνεῦμα ταῖς ἀναπνοαῖς ἐφελκόμενον. οὗ κατὰ τὸ μέσον ἡ καρδία ἐνειλημμένη κατὰ μίμησιν τοῦ ἀεικινήτου πυρὸς ἐνεργείας, ἀδιαλείπτως καὶ αὐτὴ κινουμένη, οἷόν τι ποιοῦσιν ἐν τοῖς χαλκείοις αἱ φῦσαι, ἕλκει τε πρὸς ἑαυτὴν ἐκ τοῦ παρακειμένου πνεύματος πληροῦσα τῇ διαστολῇ τὰς κοιλότητας, καὶ τὸ πυρῶδες ἑαυτῆς ἐκριπίζουσα, ταῖς ἐχομέναις ἀρτηρείαις ἐμπνεῖ, καὶ τοῦτο ποιοῦσα οὐ διαλείπει, τὸ μὲν ἔξωθεν διὰ τῆς δια-

στολῆς εἰς τὰς ἰδίας κοιλότητας ἕλκουσα, τὸ δὲ
παρ᾽ ἑαυτῆς διὰ τῆς συμπτώσεως ταῖς ἀρτη-
ρίαις εἰσκρίνουσα. ὅ μοι δοκεῖ καὶ τῆς αὐτομάτου
ταύτης ἀναπνοῆς αἴτιον ἡμῖν γίνεσθαι. πολλά-
κις γὰρ ὁ μὲν νοῦς ἄσχολός ἐστι πρὸς ἑτέροις, ἢ καὶ
παντάπασιν ἠρεμεῖ, λυθέντος ἐν τῷ ὕπνῳ τοῦ σώ
ματος, ἡ δὲ ἀναπνοὴ τοῦ ἀέρος οὐ διαλείπει, μή δι᾽ ὁ-
ποίου συνεργούσης εἰς τοῦτο τῆς προαιρέσεως. οἴ-
μαι γὰρ ἐπειδὴ περιείληπται τῷ πνεύμονι ἡ καρ
δία, καὶ προσπέφυκεν αὐτῷ κατὰ τὸ ὀπίσθιον
ἑαυτῆς μέρος, ταῖς ἰδίαις διαστολαῖς καὶ συμπτώ
σεσι συγκινοῦσα τὸ σπλάγχνον, τὴν τοῦ ἀέρος ὁλ
κήν τε, καὶ ἐμπνοὴν ἐκμηχανᾶσθαι τῷ πνεύμο
νι. ἀραιὸς γάρ τις ὤν, καὶ πολύπορος, καὶ πάσας
τὰς ἐν αὐτῷ κοιλότητας πρὸς τὸν πυθμένα τῆς
ἀρτηρίας ἀνεστομωμένας ἔχων, συστελλόμενος
μὲν καὶ συμπίπτων, τὸ ἐναπολειφθὲν τοῖς κοίλοις
πνεῦμα κατ᾽ ἀνάγκην ἐκπιέζων προΐεται. ὑπο
χωρῶν δὲ καὶ ἀνοιγόμενος, ἐπισπᾶται τῇ δια
στάσει πρὸς τὸ κενούμενον διὰ τῆς ὁλκῆς τὸν ἀέ
ρα. καὶ αὕτη ἐστὶ τῆς ἀπροαιρέτου ταύτης ἀνα
πνοῆς αἰτία, ἡ τοῦ ἀτρεμεῖν τὸ πυρῶδες ἀδυναμία.
ἐπειδὴ γὰρ ἴδιον ἐστὶ τοῦ θερμοῦ ἡ κατὰ τὴν κί-
νησιν ἐνέργεια, τούτου δὲ τὰς ἀρχὰς ἐν τῇ καρ-
δίᾳ κατενοήσαμεν, τὸ διηνεκὲς τῆς ἐν τῷ μέρει
τούτῳ κινήσεως τὴν ἀδιάλειπτον τοῦ ἀέρος ὁρμὴν

τε καὶ ἐμπνοίην διὰ τοῦ πνεύμονος ἀπεργάζεται. διὸ καὶ παρὰ φύσιν ἐπιταθέντος τοῦ πυρώδους, τὸ ἆσθμα τῶν διακαιομένων τῷ πυρετῷ συνεχέστερον γίνεται, ὥσπερ ἐπειγομένης τῆς καρδίας τὸ ἐγκείμενον ἐν αὐτῇ φλογμὸν τῷ νεαρωτέρῳ πνεύματι κατασβεννύειν. ἀλλ' ἐπειδὴ πενιχρά τις ἐστὶν ἡμῶν ἡ φύσις, καὶ τῶν πρὸς τὴν ἰδίαν σύστασιν διὰ πάντων ἐπιδεής, οὐκ ἀέρος μόνον ἰδίου πτωχεύει, καὶ πνεύματος τοῦ τὸ θερμὸν διεγείροντος, ὅπερ ἔξωθεν πρὸς τὴν τοῦ ζώου συντήρησιν διηνεκῶς ἐπεισάγεται, ἀλλὰ καὶ τὴν ὑπερείδουσαν τοῦ σώματος ὄγκον τροφὴν ἐπίκτητον ἔχει. διὰ τοῦτο σιτίοις τε καὶ ποτοῖς ἀναπληροῖ τὸ ἐνδέον, ἑλκτικήν τινα τοῦ λείποντος δύναμιν, καὶ ἀπωστικὴν τοῦ περιττεύοντος ἐνθεῖσα τῷ σώματι, οὐδὲ πρὸς τοῦτο τοῦ ἐγκαρδίου πυρὸς μικρὰν παρεχομένου τῇ φύσει συνεργίαν. ἐπειδὴ γὰρ τὸ καιριώτατον τῶν ζωτικῶν μορίων κατὰ τὸν ἀποδοθέντα λόγον ἡ καρδία ἐστὶν, ἡ τῷ θερμῷ πνεύματι ζωπυροῦσα τὰ καθέκαστον μέρη, πανταχόθεν αὐτὴν ἐνεργὸν εἶναι τῷ δραστικῷ τῆς δυνάμεως ὁ πλάστης ἡμῶν ἐποίησεν, ὡς ἂν μηδὲν αὐτῆς μέρος ἄπρακτόν τε καὶ ἀνόνητον πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καταλειφθείη, διὰ τοῦτο κατόπιν μὲν ὑποβᾶσα τὸν πνεύμονα διὰ τῆς διηνεκοῦς κινήσεως καθέλκουσά τε πρὸς ἑαυτὴν τὸ

σπλάγχνον, ἀνευρύνει πρὸς τὴν ὁλκὴν τοῦ ἀέρος
τοὺς πόρους, ἀνοχλίζουσά τε, πάλιν ἐκπνεῖσθαι
τὸ ἐναπειλημμένον παρασκευάζει. ἐν δὲ τοῖς
ἔμπροσθεν ἑαυτοῦ προσφυεῖσα τῷ χωρήματι τῆς
ἄνω γαστρὸς, ἔνθερμον αὐτὴν καὶ πρὸς τὰς ἰδίας
ἐνεργείας κινουμένην ποιεῖ. οὐκ εἰς πνεύματος
ὁλκὴν ἀνεγείρουσα, ἀλλ᾽ εἰς ὑποδοχὴν τῆς κατα-
λήλου τροφῆς. πλησίον μὲν γὰρ πεφύκασιν ἀλ-
λήλων αἱ εἴσοδοι τοῦ πνεύματός τε καὶ τῆς τρο-
φῆς. ἀντιπαρεξιοῦσαι δὲ κατὰ τὸ πρόμηκες ἡ
ἑτέρα πρὸς τὴν ἑτέραν, καὶ τῷ ἴσῳ μέτρῳ κα-
τὰ τὸ ἄνω συναπαρτίζονται, ὥστε καὶ συνεστο-
μῶσθαι πρὸς ἀλλήλας, καὶ ἐνὶ στόματι τοὺς πό-
ρους ἐναπολήγειν, ὅθεν τῷ μὲν τῆς τροφῆς, τῷ δὲ
τοῦ πνεύματος ἡ εἴσοδος γίνεται, ἀλλ᾽ εὐθὺ τὸ βά-
θος οὐκέτι διαπαντὸς τὸ προσφυὲς παραμένει
τῆς συζυγίας τῶν πόρων. μέση γοῦν τῆς ἑκατέ-
ρων ἕδρας ἡ καρδία παρεμπεσοῦσα, τῷ μὲν πρὸς
ἀνάπνοιαν, τῷ δὲ πρὸς τροφὴν, τὰς δυνάμεις ἐντί-
θησιν. πέφυκε γὰρ τὸ πυρῶδες ἐπιζητεῖν τὴν
ὑπεκκαίουσαν ὕλην, ὃ δὴ καὶ περὶ τὸ δοχεῖον τῆς
τροφῆς κατ᾽ ἀνάγκην συμβαίνει. ὅσῳ γοῦν ἄπειρον
διὰ τῆς γείτονος γίνεται θερμασίας, τοσούτῳ
μᾶλλον ἐφέλκεται τὰ τὸ θερμὸν ὑποτρέφον-
τα, τὴν δὲ τοιαύτην ὁρμὴν, ὄρεξιν ὀνομάζομεν.
εἰ δὲ περιδράξαιτο τῆς ἀρκούσης ὕλης τὸ περιε-

κτικὸν τῆς τροφῆς, οὐδὲ οὕτως ἠρεμεῖ τοῦ πυρὸς ἡ ἐνέργεια, ἀλλὰ καθάπερ ἐν χωνευτηρίῳ, σύντηξίν τινα τῆς ὕλης ποιεῖ, καὶ διαλύσασα τὰ συνεστῶτα, καὶ ἀναχέασα, καθάπερ ἐκ χοάνης τινὸς μεταχεῖ πρὸς τοὺς ἐφεξῆς πόρους, εἶτα τὸ παχυμερέστερον τοῦ εἰλικρινοῦς διακρίνασα, τὸ μὲν λεπτὸν δι' ὀχετῶν τινων ἐπὶ τὰς τοῦ ἥπατος ἄγει πύλας, τὴν δὲ ὑλώδη τῆς τροφῆς ὑποστάθμην, εἰς τοὺς εὐρυχωροτέρους τῶν ἐντέρων πόρους ἀπώσατο, καὶ τοῖς πολυτρόποις αὐτῶν ἑλιγμοῖς ἀναστρέφουσα, χρόνῳ παρακατέχει τὴν τροφὴν τοῖς σπλάγχνοις, ὡς ἂν μὴ δι' εὐθύτητα τοῦ πόρου ῥᾳδίως ἀποβαλόμενον, εὐθὺς ἀνακινοίη τὸ ζῶον πρὸς ὄρεξιν, καὶ μηδέποτε παύοιτο τῆς τοιαύτης ἀσχολίας, κατὰ τὴν τῶν ἀλόγων φύσιν ὁ ἄνθρωπος. ἐπεὶ δὲ καὶ τῷ ἥπατι μάλιστα τῆς τοῦ θερμοῦ συνεργείας ἦν χρεία πρὸς τὴν τῶν ὑγρῶν ἐξαιμάτωσιν, ἀφέστηκε δὲ τούτου τῆς καρδίας κατὰ τὴν θέσιν. οὐ γὰρ ἦν οἶμαι δυνατὸν ἀρχήν τινα, καὶ ῥίζαν ζωτικῆς οὖσαν δυνάμεως, περὶ τὴν ἑτέραν ἀρχὴν στενοχωρεῖσθαι, ὡς ἂν μή τι τῆς οἰκονομίας ἐν τῇ ἀποστάσει τῆς θερμαντικῆς οὐσίας παραβλαβείη, πόρος νευρώδης, ἀρτηρία δὲ τοῦτο, παρὰ τῶν ταῦτα σοφῶν ὀνομάζεται, ἀναδεξάμενος τῆς καρδίας τὸ ἔμπυρον πνεῦμα, φέρει παρὰ τὸ ἧπαρ, αὐ-

τοῦ περ

τοῦ ἀέρου παρὰ τὴν εἴσοδον τῶν ὑγρῶν συνεστομωμένος, καὶ ἀναξέσας διὰ τῆς θερμότητος τὴν ὑγρασίαν, ἐναποτίθεταί τι τῷ ὑγρῷ τῆς τοῦ πυρὸς συγγενείας, τῇ πυροειδεῖ χρόᾳ τὸ τοῦ αἵματος εἶδος καταφοινίξας. εἶτα ἐκεῖθεν ἀφορμηθέντες δίδυμοί τινες ὀχετοὶ, τὸ οἰκεῖον ἑκάτερος σωληνοειδῶς περιέχοντες πνεῦμά τε καὶ αἷμα, ὡς ἂν εὐπόρευτον εἴη τὸ ὑγρόν τε τοῦ θερμοῦ κινήσει συμπαροδεῦον, καὶ κουφιζόμενον, ἐφ' ἅπαν τὸ σῶμα πολυσχιδῶς κατασπείρονται εἰς μυρίας ὀχετῶν ἀρχάς τε καὶ διαφύσεις κατὰ πᾶν μέρος διασχιζόμενοι. μιχθεῖσαι δὲ πρὸς ἀλλήλας τῶν ζωτικῶν δυνάμεων αἱ δύο ἀρχαὶ, ἥτε τὸ θερμὸν πανταχῇ κατὰ τὸ σῶμα, καὶ ἡ τὸ ὑγρὸν ἐπιπέμπουσα, καθάπερ τινὰ δασμὸν ἀναγκαῖον ἐκ τῶν οἰκείων τῇ ἀρχηγικωτέρᾳ τῆς ζωτικῆς οἰκονομίας δυνάμει δορυφοροῦσιν. ἔστι δ' αὕτη ἡ κατὰ τὰς μήνιγγας καὶ τὸν ἐγκέφαλον θεωρουμένη, ἀφ' ἧς πᾶσα μὲν ἄρθρου κίνησις, πᾶσα δὲ μυῶν συνολκὴ, πᾶν δὲ προαιρετικὸν πνεῦμα καὶ τοῖς καθέκαστον μορίοις ἐπιπεμπόμενον, ἐνεργόν τε καὶ κινούμενον τῶν γηΐνων ἡμῶν ἀνδριάντα, καθάπερ ἐκ μηχανῆς τινος ἀποδείκνυσι. τοῦ τε γὰρ θερμοῦ τὸ καθαρώτατον καὶ τοῦ ὑγροῦ τὸ λεπτότατον παρ' ἑκατέρας δυνάμεως διά τινος μίξεώς τε καὶ ἀνα

κράσεως ἐνωθέντα, τρέφει τε καὶ συνίστησι διὰ τῶν ἀτμῶν τὸν ἐγκέφαλον, ἀφ' οὗ πάλιν ὥσπερ τὸ καθαρώτατον ἐκλεπτυνομένη ἡ ἀπ' ἐκείνου ἀνάδοσις, ὑπαλείφει τὸν περιεκτικὸν τοῦ ἐγκεφάλου ὑμένα. ὃς ἄνωθεν ὥσπερ τὸ βάθος αὐλοειδῶς διήκων διὰ τῶν καθεξῆς σπονδύλων, ἑαυτὸν δὲ καὶ τὸν ἐγκείμενον αὐτῷ μυελὸν διεξάγων, τῇ βάσει συναπολήγει τῆς ῥάχεως, πάσαις ὀστέων τε καὶ ἁρμονιῶν συμβολαῖς, καὶ μυῶν ἀρχαῖς, οἷόν τις ἡνίοχος αὐτὸς ἐνδιδοὺς τῆς καθ' ἕκαστον κινήσεώς τε καὶ στάσεως τὴν ὁρμὴν καὶ τὴν δύναμιν. διὰ τοῦτό μοι δοκεῖ καὶ ἀσφαλεστέρας ἠξιῶσθαι φρουρᾶς, καὶ κατὰ μὲν τὴν κεφαλὴν διπλαῖς ὀστέων περιβολαῖς ἐν κύκλῳ διειλημμένος, ἐν δὲ τοῖς σπονδύλοις, ταῖς τε τῶν ἀκανθῶν προβολαῖς, καὶ ταῖς πολυτρόποις κατὰ τὸ σχῆμα διαπλοκαῖς, δι' ὧν ἐν ἀπαθείᾳ πάσῃ φυλάττεται, διὰ τῆς περιεχούσης αὐτὸν φρουρᾶς τὸ ἀσφαλὲς ἔχων. ὁμοίως δ' ἄν τις καὶ περὶ τῆς καρδίας στοχάσαιτο, ὅτι καθάπερ τις οἶκος ἀσφαλὴς αὕτη διὰ τῶν στερροτάτων περιηρμόσθη ταῖς τῶν ὀστέων ἐν κύκλῳ περιοχαῖς ὀχυρωμένη. κατόπιν μὲν γάρ ἐστιν ἡ ῥάχις τοῖς ὠμοπλάταις ἑκατέρωθεν ἠσφαλισμένη. καθ' ἑκάτερον δὲ πλάγιον, ἡ τῶν πλευρῶν θέσις περιπτύσσουσα, τὸ μέσον δυσπαθὲς ἀπεργάζεται. ἐν δὲ τοῖς ἔμπροσθεν,

πρόσθεν, τὸ στέρνον, καὶ ἡ τῆς κλειδὸς συζυγία προβέβληται, ὡς ἂν πανταχόθεν αὐτῇ τὸ ἀσφαλὲς ἀπὸ τῶν ἔξωθεν ἐνοχλούντων φυλάσσοιτο. οἷον δὲ κατὰ τὴν γεωργίαν ἐστὶν ἰδεῖν, τῆς ἐκ νεφῶν ἐπομβρείας, ἢ τῆς τῶν ὀχετῶν ἐπιρροῆς διάβροχον ποιούσης τὸ ὑποκείμενον. κῆπος δέ τις ὑποκείσθω τῷ λόγῳ, μυρίας μὲν δένδρων διαφορὰς, παντοδαπὰς δὲ τῶν ἐκ γῆς φυομένων ἰδέας ἐν ἑαυτῷ τρέφων, ὧν καὶ τὸ σχῆμα, καὶ ἡ ποιότης, καὶ ἡ τῆς χρόας ἰδιότης ἐν πολλῇ διαφορᾷ τοῖς καθέκαστον ἐνθεωρεῖται. τοσούτων τοίνυν κατὰ τὸν ἕνα χῶρον τῷ ὑγρῷ τρεφομένων, ἡ μὲν ὑπονοτίζουσα τὰ καθέκαστον δύναμις, μία τίς κατὰ τὴν φύσιν ἐστὶν, ἡ δὲ τῶν τρεφομένων ἰδιότης εἰς διαφόρους τὸ ὑγρὸν μεταβάλλει ποιότητας. τὸ γὰρ αὐτὸ πικραίνεται μὲν ἐν τῇ ἀψίνθῳ, εἰς φθοροποιὸν δὲ χυμὸν ἐν τῷ κωνείῳ μεθίσταται, καὶ ἄλλο ἐν ἄλλῳ γίνεται, ἐν κρόκῳ, ἐν βαλσάμῳ, ἐν μήκωνι. τῷ μὲν γὰρ ἐκθερμαίνεται, τῷ δὲ καταψύχεται, τῷ δὲ μέσην ἔχει ποιότητα. καὶ ἐν δάφνῃ, καὶ ἐν σχίνῳ, καὶ τοῖς τοιούτοις εὔπνουν ἐστὶν, ἐν συκῇ δὲ καὶ ὄχνῃ κατεγλυκάνθη, καὶ διὰ τῆς ἀμπέλου βότρυς, καὶ οἶνος ἐγένετο, καὶ ὁ τοῦ μύλου χυλὸς, καὶ τὸ τοῦ ῥόδου ἐρύθημα, καὶ τὸ τοῦ κρίνου λαμπρὸν, καὶ τὸ κυανίζον τοῦ ἴου, καὶ τὸ πορφυ-

ρίων τῆς ὑακίνθης βαφῆς, καὶ πάνθ' ὅσα κατὰ τὴν γῆν ἐστὶν ἰδεῖν, ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἰκμάδος ἀναβλαστάνοντα, εἰς τοσαύτας διαφορὰς, κατά τε τὸ σχῆμα, καὶ τὸ εἶδος, καὶ τὰς ποιότητας διακρίνεται. τοιοῦτόν τι καὶ κατὰ τὴν ἔμψυχον ἡμῶν ἄρουραν θαυματοποιεῖται παρὰ τῆς φύσεως, μᾶλλον δὲ παρὰ τοῦ δεσπότου τῆς φύσεως, ὀστέα καὶ χόνδροι, φλέβες, ἀρτηρίαι, νεῦρα, σύνδεσμοι, σάρκες, δέρμα, πιμελαὶ, τρίχες, ἀδένες, ὄνυχες, ὀφθαλμοὶ, μυκτῆρες, ὦτα, πάντα τὰ τοιαῦτα, καὶ μυρία πρὸς τούτοις ἄλλα διαφόροις ἰδιότησιν ἀπ' ἀλλήλων κεχωρισμένα, μιᾷ τῇ τῆς τροφῆς ἰδέᾳ καταλλήλως τῇ ἑαυτῶν φέρεται φύσει. ὡς ἑκάστῳ τῶν ὑποκειμένων τὴν τροφὴν προσεγγίσασαν, ᾧ περ ἂν ἐμπελάσῃ, κατ' ἐκεῖνο καὶ ἀλλοιοῦσθαι οἰκείαν καὶ συμφυῆ τῇ τοῦ μέρους ἰδιότητι γινομένην. εἰ γὰρ κατὰ τὸν ὀφθαλμὸν γένοιτο, τῷ ὁρατικῷ μορίῳ συγκατεκράθη, καὶ τὴν περὶ τὸν ὀφθαλμὸν χιτώνων ταῖς διαφοραῖς οἰκείως εἰς ἕκαστον κατεμερίσθη. εἰ δὲ τοῖς κατὰ τὴν ἀκοὴν μέρεσιν ἐπιῤῥυῇ, τῇ ἀκουστικῇ καταμίγνυται φύσει, καὶ ἐν χείλει γινόμενον, χεῖλος ἐγένετο. καὶ ἐν ὀστέῳ πήγνυται, καὶ ἐν μυελῷ ἁπαλύνεται, καὶ τονοῦται μετὰ τοῦ νεύρου, καὶ τῇ ἐπιφανείᾳ συμπεριτείνεται, καὶ εἰς ὄνυχας διαβαίνει, καὶ εἰς τρι-

χῶν γίνεσιν λεπτοποιεῖται τοῖς καταλλήλοις ἀτμοῖς. ἡ μὲν διὰ σκολιῶν περιάγοιτο πόρων, οὐλοτέρας τε, καὶ κατηγκυλωμένας τὰς τρίχας ἐκφύουσα, ἡ δὲ δι᾽ εὐθείας ἢ τῶν τριχοποιῶν ἀτμῶν γίνοιτο πρόοδος, τεταμένας τε καὶ εὐθείας περιάγουσα. ἀλλὰ πολὺ τῶν προκειμένων ὁ λόγος ἡμῖν ἀποπεπλάνηται, τοῖς ἔργοις ἐμβαθύνων τῆς φύσεως, καὶ ὑπογράφειν ἐπιχειρῶν, ὅπως ἡμῖν, καὶ ἐξ ὁποίων συνέστηκε τὰ καθέκαστον, τά τε πρὸς τὸ ἔξω, καὶ τὰ πρὸς τὸ εἴσω, καὶ εἴτι μετὰ τούτων ἕτερον κατὰ τὴν πρώτην διαίρεσιν ἐνοήσαμεν. τὸ γὰρ προκείμενον ἦν, δεῖξαι τὴν σπερματικὴν τῆς συστάσεως ἡμῶν αἰτίαν, μήτε ἀσώματον εἶναι ψυχὴν, μήτε ἄψυχον σῶμα, ἀλλ᾽ ἐξ ἐμψύχων τε καὶ ζώντων σωμάτων ζῶον καὶ ἔμψυχον παρὰ τὴν πρώτην ἀπογεννᾶσθαι ζῶον, ἐκδεξαμένην τε τὴν ἀνθρωπίνην φύσιν, καθάπερ τινὰ τροφὸν ταῖς οἰκείαις δυνάμεσιν αὐτὴν τιθηνήσασθαι, τὴν δὲ τρέφεσθαι κατ᾽ ἀμφότερα, καὶ καταλλήλως ἐν ἑκατέρῳ μέρει, τὴν αὔξησιν ἐπίδηλον ἔχειν. εὐθὺς μὲν γὰρ διὰ τῆς τεχνικῆς ταύτης, καὶ ἐπιστημονικῆς διαπλάσεως τὴν συμπεπλεγμένην αὐτῇ τῆς ψυχῆς ἐνδείκνυται δύναμιν, ἀμυδρότερον μὲν κατὰ τὴν πρώτην ἐκφαινομένην, καθεξῆς δὲ τῇ τοῦ ὀργάνου τελειώσει

συναναλάμπουσιν. οἷον δὲ ἐπὶ τῶν λιθογλύφων ἐστὶν ἰδεῖν, πρόκειται μὲν γὰρ τῷ τεχνίτῃ, ζώου τινὸς εἶδος ἐν λίθῳ δεῖξαι, τοῦτο δὲ προθέμενος, πρῶτον μὲν τὸν λίθον τῆς συμφυοῦς ὕλης ἀπέρρηξεν, εἶτα περικόψας αὐτοῦ τὰ περιττὰ, προήγαγέ πως διὰ τοῦ πρώτου σχήματος τῇ μιμήσει τῇ κατὰ πρόθεσιν, ὥστε καὶ τὸν ἄπειρον διὰ τῶν φαινομένων τοῦ σκοποῦ τῆς τέχνης καταστοχάζεσθαι. πάλιν ἐπεργασάμενος, προσήγγισε πλέον τῇ ὁμοιότητι τοῦ σπουδαζομένου, εἶτα τὸ τέλειον καὶ ἀκριβὲς εἶδος ἐγχειρουργήσας τῇ ὕλῃ, εἰς πέρας τὴν τέχνην προήγαγε, καὶ ἔστι λέων, ἢ ἄνθρωπος, ἢ ὅ τι ἂν τύχῃ παρὰ τοῦ τεχνίτου γινόμενον, ὁ πρὸ βραχέος ἄσημος λίθος, οὐ τῆς ὕλης πρὸς τὸ εἶδος ὑπαμειφθείσης, ἀλλὰ τοῦ εἴδους ἐπιτεχνηθέντος τῇ ὕλῃ. τοιοῦτόν τι καὶ ἐπὶ τῆς ψυχῆς λογισάμενος, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. τὴν γὰρ πάντα τεχνιτεύουσαν φύσιν ἐκ τῆς ὁμογενοῦς ὕλης λαβοῦσαν ἐν ἑαυτῇ τὸ ἐκ τοῦ ἀνθρώπου μέρος, δημιουργεῖν ἀνδριάντα φαμέν. ὥσπερ δὲ τῇ κατ᾽ ὀλίγον ἐργασίᾳ τοῦ λίθου τὸ εἶδος ἐπηκολούθησεν, ἀμυδρότερον μὲν παρὰ τὴν πρώτην, τελειότερον δὲ μετὰ τὴν τοῦ ἔργου συμπλήρωσιν, οὕτω καὶ ἐν τῇ τοῦ ὀργάνου γλυφῇ τὸ τῆς ψυχῆς εἶδος κατὰ τὴν ἀναλογίαν τοῦ ὑποκειμένου

νου προφαίνεται. ἀτελὲς ἐν τῷ ἀτελεῖ, καὶ ἐν τῷ τελείῳ τέλειον. ἀλλ' ἐξ ἀρχῆς ἂν τέλειον ἦν, εἰ μὴ διὰ τῆς κακίας ἡ φύσις ἐκολοβώθη. διὰ τοῦτο ἡ πρὸς τὴν ἐμπαθῆ καὶ ζωώδη γένεσιν κοινωνία οὐκ εὐθὺς ἐκλάμπειν τὴν θείαν εἰκόνα ἐν τῷ πλάσματι ἐποίησεν, ἀλλ' ὁδῷ τινι, καὶ ἀκολουθίᾳ διὰ τῶν ὑλικῶν καὶ ζωωδεστέρων τῆς ψυχῆς ἰδιωμάτων ἐπὶ τὸ τέλειον ἄγει τὸν ἄνθρωπον. τὸ δὲ τοιοῦτον δόγμα καὶ ὁ μέγας ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους διδάσκει, λέγων. ὅτε ἤ-
» μην νήπιος, ἐλάλουν ὡς νήπιος, ἐλογιζόμην ὡς
» νήπιος, ὅτε δὲ γέγονα ἀνήρ, κατήργησα τὰ τοῦ
» νηπίου. οὐκ ἄλλης ἐν τῷ ἀνδρὶ τῆς ψυχῆς ἐπεισελθούσης, παρὰ τὴν ἐν τῷ μειρακίῳ νοουμένην, ἡ νηπιωδεστέρα καταργεῖται διάνοια, καὶ ἡ ἀνδρώδης ἐγγίνεται, ἀλλὰ τῆς αὐτῆς ἐν ἐκείνῳ μὲν τὸ ἀτελές, ἐν τούτῳ δὲ διαδεικνυούσης τὸ τέλειον. ὥσπερ γὰρ τὰ φυόμενά τε καὶ αὐξανόμενα ζῆν λέγομεν, πάντα δὲ τὰ ἐν μετουσίᾳ ζωῆς καὶ φυσικῆς ὄντα κινήσεως, οὐκ ἄν τις ἄψυχα φήσειεν, οὐ μὴν οὐδὲ τελείας ψυχῆς μετέχειν τὴν τοιαύτην ζωὴν ἔστιν εἰπεῖν. γινομένη γὰρ ἐν τοῖς φυτοῖς ψυχική τις ἐνέργεια, μέχρι τῆς κατ' αἴσθησιν κινημάτων οὐκ ἔφθασε. πάλιν δὲ κατὰ προσθήκην δύναμίς τις ψυχικὴ τοῖς ἀλόγοις ἐγγινομένη, οὐδὲ αὐτὴ τοῦ τέλους ἐφικέται, λόγου

τε καὶ διανοίας χάριν ἐν ἑαυτῇ μὴ χωρήσασα.
διὰ τοῦτο φαμὲν, τὴν μὲν ἀληθῆ καὶ τελείαν ψυ-
χὴν τὴν ἀνθρωπίνην εἶναι, διὰ πάσης ἐνερ-
γείας γνωριζομένην. εἰ δέ τι ἄλλο μετέχει ζωῆς,
ἐν καταχρήσει τινὶ συνηθείας ἔμψυχον λέγο-
μεν, ὅτι μὴ τελεία ἐν τούτοις ἐστὶν ἡ ψυχὴ, ἀλ-
λά τινα μόρια ψυχικῆς ἐνεργείας, ἃ καὶ ἐν τῷ
ἀνθρώπῳ κατὰ τὴν μυστικὴν τοῦ μωϋσέως ἀν-
θρωπογονίαν ἐπιγεγενῆσθαι διὰ τὴν πρὸς τὸ ἐμ-
παθὲς οἰκειότητα μεμαθήκαμεν. διὰ τοῦτο συμ-
βουλεύων ὁ παῦλος τοῖς ἀκούειν αὐτοῦ βουλο-
μένοις τῆς τελειότητος ἔχεσθαι, καὶ τὸν τρόπον,
ὅπως ἂν τοῦ σπουδαζομένου τύχοιεν, ὑποτίθε-
ται, λέγων, ἀπεκδύσασθαι δεῖν τὸν παλαιὸν ἄν-
θρωπον, καὶ ἐνδύσασθαι τὸν νέον, τὸν ἀνακαινού-
μενον κατ᾽ εἰκόνα τοῦ κτίσαντος. ἀλλ᾽ ἐπανέλ-
θωμεν πάντες ἐπὶ τὴν θεοειδῆ χάριν ἐ-
κείνην, ἐν ᾗ ἔκτισε τὸ κατ᾽ ἀρχὰς
τὸν ἄνθρωπον ὁ θεὸς, εἰπὼν, ὅ-
τι ποιήσωμεν ἄνθρω-
πον κατ᾽ εἰκόνα
καὶ ὁμοίω-
σιν
ἡμετέραν.
ᾧ ἡ δόξα καὶ τὸ κρά-
τος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

a b c d e f g h i k l m n o p q r s t.

Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ. Omnes quaterniones, præter t duernionem.

VENETIIS, IN AEDIBVS HAERE
DVM ALDI, ET ANDREAE
ASVLANI SOCERI,
M. D. XXXVI.

Τὰ κεφάλαια τοῦ παρόντος βιβλίου.

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης κεφάλαιον πρῶτον, ἐν ᾧ τις ἐστὶ μερικὴ περὶ τοῦ κόσμου φυσιολογία, καί τις ἀκριβεστέρα διήγησις περὶ τῶν προγεγονότων τῆς τοῦ ἀνθρώπου γενέσεως. carta. 4

Διατί μετὰ τὴν κτίσιν τελευταῖος ὁ ἄνθρωπος. 6

Ὅτι τιμιωτέρα πάσης τῆς φαινομένης κτίσεως ἡ τοῦ ἀνθρώπου φύσις. 7

Ὅτι διὰ πάντων ἐπισημαίνει τὴν ἀρχικὴν ἐξουσίαν ἡ τοῦ ἀνθρώπου κατασκευή. 8

Ὅτι ὁμοίωμα τῆς θείας βασιλείας ὁ ἄνθρωπος. 9

Ἐξέτασις τῆς τοῦ νοῦ πρὸς τὴν φύσιν συγγενείας, ἐν ᾧ καὶ ἐκ παρόδου τὸ τῶν ἀνομοίων διελέγχεται δόγμα. 10

Διατί γυμνὸς τῶν ἐκ φύσεως ὅπλων τε καὶ προκαλυμμάτων ὁ ἄνθρωπος. 11

Διατί ὄρθιον τοῦ ἀνθρώπου τὸ σχῆμα, καὶ ὅτι διὰ τὸν λόγον αἱ χεῖρες, ἐν ᾧ τις καὶ περὶ διαφορᾶς ψυχῶν φιλοσοφία. 12

Ὅτι ὀργανικὸν κατεσκευάσθη τοῦ ἀνθρώπου τὸ σχῆμα πρὸς τὴν τοῦ λόγου χρείαν. 16

Ὅτι διὰ τῶν αἰσθήσεων ὁ νοῦς ἐνεργεῖ. 17

Ὅτι ἀθεώρητος ἡ τοῦ ἀνθρώπου φύσις. 19

Ἐξέτασις, ἐν τίνι τὸ ἡγεμονικὸν νομιστέον, ἐν ᾧ, καὶ περὶ δακρύων, καὶ περὶ γέλωτος φυσιολογία, καὶ θεώρημά τι φυσικὸν περὶ τῆς κατὰ τὴν ὕλην, καὶ τὴν φύσιν, καὶ τὸν νοῦν κοινωνίας. 20

Περὶ ὕπνου καὶ χάσμης, καὶ ὀνείρων αἰτιολογία. 25

Ὅτι οὐκ ἐν μέρει τοῦ σώματος ὁ νοῦς, ἐν ᾧ, καὶ διάκρισις τῶν τε σωματικῶν καὶ ψυχικῶν κινημάτων. 30

Ὅτι κυρίως ψυχὴ, ἡ λογικὴ καὶ ἔστι, καὶ λέγεται, αἱ δ᾽ ἄλλαι ὁμονύμως κατονομάζονται. ἐν ᾧ, καὶ τὸ, διὰ παντὸς τοῦ σώματος διήκειν τὴν τοῦ νοῦ δύναμιν, καταλλήλως ἑκάστου μέρους προσαπτομένην. 31

Θεωρία τοῦ θείου ῥητοῦ εἰπόντος, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν, ἐν ᾧ ἐξετάζεται, τίς ὁ τῆς εἰκόνος λόγος, καὶ εἰ ὁμοιοῦται τῷ μακαρίῳ τε καὶ ἀπαθεῖ, τὸ ἐμπαθὲς καὶ ἐπίκηρον. καὶ πῶς ἐν τῇ εἰκόνι τὸ ἄρρεν καὶ τὸ θῆλυ, ἐν τῷ πρωτοτύπῳ τούτῳ οὐκ ὄντων. 33

Τί χρὴ λέγειν πρὸς τοὺς ἐπαποροῦντας, εἰ μετὰ τὴν ἁμαρτίαν ἡ παιδοποιΐα, πῶς ἂν ἐγένοντο αἱ ψυχαὶ, εἰ ἀναμάρτητοι διέμειναν οἱ ἐξ ἀρχῆς ἄνθρωποι. 37

Ὅτι τὰ ἄλογα ἐν ἡμῖν πάθη, ἐκ τῆς πρὸς τὴν ἄλογον φύσιν συγγενείας τὰς ἀφορμὰς ἔχει. 40

Πρὸς τοὺς λέγοντας, πάλιν ἐν βρώσει, καὶ ἐν πόσει εἶναι τὴν τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, διὰ τὸ ἐξ ἀρχῆς ἐν τῷ παραδείσῳ γεγράφθαι, διὰ τούτων τὸν ἄνθρωπον ζῆν. 42

Τίς ἡ ἐν τῷ παραδείσῳ ζωὴ, καὶ τί τὸ ἀπηγορευμένον ξύλον. 43

Ὅτι ἡ ἀνάστασις οὐ τοσοῦτον ἐκ τοῦ κηρύγματος τοῦ γραφικοῦ, ὅσον ἐξ αὐτῆς τῆς ἀνάγκης τῶν πραγμάτων ἀκολούθως ἐλπίζεται. 45

Πρὸς τοὺς λέγοντας, εἰ καλόν τι καὶ ἀγαθὸν ἡ ἀνάστασις, τί οὐχὶ ἤδη γέγονεν, ἀλλὰ χρόνων τισὶ περιόδοις ἐλπίζεται; 46

Ὅτι ὁ τὴν ἀρχὴν τῆς τοῦ κόσμου συστάσεως ὁμολογῶν, ἀναγκαίως καὶ περὶ τοῦ τέλους συνθήσεται. 50

Ἀντίρρησις πρὸς τοὺς λέγοντας συναΐδιον εἶναι τῷ θεῷ τὴν ὕλην, ὡς αὖτις, καὶ τὴν ἔξωθεν, προσαχθείη πιστεῦσαι τῇ γραφῇ περὶ ἀναστάσεως διδασκούσῃ. 51

Πῶς αὖτις, καὶ τὴν ἔξωθεν, προσαχθείη πιστεῦσαι τῇ γραφῇ περὶ τῆς ἀναστάσεως διδασκούσῃ. 53


Ὅτι οὐκ ἔξω τοῦ εἰκότος ἡ ἀνάστασις. 58

Ὅτι δυνατόν ἐστιν εἰς τὰ τοῦ παντὸς στοιχεῖα τοῦ ἀνθρωπίνου σώματος ἀναλυθέντος, πάλιν ἐκ τοῦ κοινοῦ ἑκάστῳ τὸ ἴδιον ἀποσωθῆναι. 59

Π ρὸς τοὺς λέγοντας προϋφεστάναι τὰς ψυχὰς τῶν σωμάτων, ἢ τὸ ἔμπαλιν, πρὸ τῶν ψυχῶν διαπεπλάσθαι τὰ σώματα. ἐν ᾧ τις καὶ ἀνατροπὴ τῆς κατὰ τὰς μετεμψυχώσεις μυθοποιΐας. 61

Κ ατασκευὴ τοῦ, μίαν καὶ τὴν αὐτὴν ψυχῆ τε καὶ σώματι τὴν αἰτίαν τῆς ὑπάρξεως εἶναι. 64

Θ εωρία τις ἰατρικωτέρα περὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς δι' ὀλίγων. 67


AL DVS.


BIBLIOTECA NAZIONALE CENTRALE
FIRENZE

